ἄστυ τὸ στρατόπεδον· Σηλυβριανοὶ δὲ ἐδέξαντο μὲν
22 οὔ, χρήματα δὲ ἔδοσαν. ἐντεῦθεν δ' ἀφικόμενοι
τῆς Καλχηδονίας εἰς Χρυσόπολιν ἐτείχισαν αὐτήν,
καὶ δεκατευτήριον κατεσκεύασαν ἐν αὐτῇ, καὶ τὴν
δεκάτην ἐξέλεγον τῶν ἐκ τοῦ Πόντου πλοίων, καὶ
φυλακὴν ἐγκαταλιπόντες ναῦς τριάκοντα καὶ στρα-
τηγὼ δύο, Θηραμένη καὶ Εὔμαχον, τοῦ τε χωρίου
ἐπιμελεῖσθαι καὶ τῶν ἐκπλεόντων πλοίων καὶ εἴ τι
ἄλλο δύναιντο βλάπτειν τοὺς πολεμίους. οἱ δ'
23 ἄλλοι στρατηγοὶ εἰς τὸν Ἑλλήσποντον ᾤχοντο. παρὰ
δὲ Ἱπποκράτους τοῦ Μινδάρου ἐπιστολέως εἰς Λα-
κεδαίμονα γράμματα πεμφθέντα ἑάλω εἰς Ἀθή-
νας λέγοντα τάδε· Ἔρρει τὰ κᾶλα. Μίνδαρος
ἀπεσσύα. πεινῶντι τὤνδρες. ἀπορίομες τί χρὴ
24 δρᾶν. Φαρνάβαζος δὲ παντὶ τῷ τῶν Πελοποννησίων
στρατεύματι καὶ τοῖς συμμάχοις παρακελευσάμενος
μὴ ἀθυμεῖν ἕνεκα ξύλων, ὡς ὄντων πολλῶν ἐν τῇ
βασιλέως, ἕως ἂν τὰ σώματα σᾶ ᾖ, ἱμάτιόν τ'
ἔδωκεν ἑκάστῳ καὶ ἐφόδιον δυοῖν μηνοῖν, καὶ ὁπλί-
σας τοὺς ναύτας φύλακας κατέστησε τῆς ἑαυτοῦ πα-
25 ραθαλαττίας γῆς. καὶ συγκαλέσας τούς τε ἀπὸ τῶν
πόλεων στρατηγοὺς καὶ τριηράρχους ἐκέλευε ναυπη-
γεῖσθαι τριήρεις ἐν Ἀντάνδρῳ ὅσας ἕκαστοι ἀπώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λεσαν, χρήματά τε διδοὺς καὶ ὕλην ἐκ τῆς Ἴδης κομίζεσθαι φράζων. ναυπηγουμένων δὲ οἱ Συρακόσιοι 26
ἅμα τοῖς Ἀντανδρίοις τοῦ τείχους τι ἐπετέλεσαν, καὶ ἐν τῇ φρουρᾷ ἤρεσαν πάντων μάλιστα. διὰ ταῦτα δὲ εὐεργεσία τε καὶ πολιτεία Συρακοσίοις ἐν Ἀντάνδρῳ ἐστί. Φαρνάβαζος μὲν οὖν ταῦτα διατάξας εὐθὺς εἰς Καλχηδόνα ἐβοήθει.

Ἐν δὲ τῷ χρόνῳ τούτῳ ἠγγέλθη τοῖς τῶν Συ- 27
ρακοσίων στρατηγοῖς οἴκοθεν ὅτι φεύγοιεν ὑπὸ τοῦ δήμου. συγκαλέσαντες οὖν τοὺς ἑαυτῶν στρατιώτας Ἑρμοκράτους προηγοροῦντος ἀπωλοφύροντο τὴν ἑαυτῶν συμφοράν, ὡς ἀδίκως φεύγοιεν ἅπαντες παρὰ τὸν νόμον· παρῄνεσάν τε προθύμους εἶναι καὶ τὰ λοιπά, ὥσπερ τὰ πρότερα, καὶ ἄνδρας ἀγαθοὺς πρὸς τὰ ἀεὶ παραγγελλόμενα, μεμνημένους ὅσας τε ναυμαχίας αὐτοὶ καθ' αὑτοὺς νενικήκατε καὶ ναῦς εἰλήφατε, ὅσα τε μετὰ τῶν ἄλλων ἀήττητοι γεγόνατε ἡμῶν ἡγουμένων, τάξιν ἔχοντες τὴν κρατίστην διά τε τὴν ἡμετέραν ἀρετὴν καὶ διὰ τὴν ὑμετέραν προθυμίαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπάρχουσαν. ἑλέσθαι δὲ ἐκέλευον ἄρχοντας, μέχρι ἂν ἀφίκωνται οἱ ᾑρημένοι ἀντ' ἐκείνων. οἱ δ' ἀναβοήσαντες ἐκέ- 28
λευον ἐκείνους ἄρχειν, καὶ μάλιστα οἱ τριήραρχοι καὶ οἱ ἐπιβάται καὶ οἱ κυβερνῆται. οἱ δ' οὐκ ἔφασαν δεῖν στασιάζειν πρὸς τὴν ἑαυτῶν πόλιν· εἰ δέ τις ἐπικαλοίη τι αὐτοῖς, λόγον ἔφασαν χρῆναι διδόναι. οὐδενὸς δὲ οὐδὲν ἐπαιτιωμένου, δεομένων ἔμειναν 29
ἕως ἀφίκοντο οἱ ἀντ' ἐκείνων στρατηγοί, Δήμαρχός τε Ἐπιδόκου καὶ Μύσκων Μενεκράτους καὶ Πόταμις Γνώσιος. τῶν δὲ τριηράρχων ὀμόσαντες οἱ πλεῖστοι κατάξειν αὐτούς, ἐπὰν εἰς Συρακούσας ἀφίκωνται, ἀπεπέμψαντο ὅποι ἐβούλοντο πάντας ἐπαινοῦντες

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

30 ἰδίᾳ δὲ οἱ πρὸς Ἑρμοκράτη προσομιλοῦντες μάλιστα
ἐπόθησαν τήν τε ἐπιμέλειαν καὶ προθυμίαν καὶ κοι-
νότητα. ὧν γὰρ ἐγίγνωσκε τοὺς ἐπιεικεστάτους καὶ
τριηράρχων καὶ κυβερνητῶν καὶ ἐπιβατῶν, ἑκάστης
ἡμέρας πρῲ καὶ πρὸς ἑσπέραν συναλίζων πρὸς
τὴν σκηνὴν τὴν ἑαυτοῦ ἀνεξυνοῦτο ὅ,τι ἔμελλεν ἢ
λέγειν ἢ πράττειν, κἀκείνους ἐδίδασκε κελεύων λέ-
γειν τὰ μὲν ἀπὸ τοῦ παραχρῆμα, τὰ δὲ βουλευσα-
31 μένους. ἐκ τούτων Ἑρμοκράτης τὰ πολλὰ ἐν τῷ
συνεδρίῳ εὐδόξει, λέγειν τε δοκῶν καὶ βουλεύειν τὰ
κράτιστα. κατηγορήσας δὲ Τισσαφέρνους ἐν Λακε-
δαίμονι Ἑρμοκράτης, μαρτυροῦντος καὶ Ἀστυόχου, καὶ
δόξας τὰ ὄντα λέγειν, ἀφικόμενος παρὰ Φαρνάβα-
ζον, πρὶν αἰτῆσαι χρήματα λαβών, παρεσκευάζετο
πρὸς τὴν εἰς Συρακούσας κάθοδον ξένους τε καὶ
τριήρεις. ἐν τούτῳ δὲ ἧκον οἱ διάδοχοι τῶν Συρακο-
σίων εἰς Μίλητον καὶ παρέλαβον τὰς ναῦς καὶ τὸ
στράτευμα.
32 Ἐν Θάσῳ δὲ κατὰ τὸν καιρὸν τοῦτον στάσεως
γενομένης ἐκπίπτουσιν οἱ λακωνισταὶ καὶ ὁ Λάκων
ἁρμοστὴς Ἐτεόνικος. καταιτιαθεὶς δὲ ταῦτα πρᾶξαι
σὺν Τισσαφέρνει Πασιππίδας ὁ Λάκων ἔφυγεν ἐκ
Σπάρτης· ἐπὶ δὲ τὸ ναυτικόν, ὃ ἐκεῖνος ἠθροίκει
ἀπὸ τῶν συμμάχων, ἐξεπέμφθη Κρατησιππίδας, καὶ
33 παρέλαβεν ἐν Χίῳ. περὶ δὲ τούτους τοὺς χρόνους
Θρασύλλου ἐν Ἀθήναις ὄντος Ἆγις ἐκ τῆς Δεκελείας
προνομὴν ποιούμενος πρὸς αὐτὰ τὰ τείχη ἦλθε τῶν
Ἀθηναίων· Θράσυλλος δὲ ἐξαγαγὼν Ἀθηναίους καὶ
τοὺς ἄλλους τοὺς ἐν τῇ πόλει ὄντας ἅπαντας παρέ-
ταξε παρὰ τὸ Λύκειον [γυμνάσιον], ὡς μαχούμενος,
34 ἂν προσίωσιν. ἰδὼν δὲ ταῦτα Ἆγις ἀπήγαγε ταχέως,
καί τινες αὐτῶν ὀλίγοι τῶν ἐπὶ πᾶσιν ὑπὸ τῶν ψι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λων ἀπέθανον. οἱ οὖν Ἀθηναῖοι τῷ Θρασύλλῳ διὰ ταῦτα ἔτι προθυμότεροι ἦσαν ἐφ' ἃ ἧκε, καὶ ἐψηφίσαντο ὁπλίτας τε αὐτὸν καταλέξασθαι χιλίους, ἱππέας δὲ ἑκατόν, τριήρεις δὲ πεντήκοντα. Ἆγις δὲ ἐκ 35
τῆς Δεκελείας ἰδὼν πλοῖα πολλὰ σίτου εἰς Πειραιᾶ καταθέοντα, οὐδὲν ὄφελος ἔφη εἶναι τοὺς μετ' αὐτοῦ πολὺν ἤδη χρόνον Ἀθηναίους εἴργειν τῆς γῆς, εἰ μή τις σχήσοι καὶ ὅθεν ὁ κατὰ θάλατταν σῖτος φοιτᾷ· κράτιστόν τε εἶναι [καὶ] Κλέαρχον τὸν Ῥαμφίου πρόξενον ὄντα Βυζαντίων πέμψαι εἰς Καλχηδόνα τε καὶ Βυζάντιον. δόξαντος δὲ τούτου, πλη- 36
ρωθεισῶν νεῶν ἔκ τε Μεγάρων καὶ παρὰ τῶν ἄλλων συμμάχων πεντεκαίδεκα στρατιωτίδων μᾶλλον ἢ ταχειῶν ᾤχετο. καὶ αὐτοῦ τῶν νεῶν τρεῖς ἀπόλλυνται ἐν τῷ Ἑλλησπόντῳ ὑπὸ τῶν Ἀττικῶν ἐννέα νεῶν, αἳ ἀεὶ ἐνταῦθα τὰ πλοῖα διεφύλαττον, αἱ δ' ἄλλαι ἔφυγον εἰς Σηστόν, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐσώθησαν. [καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδό- 37
νιοι Ἀννίβα ἡγουμένου στρατεύσαντες ἐπὶ Σικελίαν δέκα μυριάσι στρατιᾶς αἱροῦσιν ἐν τρισὶ μησὶ δύο πόλεις Ἑλληνίδας Σελινοῦντα καὶ Ἱμέραν.]

Τῷ δὲ ἄλλῳ ἔτει [ᾧ ἦν Ὀλυμπιὰς τρίτη καὶ II.
ἐνενηκοστή, ᾗ προστεθεῖσα ξυνωρὶς ἐνίκα Εὐαγό- a.C. 410.
ρου Ἠλείου, τὸ δὲ στάδιον Εὐβώτας Κυρηναῖος, ἐπὶ ἐφόρου μὲν ὄντος ἐν Σπάρτῃ Εὐαρχίππου, ἄρχοντος δ' ἐν Ἀθήναις Εὐκτήμονος,] Ἀθηναῖοι μὲν Θορικὸν ἐτείχισαν, Θράσυλλος δὲ τά τε ψηφισθέντα πλοῖα λαβὼν καὶ πεντακισχιλίους τῶν ναυτῶν πελταστὰς ποιησάμενος, [ὡς ἅμα καὶ πελτασταῖς ἐσομένοις,] ἐξέπλευσεν ἀρχομένου τοῦ θέρους εἰς Σάμον. ἐκεῖ δὲ μείνας τρεῖς ἡμέρας ἔπλευσεν εἰς Πύγελα· 2

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

καὶ ἐνταῦθα τήν τε χώραν ἐδῄου καὶ προσέβαλλε
τῷ τείχει. ἐκ δὲ τῆς Μιλήτου βοηθήσαντές τινες
τοῖς Πυγελεῦσι διεσπαρμένους ὄντας τῶν Ἀθηναίων
3 τοὺς ψιλοὺς ἐδίωκον. οἱ δὲ πελτασταὶ καὶ τῶν ὁπλι-
τῶν δύο λόχοι βοηθήσαντες πρὸς τοὺς αὐτῶν ψι-
λοὺς ἀπέκτειναν ἅπαντας τοὺς ἐκ Μιλήτου ἐκτὸς
ὀλίγων, καὶ ἀσπίδας ἔλαβον ὡς διακοσίας, καὶ τρό-
4 παιον ἔστησαν. τῇ δὲ ὑστεραίᾳ ἔπλευσαν εἰς Νό-
τιον, καὶ ἐντεῦθεν παρασκευασάμενοι ἐπορεύοντο
εἰς Κολοφῶνα. Κολοφώνιοι δὲ προσεχώρησαν. καὶ
τῆς ἐπιούσης νυκτὸς ἐνέβαλον εἰς τὴν Λυδίαν ἀκμά-
ζοντος τοῦ σίτου, καὶ κώμας τε πολλὰς ἐνέπρησαν
καὶ χρήματα ἔλαβον καὶ ἀνδράποδα καὶ ἄλλην λείαν
5 πολλήν. Στάγης δὲ ὁ Πέρσης περὶ ταῦτα τὰ χωρία
ὤν, ἐπεὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ στρατοπέδου διεσκε-
δασμένοι ἦσαν κατὰ τὰς ἰδίας λείας, βοηθησάντων
τῶν ἱππέων ἕνα μὲν ζῶν ἔλαβεν, ἑπτὰ δὲ ἀπέκτεινε.
6 Θράσυλλος δὲ μετὰ ταῦτα ἀπήγαγεν ἐπὶ θάλατταν
τὴν στρατιάν, ὡς εἰς Ἔφεσον πλευσόμενος. Τισσα-
φέρνης δὲ αἰσθόμενος τοῦτο τὸ ἐπιχείρημα, στρα-
τιάν τε συνέλεγε πολλὴν καὶ ἱππέας ἀπέστελλε παραγ-
7 γέλλων πᾶσιν εἰς Ἔφεσον βοηθεῖν τῇ Ἀρτέμιδι. Θρά-
συλλος δὲ ἑβδόμῃ καὶ δεκάτῃ ἡμέρᾳ μετὰ τὴν εἰσβολὴν
εἰς Ἔφεσον ἔπλευσε, καὶ τοὺς μὲν ὁπλίτας πρὸς τὸν
Κορησσὸν ἀποβιβάσας, τοὺς δὲ ἱππέας καὶ πελταστὰς
καὶ ἐπιβάτας καὶ τοὺς ἄλλους πάντας πρὸς τὸ ἕλος ἐπὶ
θάτερα τῆς πόλεως, ἅμα τῇ ἡμέρᾳ προσῆγε δύο στρα-
8 τόπεδα. οἱ δ' ἐκ τῆς πόλεως ἐβοήθησαν σφίσιν, οἵ τε
σύμμαχοι οὓς Τισσαφέρνης ἤγαγε, καὶ Συρακόσιοι οἵ
τ' ἀπὸ τῶν προτέρων εἴκοσι νεῶν καὶ ἀπὸ ἑτέρων πέν-
τε, αἳ ἔτυχον τότε παραγενόμεναι, νεωστὶ ἥκουσαι με-
τὰ Εὐκλέους τε τοῦ Ἵππωνος καὶ Ἡρακλείδου τοῦ Ἀρι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στογένους στρατηγῶν, καὶ Σελινούσιαι δύο. οὗτοι δὲ 9
πάντες πρῶτον μὲν πρὸς τοὺς ὁπλίτας τοὺς ἐν Κορησ-
σῷ ἐβοήθησαν· τούτους δὲ τρεψάμενοι καὶ ἀποκτείναν-
τες ἐξ αὐτῶν ὡς εἰ ἑκατὸν καὶ εἰς τὴν θάλατταν κα-
ταδιώξαντες πρὸς τοὺς παρὰ τὸ ἕλος ἐτράποντο. ἔφυ-
γον δὲ κἀκεῖ οἱ Ἀθηναῖοι, καὶ ἀπώλοντο αὐτῶν ὡς
τριακόσιοι. οἱ δὲ Ἐφέσιοι τρόπαιον ἐνταῦθα ἔστησαν 10
καὶ ἕτερον πρὸς τῷ Κορησσῷ. τοῖς δὲ Συρακοσίοις καὶ
Σελινουσίοις κρατίστοις γενομένοις ἀριστεῖα ἔδωκαν
καὶ κοινῇ καὶ ἰδίᾳ πολλοῖς, καὶ οἰκεῖν ἀτέλειαν ἔδοσαν
τῷ βουλομένῳ ἀεί· Σελινουσίοις δέ, ἐπεὶ ἡ πόλις ἀπω-
λώλει, καὶ πολιτείαν ἔδοσαν. οἱ δ' Ἀθηναῖοι τοὺς νε- 11
κροὺς ὑποσπόνδους ἀπολαβόντες ἀπέπλευσαν εἰς Νό-
τιον, κἀκεῖ θάψαντες αὐτοὺς ἔπλεον ἐπὶ Λέσβου καὶ
Ἑλλησπόντου. ὁρμοῦντες δὲ ἐν Μηθύμνῃ τῆς Λέσβου
εἶδον παραπλεούσας ἐξ Ἐφέσου τὰς Συρακοσίας ναῦς 12
πέντε καὶ εἴκοσι· καὶ ἐπ' αὐτὰς ἀναχθέντες τέτταρας
μὲν ἔλαβον αὐτοῖς ἀνδράσι, τὰς δ' ἄλλας κατεδίωξαν
εἰς Ἔφεσον. καὶ τοὺς μὲν ἄλλους αἰχμαλώτους Θρά-
συλλος εἰς Ἀθήνας ἀπέπεμψε πάντας, Ἀλκιβιάδην δὲ 13
Ἀθηναῖον, Ἀλκιβιάδου ὄντα ἀνεψιὸν καὶ συμφυγάδα,
ἀπέλυσεν. ἐντεῦθεν δὲ ἔπλευσεν εἰς τὴν Σηστὸν πρὸς
τὸ ἄλλο στράτευμα· ἐκεῖθεν δὲ ἅπασα ἡ στρατιὰ διέβη
εἰς Λάμψακον. καὶ χειμὼν ἐπῄει, ἐν ᾧ οἱ αἰχμάλωτοι 14
Συρακόσιοι, εἱργμένοι τοῦ Πειραιῶς ἐν λιθοτομίαις,
διορύξαντες τὴν πέτραν, ἀποδράντες νυκτὸς ᾤχοντο
εἰς Δεκέλειαν, οἱ δ' εἰς Μέγαρα. ἐν δὲ τῇ Λαμψάκῳ
συντάττοντος Ἀλκιβιάδου τὸ στράτευμα πᾶν οἱ πρό- 15
τεροι στρατιῶται οὐκ ἐβούλοντο τοῖς μετὰ Θρασύλ-
λου συντάττεσθαι, ὡς αὐτοὶ μὲν ὄντες ἀήττητοι, ἐκεῖ-
νοι δὲ ἡττημένοι ἥκοιεν. ἐνταῦθα δὴ ἐχείμαζον ἅπαν-
τες Λάμψακον τειχίζοντες. καὶ ἐστράτευσαν πρὸς 16

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

"Αβυδον· Φαρνάβαζος δ' ἐβοήθησεν ἵπποις πολλοῖς,
καὶ μάχῃ ἡττηθεὶς ἔφυγεν. Ἀλκιβιάδης δὲ ἐδίωκεν
ἔχων τούς τε ἱππέας καὶ τῶν ὁπλιτῶν εἴκοσι καὶ ἑκα-
17 τόν, ὧν ἦρχε Μένανδρος, μέχρι σκότος ἀφείλετο. ἐκ
δὲ τῆς μάχης ταύτης συνέβησαν οἱ στρατιῶται αὐτοὶ
αὑτοῖς καὶ ἠσπάζοντο τοὺς μετὰ Θρασύλλου. ἐξῆλθον
δέ τινας καὶ ἄλλας ἐξόδους τοῦ χειμῶνος εἰς τὴν ἤπει-
18 ρον καὶ ἐπόρθουν τὴν βασιλέως χώραν. τῷ δ' αὐτῷ
χρόνῳ καὶ Λακεδαιμόνιοι τοὺς εἰς τὸ Κορυφάσιον τῶν
Εἱλώτων ἀφεστῶτας ἐκ Μαλέας ὑποσπόνδους ἀφῆ-
καν. κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ἐν Ἡρακλείᾳ τῇ
Τραχινίᾳ Ἀχαιοὶ τοὺς ἐποίκους, ἀντιτεταγμένων πάν-
των πρὸς Οἰταίους πολεμίους ὄντας, προὔδοσαν,
ὥστε ἀπολέσθαι αὐτῶν πρὸς ἑπτακοσίους σὺν τῷ
19 ἐκ Λακεδαίμονος ἁρμοστῇ Λαβώτῃ. [καὶ ὁ ἐνιαυ-
τὸς ἔληγεν οὗτος, ἐν ᾧ καὶ Μῆδοι ἀπὸ Δαρείου τοῦ
Περσῶν βασιλέως ἀποστάντες πάλιν προσεχώρησαν
αὐτῷ.]

III. [Τοῦ δ' ἐπιόντος ἔτους ὁ ἐν Φωκαίᾳ νεὼς τῆς Ἀθη-
a.C. 409. νᾶς ἐνεπρήσθη πρηστῆρος ἐμπεσόντος.] ἐπεὶ δ' ὁ χει-
μὼν ἔληγε, [Παντακλέους μὲν ἐφορεύοντος, ἄρχοντος
δ' Ἀντιγένους,] ἔαρος ἀρχομένου, [δυοῖν καὶ εἴκοσιν
ἐτῶν τῷ πολέμῳ παρεληλυθότων,] οἱ Ἀθηναῖοι ἔπλευ-
2 σαν εἰς Προκόννησον παντὶ τῷ στρατοπέδῳ. ἐκεῖθεν
δ' ἐπὶ Καλχηδόνα καὶ Βυζάντιον ὁρμήσαντες ἐστρατο-
πεδεύσαντο πρὸς Καλχηδόνι. οἱ δὲ Καλχηδόνιοι προσ-
ιόντας αἰσθόμενοι τοὺς Ἀθηναίους, τὴν λείαν ἅπασαν
κατέθεντο εἰς τοὺς Βιθυνοὺς Θρᾷκας ἀστυγείτονας
3 ὄντας. Ἀλκιβιάδης δὲ λαβὼν τῶν τε ὁπλιτῶν ὀλίγους
καὶ τοὺς ἱππέας, καὶ τὰς ναῦς παραπλεῖν κελεύσας,
ἐλθὼν εἰς τοὺς Βιθυνοὺς ἀπῄτει τὰ τῶν Καλχηδονίων
χρήματα· εἰ δὲ μή, πολεμήσειν ἔφη αὐτοῖς. οἱ δὲ ἀπέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοσαν. Ἀλκιβιάδης δ' ἐπεὶ ἧκεν εἰς τὸ στρατόπεδον 4
τήν τε λείαν ἔχων καὶ πίστεις πεποιημένος, ἀπετείχιζε
τὴν Καλχηδόνα παντὶ τῷ στρατοπέδῳ ἀπὸ θαλάττης
εἰς θάλατταν καὶ τοῦ ποταμοῦ ὅσον οἷόν τ' ἦν ξυλίνῳ
τείχει. ἐνταῦθα Ἱπποκράτης μὲν ὁ Λακεδαιμόνιος ἁρ- 5
μοστὴς ἐκ τῆς πόλεως ἐξήγαγε τοὺς στρατιώτας, ὡς
μαχούμενος· οἱ δὲ Ἀθηναῖοι ἀντιπαρετάξαντο αὐτῷ,
Φαρνάβαζος δὲ ἔξω τῶν περιτειχισμάτων προσεβοή-
θει στρατιᾷ τε καὶ ἵπποις πολλοῖς. Ἱπποκράτης μὲν 6
οὖν καὶ Θράσυλλος ἐμάχοντο ἑκάτερος τοῖς ὁπλίταις
χρόνον πολύν, μέχρι Ἀλκιβιάδης ἔχων ὁπλίτας τέ τι-
νας καὶ τοὺς ἱππέας ἐβοήθησε. καὶ Ἱπποκράτης μὲν
ἀπέθανεν, οἱ δὲ μετ' αὐτοῦ ὄντες ἔφυγον εἰς τὴν πόλιν.
ἅμα δὲ καὶ Φαρνάβαζος, οὐ δυνάμενος συμμίξαι πρὸς 7
τὸν Ἱπποκράτη διὰ τὴν στενοπορίαν, τοῦ ποταμοῦ
καὶ τῶν ἀποτειχισμάτων ἐγγὺς ὄντων, ἀπεχώρησεν
εἰς τὸ Ἡράκλειον τὸ τῶν Καλχηδονίων, οὗ ἦν αὐτῷ τὸ
στρατόπεδον. ἐκ τούτου δὲ Ἀλκιβιάδης μὲν ᾤχετο εἰς 8
τὸν Ἑλλήσποντον καὶ εἰς Χερρόνησον χρήματα πρά-
ξων· οἱ δὲ λοιποὶ στρατηγοὶ συνεχώρησαν πρὸς Φαρ-
νάβαζον ὑπὲρ Καλχηδόνος εἴκοσι τάλαντα δοῦναι
Ἀθηναίοις Φαρνάβαζον καὶ ὡς βασιλέα πρέσβεις Ἀθη-
ναίων ἀναγαγεῖν, καὶ ὅρκους ἔδοσαν καὶ ἔλαβον παρὰ 9
Φαρναβάζου ὑποτελεῖν τὸν φόρον Καλχηδονίους
Ἀθηναίοις ὅσονπερ εἰώθεσαν καὶ τὰ ὀφειλόμενα χρή-
ματα ἀποδοῦναι, Ἀθηναίους δὲ μὴ πολεμεῖν Καλχη-
δονίοις, ἕως ἂν οἱ παρὰ βασιλέως πρέσβεις ἔλθωσιν.
Ἀλκιβιάδης δὲ τοῖς ὅρκοις οὐκ ἐτύγχανε παρών, ἀλλὰ 10
περὶ Σηλυβρίαν ἦν· ἐκείνην δ' ἑλὼν πρὸς τὸ Βυζάν-
τιον ἧκεν, ἔχων Χερρονησίτας τε πανδημεὶ καὶ ἀπὸ
Θρᾴκης στρατιώτας καὶ ἱππέας πλείους τριακοσίων.
Φαρνάβαζος δὲ ἀξιῶν δεῖν κἀκεῖνον ὀμνύναι, περιέ- 11

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μενεν ἐν Καλχηδόνι, μέχρι ἔλθοι ἐκ τοῦ Βυζαντίου·
ἐπειδὴ δ' ἦλθεν, οὐκ ἔφη ὀμεῖσθαι, εἰ μὴ κἀκεῖνος αὐ-
12 τῷ ὀμεῖται. μετὰ ταῦτα ὤμοσεν ὁ μὲν ἐν Χρυσοπόλει
οἷς Φαρνάβαζος ἔπεμψε Μιτροβάτει καὶ Ἀρνάπει, ὁ
δ' ἐν Καλχηδόνι τοῖς παρ' Ἀλκιβιάδου Εὐρυπτολέμῳ
καὶ Διοτίμῳ τόν τε κοινὸν ὅρκον καὶ ἰδίᾳ ἀλλήλοις
13 πίστεις ἐποιήσαντο. Φαρνάβαζος μὲν οὖν εὐθὺς ἀπῄει,
καὶ τοὺς παρὰ βασιλέα πορευομένους πρέσβεις ἀπαν-
τᾶν ἐκέλευσεν εἰς Κύζικον. ἐπέμφθησαν δὲ Ἀθηναίων
μὲν Δωρόθεος, Φιλοδίκης, Θεογένης, Εὐρυπτόλεμος,
Μαντίθεος, σὺν δὲ τούτοις Ἀργεῖοι Κλεόστρατος,
Πυρρόλοχος· ἐπορεύοντο δὲ καὶ Λακεδαιμονίων πρέ-
σβεις Πασιππίδας καὶ ἕτεροι, μετὰ δὲ τούτων καὶ Ἑρμο-
κράτης, ἤδη φεύγων ἐκ Συρακουσῶν, καὶ ὁ ἀδελφὸς
14 αὐτοῦ Πρόξενος. καὶ Φαρνάβαζος μὲν τούτους ἦγεν·
οἱ δὲ Ἀθηναῖοι τὸ Βυζάντιον ἐπολιόρκουν περιτειχί-
σαντες, καὶ πρὸς τὸ τεῖχος ἀκροβολισμοὺς καὶ προσβο-
15 λὰς ἐποιοῦντο. ἐν δὲ τῷ Βυζαντίῳ ἦν Κλέαρχος Λα-
κεδαιμόνιος ἁρμοστὴς καὶ σὺν αὐτῷ τῶν περιοίκων τι-
νὲς καὶ τῶν νεοδαμωδῶν οὐ πολλοὶ καὶ Μεγαρεῖς καὶ
ἄρχων αὐτῶν Ἕλιξος Μεγαρεὺς καὶ Βοιωτοὶ καὶ τού-
16 των ἄρχων Κοιρατάδας. οἱ δ' Ἀθηναῖοι ὡς οὐδὲν
ἐδύναντο διαπράξασθαι κατ' ἰσχύν, ἔπεισάν τινας τῶν
17 Βυζαντίων προδοῦναι τὴν πόλιν. Κλέαρχος δὲ ὁ ἁρ-
μοστὴς οἰόμενος οὐδένα ἂν τοῦτο ποιῆσαι, καταστήσας
δὲ ἅπαντα ὡς ἐδύνατο κάλλιστα καὶ ἐπιτρέψας τὰ ἐν
τῇ πόλει Κοιρατάδᾳ καὶ Ἑλίξῳ, διέβη παρὰ τὸν Φαρ-
νάβαζον εἰς τὸ πέραν, μισθόν τε τοῖς στρατιώταις παρ'
αὐτοῦ ληψόμενος καὶ ναῦς συλλέξων, αἳ ἦσαν ἐν
τῷ Ἑλλησπόντῳ ἄλλαι καταλελειμμέναι φρουρίδες
ὑπὸ Πασιππίδου καὶ ἐν Ἀντάνδρῳ καὶ ἃς Ἀγησανδρί-
δας εἶχεν ἐπὶ Θρᾴκης, ἐπιβάτης ὢν Μινδάρου, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπως ἄλλαι ναυπηγηθείησαν, ἀθρόαι δὲ γενόμεναι
πᾶσαι κακῶς τοὺς συμμάχους τῶν Ἀθηναίων ποιοῦσαι
ἀποσπάσειαν τὸ στρατόπεδον ἀπὸ τοῦ Βυζαντίου.
ἐπεὶ δ' ἐξέπλευσεν ὁ Κλέαρχος, οἱ προδιδόντες τὴν πό- 18
λιν τῶν Βυζαντίων Κύδων καὶ Ἀρίστων καὶ Ἀναξι-
κράτης καὶ Λυκοῦργος καὶ Ἀναξίλαος, ὃς ὑπαγόμενος 19
θανάτου ὕστερον ἐν Λακεδαίμονι διὰ τὴν προδοσίαν
ἀπέφυγεν, ὅτι οὐ προδοίη τὴν πόλιν, ἀλλὰ σῶσαι,
παῖδας ὁρῶν καὶ γυναῖκας λιμῷ ἀπολλυμένας, Βυζάν-
τιος ὢν καὶ οὐ Λακεδαιμόνιος· τὸν γὰρ ἐνόντα σῖτον
Κλέαρχον τοῖς Λακεδαιμονίων στρατιώταις διδόναι·
διὰ ταῦτ' οὖν τοὺς πολεμίους ἔφη εἰσέσθαι, οὐκ ἀργυ-
ρίου ἕνεκα οὐδὲ διὰ τὸ μισεῖν Λακεδαιμονίους· ἐπεὶ δὲ 20
αὐτοῖς παρεσκεύαστο, νυκτὸς ἀνοίξαντες τὰς πύλας
τὰς ἐπὶ τὸ Θρᾴκιον καλουμένας εἰσήγαγον τὸ στράτευ-
μα καὶ τὸν Ἀλκιβιάδην. ὁ δὲ Ἕλιξος καὶ ὁ Κοιρατάδας 21
οὐδὲν τούτων εἰδότες ἐβοήθουν μετὰ πάντων εἰς τὴν
ἀγοράν· ἐπεὶ δὲ πάντῃ οἱ πολέμιοι κατεῖχον, οὐδὲν
ἔχοντες ὅ,τι ποιήσειαν, παρέδοσαν σφᾶς αὐτούς. καὶ 22
οὗτοι μὲν ἀπεπέμφθησαν εἰς Ἀθήνας, καὶ ὁ Κοιρατά-
δας ἐν τῷ ὄχλῳ ἀποβαινόντων ἐν Πειραιεῖ ἔλαθεν
ἀποδρὰς καὶ ἀπεσώθη εἰς Δεκέλειαν.

Φαρνάβαζος δὲ καὶ οἱ πρέσβεις τῆς Φρυγίας ἐν IV.
Γορδιείῳ ὄντες τὸν χειμῶνα τὰ περὶ τὸ Βυζάντιον πε- a.C. 408.
πραγμένα ἤκουσαν. ἀρχομένου δὲ τοῦ ἔαρος πορευο- 2
μένοις αὐτοῖς παρὰ βασιλέα ἀπήντησαν καταβαίνοντες
οἵ τε Λακεδαιμονίων πρέσβεις Βοιώτιος [ὄνομα] καὶ οἱ
μετ' αὐτοῦ καὶ οἱ ἄλλοι ἄγγελοι, καὶ ἔλεγον ὅτι Λακε-
δαιμόνιοι πάντων ὧν δέονται πεπραγότες εἶεν παρὰ
βασιλέως, καὶ Κῦρος, ἄρξων πάντων τῶν ἐπὶ θαλάττῃ 3
καὶ συμπολεμήσων Λακεδαιμονίοις, ἐπιστολήν τε ἔφερε
τοῖς κάτω πᾶσι τὸ βασίλειον σφράγισμα ἔχουσαν, ἐν ᾗ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνῆν καὶ τάδε· Καταπέμπω Κῦρον κάρανον τῶν εἰς
4 Καστωλὸν ἁθροιζομένων. [τὸ δὲ κάρανον ἔστι κύριον.
ταῦτ' οὖν ἀκούοντες οἱ τῶν Ἀθηναίων πρέσβεις, καὶ
ἐπειδὴ Κῦρον εἶδον, ἐβούλοντο μάλιστα μὲν παρὰ βα-
5 σιλέα ἀναβῆναι, εἰ δὲ μή, οἴκαδε ἀπελθεῖν. Κῦρος δὲ
Φαρναβάζῳ εἶπεν ἢ παραδοῦναι τοὺς πρέσβεις ἑαυτῷ
ἢ μὴ οἴκαδέ πω ἀποπέμψαι, βουλόμενος τοὺς Ἀθη-
6 ναίους μὴ εἰδέναι τὰ πραττόμενα. Φαρνάβαζος δὲ
τέως μὲν κατεῖχε τοὺς πρέσβεις, φάσκων τοτὲ μὲν ἀνά-
ξειν αὐτοὺς παρὰ βασιλέα, τοτὲ δὲ οἴκαδε ἀποπέμψειν,
7 ὡς μηδὲν μέμψηται· ἐπειδὴ δὲ ἐνιαυτοὶ τρεῖς ἦσαν,
ἐδεήθη τοῦ Κύρου ἀφεῖναι αὐτούς, φάσκων ὀμωμοκέ-
ναι ἀπάξειν ἐπὶ θάλατταν, ἐπειδὴ οὐ παρὰ βασιλέα.
πέμψαντες δὲ Ἀριοβαρζάνει παρακομίσαι αὐτοὺς ἐκέ-
λευον· ὁ δὲ ἀπήγαγεν εἰς Κίον τῆς Μυσίας, ὅθεν πρὸς
τὸ ἄλλο στρατόπεδον ἀπέπλευσαν.
8 Ἀλκιβιάδης δὲ βουλόμενος μετὰ τῶν στρατιωτῶν
a.C. 407. ἀποπλεῖν οἴκαδε, ἀνήχθη εὐθὺς ἐπὶ Σάμου· ἐκεῖθεν
δὲ λαβὼν τῶν νεῶν εἴκοσιν ἔπλευσε τῆς Καρίας εἰς τὸν
9 Κεραμικὸν κόλπον. ἐκεῖθεν δὲ συλλέξας ἑκατὸν τά-
λαντα ἧκεν εἰς τὴν Σάμον. Θρασύβουλος δὲ σὺν τριά-
κοντα ναυσὶν ἐπὶ Θρᾴκης ᾤχετο, ἐκεῖ δὲ τά τε ἄλλα
χωρία τὰ πρὸς Λακεδαιμονίους μεθεστηκότα κατεστρέ-
ψατο καὶ Θάσον, ἔχουσαν κακῶς ὑπό τε τῶν πολέμων
10 καὶ στάσεων καὶ λιμοῦ. Θράσυλλος δὲ σὺν τῇ ἄλλῃ
στρατιᾷ εἰς Ἀθήνας κατέπλευσε· πρὶν δὲ ἥκειν αὐτὸν
οἱ Ἀθηναῖοι στρατηγοὺς εἵλοντο Ἀλκιβιάδην μὲν φεύ-
γοντα καὶ Θρασύβουλον ἀπόντα, Κόνωνα δὲ τρίτον ἐκ
11 τῶν οἴκοθεν. Ἀλκιβιάδης δ' ἐκ τῆς Σάμου ἔχων τὰ
χρήματα κατέπλευσεν εἰς Πάρον ναυσὶν εἴκοσιν, ἐκεῖ-
θεν δ' ἀνήχθη εὐθὺ Γυθείου ἐπὶ κατασκοπὴν τῶν τριή-
ρων, ἃς ἐπυνθάνετο Λακεδαιμονίους αὐτόθι παρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκευάζειν τριάκοντα, καὶ τοῦ οἴκαδε κατάπλου ὅπως ἡ
πόλις πρὸς αὐτὸν ἔχει. ἐπεὶ δ' ἑώρα ἑαυτῷ εὔνουν οὖ-
σαν καὶ στρατηγὸν αὐτὸν ᾑρημένους καὶ ἰδίᾳ μεταπεμ-
πομένους τοὺς ἐπιτηδείους, κατέπλευσεν εἰς τὸν Πει-
ραιᾶ ἡμέρᾳ ᾗ Πλυντήρια ἦγεν ἡ πόλις, τοῦ ἕδους κα-
τακεκαλυμμένου τῆς Ἀθηνᾶς, ὅ τινες οἰωνίζοντο ἀνε-
πιτήδειον εἶναι καὶ αὐτῷ καὶ τῇ πόλει· Ἀθηναίων γὰρ
οὐδεὶς ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐδενὸς σπουδαίου ἔργου
τολμῆσαι ἂν ἅψασθαι. καταπλέοντος δ' αὐτοῦ ὅ τε ἐκ 13
τοῦ Πειραιῶς καὶ ὁ ἐκ τοῦ ἄστεως ὄχλος ἠθροίσθη πρὸς
τὰς ναῦς, θαυμάζοντες καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλ-
κιβιάδην, λέγοντες οἱ μὲν ὡς κράτιστος εἴη τῶν πολι-
τῶν καὶ μόνος [ἀπελογήθη ὡς] οὐ δικαίως φύγοι, ἐπι-
βουλευθεὶς δὲ ὑπὸ τῶν ἔλαττον ἐκείνου δυναμένων
μοχθηρότερά τε λεγόντων καὶ πρὸς τὸ αὑτῶν ἴδιον
κέρδος πολιτευόντων, ἐκείνου ἀεὶ τὸ κοινὸν αὔξοντος
καὶ ἀπὸ τῶν αὑτοῦ καὶ ἀπὸ τοῦ τῆς πόλεως δυνατοῦ,
ἐθέλοντος δὲ τότε κρίνεσθαι παραχρῆμα τῆς αἰτίας 14
[ἄρτι]γεγενημένης ὡς ἠσεβηκότος εἰς τὰ μυστήρια,
ὑπερβαλόμενοι οἱ ἐχθροὶ τὰ δοκοῦντα δίκαια εἶναι
ἀπόντα αὐτὸν ἐστέρησαν τῆς πατρίδος· ἐν ᾧ χρόνῳ ὑπὸ 15
ἀμηχανίας[δουλεύων] ἠναγκάσθη μὲν θεραπεύειν τοὺς
ἐχθίστους, κινδυνεύων ἀεὶ παρ' ἑκάστην ἡμέραν ἀπο-
λέσθαι· τοὺς δὲ οἰκειοτάτους πολίτας τε καὶ συγγενεῖς
καὶ τὴν πόλιν ἅπασαν ὁρῶν ἐξαμαρτάνουσαν, οὐκ εἶ-
χεν ὅπως ὠφελοίη φυγῇ ἀπειργόμενος· οὐκ ἔφασαν δὲ 16
τῶν οἵωνπερ αὐτὸς ὄντων εἶναι καινῶν δεῖσθαι πρα-
γμάτων οὐδὲ μεταστάσεως· ὑπάρχειν γὰρ ἐκ τοῦ δή-
μου αὐτῷ μὲν τῶν τε ἡλικιωτῶν πλέον ἔχειν τῶν τε
πρεσβυτέρων μὴ ἐλαττοῦσθαι, τοῖς δ' αὐτοῦ ἐχθροῖς
τοιούτοις δοκεῖν εἶναι οἷοισπερ πρότερον, ὕστερον δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δυνασθεῖσιν ἀπολλύναι τοὺς βελτίστους, αὐτοὺς δὲ
μόνους λειφθέντας δι' αὐτὸ τοῦτο ἀγαπᾶσθαι ὑπὸ τῶν
17 πολιτῶν ὅτι ἑτέροις βελτίοσιν οὐκ εἶχον χρῆσθαι· οἱ
δέ, ὅτι τῶν παροιχομένων αὐτοῖς κακῶν μόνος αἴτιος
εἴη, τῶν τε φοβερῶν ὄντων τῇ πόλει γενέσθαι μόνος
18 κινδυνεύσαι ἡγεμὼν καταστῆναι. Ἀλκιβιάδης δὲ πρὸς
τὴν γῆν ὁρμισθεὶς ἀπέβαινε μὲν οὐκ εὐθέως, φοβού-
μενος τοὺς ἐχθρούς· ἐπαναστὰς δὲ ἐπὶ τοῦ καταστρώ-
ματος ἐσκόπει τοὺς αὐτοῦ ἐπιτηδείους, εἰ παρείησαν.
19 κατιδὼν δὲ Εὐρυπτόλεμον τὸν Πεισιάνακτος, αὐτοῦ δὲ
ἀνεψιόν, καὶ τοὺς ἄλλους οἰκείους καὶ τοὺς φίλους μετ'
αὐτῶν, τότε ἀποβὰς ἀναβαίνει εἰς τὴν πόλιν μετὰ τῶν
20 παρεσκευασμένων, εἴ τις ἅπτοιτο, μὴ ἐπιτρέπειν. ἐν
δὲ τῇ βουλῇ καὶ τῇ ἐκκλησίᾳ ἀπολογησάμενος ὡς οὐκ
ἠσεβήκει, εἰπὼν δὲ ὡς ἠδίκηται, λεχθέντων δὲ καὶ ἄλ-
λων τοιούτων καὶ οὐδενὸς ἀντειπόντος διὰ τὸ μὴ ἀνα-
σχέσθαι ἂν τὴν ἐκκλησίαν, ἀναρρηθεὶς ἁπάντων ἡγε-
μὼν αὐτοκράτωρ, ὡς οἷός τε ὢν σῶσαι τὴν προτέραν
τῆς πόλεως δύναμιν, πρότερον μὲν τὰ μυστήρια τῶν
Ἀθηναίων κατὰ θάλατταν ἀγόντων διὰ τὸν πόλεμον,
κατὰ γῆν ἐποίησεν ἐξαγαγὼν τοὺς στρατιώτας ἅπαν-
21 τας· μετὰ δὲ ταῦτα κατελέξατο στρατιάν, ὁπλίτας
μὲν πεντακοσίους καὶ χιλίους, ἱππέας δὲ πεντήκοντα
καὶ ἑκατόν, ναῦς δ' ἑκατόν. καὶ μετὰ τὸν κατάπλουν
τρίτῳ μηνὶ ἀνήχθη ἐπ' Ἄνδρον ἀφεστηκυῖαν τῶν Ἀθη-
ναίων, καὶ μετ' αὐτοῦ Ἀριστοκράτης καὶ Ἀδείμαντος
ὁ Λευκολοφίδου συνεπέμφθησαν ᾑρημένοι κατὰ γῆν
22 στρατηγοί. Ἀλκιβιάδης δὲ ἀπεβίβασε τὸ στράτευμα
τῆς Ἀνδρίας χώρας εἰς Γαύρειον· ἐκβοηθήσαντας δὲ
τοὺς Ἀνδρίους ἐτρέψαντο καὶ κατέκλεισαν εἰς τὴν πό-
λιν καί τινας ἀπέκτειναν οὐ πολλούς καὶ τοὺς Λάκω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

νας οἱ αὐτόθι ἦσαν. Ἀλκιβιάδης δὲ τρόπαιόν τε ἔστησε 23
καὶ μείνας αὐτοῦ ὀλίγας ἡμέρας ἔπλευσεν εἰς Σάμον,
κἀκεῖθεν ὁρμώμενος ἐπολέμει.

Οἱ δὲ Λακεδαιμόνιοι πρότερον τούτων οὐ πολλῷ V.
χρόνῳ Κρατησιππίδᾳ τῆς ναυαρχίας παρεληλυθυίας
Λύσανδρον ἐξέπεμψαν ναύαρχον. ὁ δὲ ἀφικόμενος εἰς
Ῥόδον καὶ ναῦς ἐκεῖθεν λαβών, εἰς Κῶ καὶ Μίλητον
ἔπλευσεν, ἐκεῖθεν δ' εἰς Ἔφεσον, καὶ ἐκεῖ ἔμεινε ναῦς
ἔχων ἑβδομήκοντα μέχρι οὗ Κῦρος εἰς Σάρδεις ἀφί-
κετο. ἐπεὶ δ' ἧκεν, ἀνέβη πρὸς αὐτὸν σὺν τοῖς ἐκ Λα- 2
κεδαίμονος πρέσβεσιν. ἐνταῦθα δὴ κατά τε τοῦ Τισ-
σαφέρνους ἔλεγον ἃ πεποιηκὼς εἴη, αὐτοῦ τε Κύρου
ἐδέοντο ὡς προθυμοτάτου πρὸς τὸν πόλεμον γενέσθαι.
Κῦρος δὲ τόν τε πατέρα ἔφη ταῦτα ἐπεσταλκέναι καὶ 3
αὐτὸς οὐκ ἄλλ' ἐγνωκέναι, ἀλλὰ πάντα ποιήσειν· ἔχων
δὲ ἥκειν τάλαντα πεντακόσια· ἐὰν δὲ ταῦτα ἐκλίπῃ, τοῖς
ἰδίοις χρήσεσθαι ἔφη, ἃ ὁ πατὴρ αὐτῷ ἔδωκεν· ἐὰν δὲ
καὶ ταῦτα, καὶ τὸν θρόνον κατακόψειν ἐφ' οὗ ἐκάθητο,
ὄντα ἀργυροῦν καὶ χρυσοῦν. οἱ δὲ ταῦτ' ἐπῄνουν καὶ 4
ἐκέλευον αὐτὸν τάξαι τῷ ναύτῃ δραχμὴν Ἀττικήν, δι-
δάσκοντες ὅτι ἂν οὗτος ὁ μισθὸς γένηται, οἱ τῶν Ἀθη-
ναίων ναῦται ἀπολείψουσι τὰς ναῦς, καὶ μείω χρήματα
ἀναλώσει. ὁ δὲ καλῶς μὲν ἔφη αὐτοὺς λέγειν, οὐ δυ- 5
νατὸν δ' εἶναι παρ' ἃ βασιλεὺς ἐπέστειλεν αὐτῷ ἄλλα
ποιεῖν. εἶναι δὲ καὶ τὰς συνθήκας οὕτως ἐχούσας,
τριάκοντα μνᾶς ἑκάστῃ νηὶ τοῦ μηνὸς διδόναι, ὁπόσας
ἂν βούλωνται τρέφειν Λακεδαιμόνιοι. ὁ δὲ Λύσαν- 6
δρος τότε μὲν ἐσιώπησε· μετὰ δὲ τὸ δεῖπνον, ἐπεὶ αὐ-
τῷ προπιὼν ὁ Κῦρος ἤρετο τί ἂν μάλιστα χαρίζοιτο
ποιῶν, εἶπεν ὅτι Εἰ πρὸς τὸν μισθὸν ἑκάστῳ ναύτῃ
ὀβολὸν προσθείης. ἐκ δὲ τούτου τέτταρες ὀβολοὶ ἦν 7
ὁ μισθός, πρότερον δὲ τριώβολον. καὶ τόν τε πρου-



Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

φειλόμενον ἀπέδωκε καὶ ἔτι μηνὸς προὔδωκεν, ὥστε
8 τὸ στράτευμα πολὺ προθυμότερον εἶναι. οἱ δὲ Ἀθη-
ναῖοι ἀκούοντες ταῦτα ἀθύμως μὲν εἶχον, ἔπεμπον δὲ
9 πρὸς τὸν Κῦρον πρέσβεις διὰ Τισσαφέρνους. ὁ δὲ οὐ
προσεδέχετο, δεομένου Τισσαφέρνους καὶ λέγοντος,
ἅπερ αὐτὸς ἐποίει πεισθεὶς ὑπ' Ἀλκιβιάδου, σκοπεῖν
ὅπως τῶν Ἑλλήνων μηδὲ οἵτινες ἰσχυροὶ ὦσιν, ἀλλὰ
10 πάντες ἀσθενεῖς, αὐτοὶ ἐν αὑτοῖς στασιάζοντες. καὶ
ὁ μὲν Λύσανδρος, ἐπεὶ αὐτῷ τὸ ναυτικὸν συνετέτακτο,
ἀνελκύσας τὰς ἐν τῇ Ἐφέσῳ οὔσας ναῦς ἐνενήκοντα
11 ἡσυχίαν ἦγεν, ἐπισκευάζων καὶ ἀναψύχων αὐτάς. Ἀλ-
κιβιάδης δὲ ἀκούσας Θρασύβουλον ἐξ Ἑλλησπόντου
ἥκοντα τειχίζειν Φώκαιαν διέπλευσε πρὸς αὐτόν, κα-
ταλιπὼν ἐπὶ ταῖς ναυσὶν Ἀντίοχον τὸν αὑτοῦ κυβερ-
νήτην, ἐπιστείλας μὴ ἐπιπλεῖν ἐπὶ τὰς Λυσάνδρου
12 ναῦς. ὁ δὲ Ἀντίοχος τῇ τε αὑτοῦ νηὶ καὶ ἄλλῃ ἐκ Νο-
τίου εἰς τὸν λιμένα τῶν Ἐφεσίων εἰσπλεύσας παρ' αὐ-
13 τὰς τὰς πρῴρας τῶν Λυσάνδρου νεῶν παρέπλει. ὁ δὲ
Λύσανδρος τὸ μὲν πρῶτον ὀλίγας τῶν νεῶν καθελκύ-
σας ἐδίωκεν αὐτόν, ἐπεὶ δὲ οἱ Ἀθηναῖοι τῷ Ἀντιόχῳ
ἐβοήθουν πλείοσι ναυσί, τότε δὴ καὶ πάσας συντάξας
ἐπέπλει. μετὰ δὲ ταῦτα καὶ οἱ Ἀθηναῖοι ἐκ τοῦ Νο-
τίου καθελκύσαντες τὰς λοιπὰς τριήρεις ἀνήχθησαν,
14 ὡς ἕκαστος ἤνοιξεν. ἐκ τούτου δ' ἐναυμάχησαν οἱ μὲν
ἐν τάξει, οἱ δὲ Ἀθηναῖοι διεσπαρμέναις ταῖς ναυσί,
μέχρι οὗ ἔφυγον ἀπολέσαντες πεντεκαίδεκα τριήρεις.
τῶν δὲ ἀνδρῶν οἱ μὲν πλεῖστοι ἐξέφυγον, οἱ δ' ἐζω-
γρήθησαν. Λύσανδρος δὲ τάς τε ναῦς ἀναλαβὼν καὶ
τρόπαιον στήσας ἐπὶ τοῦ Νοτίου διέπλευσεν εἰς Ἔφε-
15 σον, οἱ δ' Ἀθηναῖοι εἰς Σάμον. μετὰ δὲ ταῦτα Ἀλκι-
βιάδης ἐλθὼν εἰς Σάμον ἀνήχθη ταῖς ναυσὶν ἁπάσαις
ἐπὶ τὸν λιμένα τῶν Ἐφεσίων, καὶ πρὸ τοῦ στόματος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παρέταξεν, εἴ τις βούλοιτο ναυμαχεῖν. ἐπειδὴ δὲ Λύ-
σανδρος οὐκ ἀντανήγαγε διὰ τὸ πολλαῖς ναυσὶν ἐλατ-
τοῦσθαι, ἀπέπλευσεν εἰς Σάμον. Λακεδαιμόνιοι δὲ
ὀλίγῳ ὕστερον αἱροῦσι Δελφίνιον καὶ Ἠιόνα. οἱ δὲ 16
ἐν οἴκῳ Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία, χαλε-
πῶς εἶχον τῷ Ἀλκιβιάδῃ, οἰόμενοι δι' ἀμέλειάν τε καὶ
ἀκράτειαν ἀπολωλεκέναι τὰς ναῦς, καὶ στρατηγοὺς
εἵλοντο ἄλλους δέκα, Κόνωνα, Διομέδοντα, Λέοντα,
Περικλέα, Ἐρασινίδην, Ἀριστοκράτη, Ἀρχέστρατον,
Πρωτόμαχον, Θράσυλλον, Ἀριστογένη. Ἀλκιβιά- 17
δης μὲν οὖν πονήρως καὶ ἐν τῇ στρατιᾷ φερόμενος,
λαβὼν τριήρη μίαν ἀπέπλευσεν εἰς Χερρόνησον εἰς τὰ
ἑαυτοῦ τείχη. μετὰ δὲ ταῦτα Κόνων ἐκ τῆς Ἄνδρου 18
σὺν αἷς εἶχε ναυσὶν εἴκοσι ψηφισαμένων Ἀθηναίων εἰς
Σάμον ἔπλευσεν ἐπὶ τὸ ναυτικόν. ἀντὶ δὲ Κόνωνος εἰς
Ἄνδρον ἔπεμψαν Φανοσθένη, τέτταρας ναῦς ἔχοντα.
οὗτος περιτυχὼν δυοῖν τριήροιν Θουρίαιν ἔλαβεν αὐ- 19
τοῖς ἀνδράσι· καὶ τοὺς μὲν αἰχμαλώτους ἅπαντας ἔδη-
σαν Ἀθηναῖοι, τὸν δὲ ἄρχοντα αὐτῶν Δωριέα, ὄντα
μὲν Ῥόδιον, πάλαι δὲ φυγάδα ἐξ Ἀθηνῶν καὶ Ῥόδου
ὑπὸ Ἀθηναίων κατεψηφισμένων αὐτοῦ θάνατον καὶ
τῶν ἐκείνου συγγενῶν, πολιτεύοντα παρ' αὐτοῖς, ἐλε-
ήσαντες ἀφεῖσαν οὐδὲ χρήματα πραξάμενοι. Κόνων 20
δ' ἐπεὶ εἰς τὴν Σάμον ἀφίκετο καὶ τὸ ναυτικὸν κατέλα-
βεν ἀθύμως ἔχον, συμπληρώσας τριήρεις ἑβδομήκοντα
ἀντὶ τῶν προτέρων, οὐσῶν πλέον ἢ ἑκατόν, καὶ ταύ-
ταις ἀναγαγόμενος μετὰ τῶν ἄλλων στρατηγῶν, ἄλ-
λοτε ἄλλῃ ἀποβαίνων τῆς τῶν πολεμίων χώρας ἐλῄ-
ζετο. [καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ Καρχηδόνιοι εἰς Σικε- 21
λίαν στρατεύσαντες εἴκοσι καὶ ἑκατὸν τριήρεσι καὶ πε-
ζῆς στρατιᾶς δώδεκα μυριάσιν εἷλον Ἀκράγαντα λιμῷ,
μάχῃ μὲν ἡττηθέντες, προσκαθεξόμενοι δὲ ἑπτὰ μῆνας.]

2*

VI. Τῷ δ' ἐπιόντι ἔτει [ᾧ ἥ τε σελήνη ἐξέλιπεν ἑσπέ-
B.C. 406. ρας καὶ ὁ παλαιὸς τῆς Ἀθηνᾶς νεὼς ἐν Ἀθήναις ἐνεπρήσθη, Πιτύα μὲν ἐφορεύοντος, ἄρχοντος δὲ Καλλίου Ἀθήνησιν,] οἱ Λακεδαιμόνιοι τῷ Λυσάνδρῳ παρεληλυθότος ἤδη τοῦ χρόνου [καὶ τῷ πολέμῳ τεττάρων καὶ εἴκοσιν ἐτῶν] ἔπεμψαν ἐπὶ τὰς ναῦς Καλλικρατί-
2 δαν. ὅτε δὲ παρεδίδου ὁ Λύσανδρος τὰς ναῦς, ἔλεγε τῷ Καλλικρατίδᾳ ὅτι θαλαττοκράτωρ τε παραδιδοίη καὶ ναυμαχίᾳ νενικηκώς. ὁ δὲ αὐτὸν ἐκέλευσεν ἐξ Ἐφέσου ἐν ἀριστερᾷ Σάμου παραπλεύσαντα, οὗ ἦσαν αἱ τῶν Ἀθηναίων νῆες, ἐν Μιλήτῳ παραδοῦναι τὰς ναῦς, καὶ
3 ὁμολογήσειν θαλαττοκρατεῖν. οὐ φαμένου δὲ τοῦ Λυσάνδρου πολυπραγμονεῖν ἄλλου ἄρχοντος, αὐτὸς ὁ Καλλικρατίδας πρὸς αἷς παρὰ Λυσάνδρου ἔλαβε ναυσὶ προσεπλήρωσεν ἐκ Χίου καὶ Ῥόδου καὶ ἄλλοθεν ἀπὸ τῶν συμμάχων πεντήκοντα ναῦς. ταύτας δὲ πάσας ἀθροίσας, οὔσας τετταράκοντα καὶ ἑκατόν, παρεσκευ-
4 άζετο ὡς ἀπαντησόμενος τοῖς πολεμίοις. καταμαθὼν δ' ὑπὸ τῶν Λυσάνδρου φίλων καταστασιαζόμενος, οὐ μόνον ἀπροθύμως ὑπηρετούντων, ἀλλὰ καὶ διαθροούντων ἐν ταῖς πόλεσιν ὅτι Λακεδαιμόνιοι μέγιστα παραπίπτοιεν ἐν τῷ διαλλάττειν τοὺς ναυάρχους, πολλάκις ἀντ' ἐπιτηδείων γενομένων καὶ ἄρτι συνιέντων τὰ ναυτικὰ καὶ ἀνθρώποις ὡς χρηστέον γιγνωσκόντων ἀπείρους θαλάττης πέμποντες καὶ ἀγνῶτας τοῖς ἐκεῖ, κινδυνεύοιέν τι παθεῖν διὰ τοῦτο, ἐκ τούτου δὲ ὁ Καλλικρατίδας συγκαλέσας τοὺς Λακεδαιμονίων ἐκεῖ παρόντας ἔλεγεν αὐτοῖς τοιάδε.

5 Ἐμοὶ μὲν ἀρκεῖ οἴκοι μένειν, καὶ εἴτε Λύσανδρος εἴτε ἄλλος τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι, οὐ κωλύω τὸ κατ' ἐμέ· ἐγὼ δ' ὑπὸ τῆς πόλεως ἐπὶ τὰς ναῦς πεμφθεὶς οὐκ ἔχω τί ἄλλο ποιῶ ἢ τὰ κε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

ιόμενα ὡς ἂν δύνωμαι κράτιστα. ὑμεῖς δὲ πρὸς ἃ
ό τε φιλοτιμοῦμαι καὶ ἡ πόλις ἡμῶν αἰτιάζεται, ἴστε
ρ αὐτὰ ὥσπερ καὶ ἐγώ, συμβουλεύετε τὰ ἄριστα
ῖν δοκοῦντα εἶναι περὶ τοῦ ἐμὲ ἐνθάδε μένειν ἢ οἴ-
δε ἀποπλεῖν ἐροῦντα τὰ καθεστῶτα ἐνθάδε.

Οὐδενὸς δὲ τολμήσαντος ἄλλο τι εἰπεῖν ἢ τοῖς οἴ- 6
πείθεσθαι ποιεῖν τε ἐφ' ἃ ἥκει, ἐλθὼν παρὰ Κῦ-
ν ᾔτει μισθὸν τοῖς ναύταις· ὁ δὲ αὐτῷ εἶπε δύο ἡμέ- 7
ς ἐπισχεῖν. Καλλικρατίδας δὲ ἀχθεσθεὶς τῇ ἀνα-
λῇ καὶ ταῖς ἐπὶ τὰς θύρας φοιτήσεσιν, ὀργισθεὶς καὶ
ὼν ἀθλιωτάτους εἶναι τοὺς Ἕλληνας, ὅτι βαρβά-
υς κολακεύουσιν ἕνεκα ἀργυρίου, φάσκων τε, ἢν σω-
οἴκαδε, κατά γε τὸ αὑτοῦ δυνατὸν διαλλάξειν Ἀθη-
ίους καὶ Λακεδαιμονίους, ἀπέπλευσεν εἰς Μίλητον·
κεῖθεν πέμψας τριήρεις εἰς Λακεδαίμονα ἐπὶ χρή- 8
τα, ἐκκλησίαν ἀθροίσας τῶν Μιλησίων τάδε εἶπεν.

Ἐμοὶ μέν, ὦ Μιλήσιοι, ἀνάγκη τοῖς οἴκοι ἄρχουσι
ίθεσθαι· ὑμᾶς δὲ ἐγὼ ἀξιῶ προθυμοτάτους εἶναι εἰς
ν πόλεμον διὰ τὸ οἰκοῦντας ἐν βαρβάροις πλεῖστα
κὰ ἤδη ὑπ' αὐτῶν πεπονθέναι. δεῖ δ' ὑμᾶς ἐξηγεῖ- 9
αι τοῖς ἄλλοις συμμάχοις ὅπως ἂν τάχιστά τε καὶ
λιστα βλάπτωμεν τοὺς πολεμίους, ἕως ἂν οἱ ἐκ Λα-
δαίμονος ἥκωσιν, οὓς ἐγὼ ἔπεμψα χρήματα ἄξοντας,
εὶ τὰ ἐνθάδε ὑπάρχοντα Λύσανδρος Κύρῳ ἀποδοὺς 10
περιττὰ ὄντα οἴχεται· Κῦρος δὲ ἐλθόντος ἐμοῦ ἐπ'
τὸν ἀεὶ ἀνεβάλλετό μοι διαλεχθῆναι, ἐγὼ δ' ἐπὶ τὰς
είνου θύρας φοιτᾶν οὐκ ἐδυνάμην ἐμαυτὸν πεῖσαι.
ισχνοῦμαι δ' ὑμῖν ἀντὶ τῶν συμβάντων ἡμῖν ἀγα- 11
ῶν ἐν τῷ χρόνῳ ᾧ ἂν ἐκεῖνα προσδεχώμεθα χάριν
ίαν ἀποδώσειν. ἀλλὰ σὺν τοῖς θεοῖς δείξομεν τοῖς
ρβάροις ὅτι καὶ ἄνευ τοῦ ἐκείνους θαυμάζειν δυνά-
θα τοὺς ἐχθροὺς τιμωρεῖσθαι.

λιστα οἱ αἰτιαζόμενοι ἐναντιοῦσθαι δεδιότες εἰσηγοῦν-
το πόρον χρημάτων καὶ αὐτοὶ ἐπαγγελλόμενοι ἰδίᾳ.
λαβὼν δὲ ταῦτα ἐκεῖνος καὶ ἐκ Χίου πεντεδραχμίαν
ἑκάστῳ τῶν ναυτῶν ἐφοδιασάμενος ἔπλευσε τῆς Λέ-
13 σβου ἐπὶ Μήθυμναν πολεμίαν οὖσαν. οὐ βουλομένων
δὲ τῶν Μηθυμναίων προσχωρεῖν, ἀλλ' ἐμφρούρων
ὄντων Ἀθηναίων καὶ τῶν τὰ πράγματα ἐχόντων ἀττι-
κιζόντων, προσβαλὼν αἱρεῖ τὴν πόλιν κατὰ κράτος.
14 τὰ μὲν οὖν χρήματα πάντα διήρπασαν οἱ στρατιῶται,
τὰ δὲ ἀνδράποδα πάντα συνήθροισεν ὁ Καλλικρατίδας
εἰς τὴν ἀγοράν, καὶ κελευόντων τῶν συμμάχων ἀποδό-
σθαι καὶ τοὺς Μηθυμναίους οὐκ ἔφη ἑαυτοῦ γε ἄρχον-
τος οὐδένα Ἑλλήνων εἰς τὸ ἐκείνου δυνατὸν ἀνδραπο-
15 δισθῆναι. τῇ δ' ὑστεραίᾳ τοὺς μὲν ἐλευθέρους ἀφῆκε,
τοὺς δὲ τῶν Ἀθηναίων φρουροὺς καὶ τὰ ἀνδράποδα
τὰ δοῦλα πάντα ἀπέδοτο· Κόνωνι δὲ εἶπεν ὅτι παύσει
αὐτὸν μοιχῶντα τὴν θάλατταν. κατιδὼν δὲ αὐτὸν
ἀναγόμενον ἅμα τῇ ἡμέρᾳ, ἐδίωκεν ὑποτεμνόμενος
16 τὸν εἰς Σάμον πλοῦν, ὅπως μὴ ἐκεῖσε φύγοι. Κόνων
δ' ἔφευγε ταῖς ναυσὶν εὖ πλεούσαις διὰ τὸ ἐκ πολλῶν
πληρωμάτων εἰς ὀλίγας ἐκλελέχθαι τοὺς ἀρίστους ἐρέ-
τας, καὶ καταφεύγει εἰς Μυτιλήνην τῆς Λέσβου καὶ
σὺν αὐτῷ τῶν δέκα στρατηγῶν Λέων καὶ Ἐρασινίδης.
Καλλικρατίδας δὲ συνεισέπλευσεν εἰς τὸν λιμένα, διώ-
17 κων ναυσὶν ἑκατὸν καὶ ἑβδομήκοντα. Κόνων δὲ ὡς
ἔφθη ὑπὸ τῶν πολεμίων κατακωλυθείς, ἠναγκάσθη
ναυμαχῆσαι πρὸς τῷ λιμένι, καὶ ἀπώλεσε ναῦς τριά-
κοντα· οἱ δὲ ἄνδρες εἰς τὴν γῆν ἀπέφυγον· τὰς δὲ
λοιπὰς τῶν νεῶν, τετταράκοντα οὔσας, ὑπὸ τῷ τεί-
18 χει ἀνείλκυσε. Καλλικρατίδας δὲ ἐν τῷ λιμένι ὁρμισά-
μενος ἐπολιόρκει ἐνταῦθα, τὸν ἔκπλουν ἔχων. καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κατὰ γῆν μεταπεμψάμενος τοὺς Μηθυμναίους πανδη-
μεὶ καὶ ἐκ τῆς Χίου τὸ στράτευμα διεβίβασε· χρήματά
τε παρὰ Κύρου αὐτῷ ἦλθεν. ὁ δὲ Κόνων ἐπεὶ ἐπο- 19
λιορκεῖτο καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ σίτου
οὐδαμόθεν ἦν εὐπορῆσαι, οἱ δὲ ἄνθρωποι πολλοὶ ἐν
τῇ πόλει ἦσαν καὶ οἱ Ἀθηναῖοι οὐκ ἐβοήθουν διὰ τὸ
μὴ πυνθάνεσθαι ταῦτα, καθελκύσας τῶν νεῶν τὰς
ἄριστα πλεούσας δύο ἐπλήρωσε πρὸ ἡμέρας, ἐξ ἁπα-
σῶν τῶν νεῶν τοὺς ἀρίστους ἐρέτας ἐκλέξας καὶ τοὺς
ἐπιβάτας εἰς κοίλην ναῦν μεταβιβάσας καὶ τὰ παρα-
ρύματα παραβαλών. τὴν μὲν οὖν ἡμέραν οὕτως ἀνεῖ- 20
χον, εἰς δὲ τὴν ἑσπέραν, ἐπεὶ σκότος εἴη, ἐξεβίβαζεν,
ὡς μὴ καταδήλους εἶναι τοῖς πολεμίοις ταῦτα ποιοῦν-
τας. πέμπτῃ δὲ ἡμέρᾳ εἰσθέμενοι σῖτα μέτρια, ἐπει-
δὴ ἤδη μέσον ἡμέρας ἦν καὶ οἱ ἐφορμοῦντες ὀλιγώρως
εἶχον καὶ ἔνιοι ἀνεπαύοντο, ἐξέπλευσαν ἔξω τοῦ λιμέ-
νος, καὶ ἡ μὲν ἐπὶ Ἑλλησπόντου ὥρμησεν, ἡ δὲ εἰς τὸ
πέλαγος. τῶν δ' ἐφορμούντων ὡς ἕκαστοι ἤνοιγον, 21
τάς τε ἀγκύρας ἀποκόπτοντες καὶ ἐγειρόμενοι ἐβοή-
θουν τεταραγμένοι, τυχόντες ἐν τῇ γῇ ἀριστοποιούμε-
νοι· εἰσβάντες δὲ ἐδίωκον τὴν εἰς τὸ πέλαγος ἀφορμή-
σασαν, καὶ ἅμα τῷ ἡλίῳ δύνοντι κατέλαβον, καὶ κρα-
τήσαντες μάχῃ, ἀναδησάμενοι ἀπῆγον εἰς τὸ στρατό-
πεδον αὐτοῖς ἀνδράσιν. ἡ δ' ἐπὶ τοῦ Ἑλλησπόντου 22
φυγοῦσα ναῦς διέφυγε, καὶ ἀφικομένη εἰς τὰς Ἀθήνας
ἐξαγγέλλει τὴν πολιορκίαν. Διομέδων δὲ βοηθῶν Κό-
νωνι πολιορκουμένῳ δώδεκα ναυσὶν ὡρμίσατο εἰς τὸν
εὔριπον τὸν τῶν Μυτιληναίων. ὁ δὲ Καλλικρατίδας 23
ἐπιπλεύσας αὐτῷ ἐξαίφνης δέκα μὲν τῶν νεῶν ἔλαβε,
Διομέδων δ' ἔφυγε τῇ τε αὑτοῦ καὶ ἄλλῃ. οἱ δὲ Ἀθη- 24
ναῖοι τὰ γεγενημένα καὶ τὴν πολιορκίαν ἐπεὶ ἤκουσαν,
ἐψηφίσαντο βοηθεῖν ναυσὶν ἑκατὸν καὶ δέκα, εἰσβι-

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

βάζοντες τοὺς ἐν τῇ ἡλικίᾳ ὄντας ἅπαντας καὶ δούλους
καὶ ἐλευθέρους· καὶ πληρώσαντες τὰς δέκα καὶ ἑκατὸν
ἐν τριάκοντα ἡμέραις ἀπῆραν. εἰσέβησαν δὲ καὶ τῶν
25 ἱππέων πολλοί. μετὰ ταῦτα ἀνήχθησαν εἰς Σάμον,
κἀκεῖθεν Σαμίας ναῦς ἔλαβον δέκα· ἤθροισαν δὲ καὶ
ἄλλας πλείους ἢ τριάκοντα παρὰ τῶν ἄλλων συμμά-
χων, εἰσβαίνειν ἀναγκάσαντες ἅπαντας, ὁμοίως δὲ
καὶ εἴ τινες αὐτοῖς ἔτυχον ἔξω οὖσαι. ἐγένοντο δὲ αἱ
26 πᾶσαι πλείους ἢ πεντήκοντα καὶ ἑκατόν. ὁ δὲ Καλ-
λικρατίδας ἀκούων τὴν βοήθειαν ἤδη ἐν Σάμῳ οὖσαν,
αὐτοῦ μὲν κατέλιπε πεντήκοντα ναῦς καὶ ἄρχοντα
Ἐτεόνικον, ταῖς δὲ εἴκοσι καὶ ἑκατὸν ἀναχθεὶς ἐδει-
πνοποιεῖτο τῆς Λέσβου ἐπὶ τῇ Μαλέᾳ ἄκρᾳ ἀντίον
27 τῆς Μυτιλήνης. τῇ δ' αὐτῇ ἡμέρᾳ ἔτυχον καὶ οἱ
Ἀθηναῖοι δειπνοποιούμενοι ἐν ταῖς Ἀργινούσαις·
28 αὗται δ' εἰσὶν ἀντίον τῆς Λέσβου. τῆς δὲ νυκτὸς
ἰδὼν τὰ πυρά, καί τινων αὐτῷ ἐξαγγειλάντων ὅτι
οἱ Ἀθηναῖοι εἶεν, ἀνήγετο περὶ μέσας νύκτας, ὡς
ἐξαπιναίως προσπέσοι· ὕδωρ δ' ἐπιγενόμενον πολὺ
καὶ βρονταὶ διεκώλυσαν τὴν ἀναγωγήν. ἐπεὶ δὲ ἀνέ-
29 σχεν, ἅμα τῇ ἡμέρᾳ ἔπλει ἐπὶ τὰς Ἀργινούσας. οἱ δ'
Ἀθηναῖοι ἀντανήγοντο εἰς τὸ πέλαγος τῷ εὐωνύμῳ,
παρατεταγμένοι ὧδε. Ἀριστοκράτης μὲν τὸ εὐώνυ-
μον ἔχων ἡγεῖτο πεντεκαίδεκα ναυσί, μετὰ δὲ ταῦτα
Διομέδων ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Ἀρι-
στοκράτει μὲν Περικλῆς, Διομέδοντι δὲ Ἐρασινίδης·
παρὰ δὲ Διομέδοντα οἱ Σάμιοι δέκα ναυσὶν ἐπὶ μιᾶς
τεταγμένοι· ἐστρατήγει δὲ αὐτῶν Σάμιος ὀνόματι Ἱπ-
πεύς· ἐχόμεναι δ' αἱ τῶν ταξιάρχων δέκα, καὶ αὐταὶ
ἐπὶ μιᾶς· ἐπὶ δὲ ταύταις αἱ τῶν ναυάρχων τρεῖς, καὶ εἴ
30 τινες ἄλλαι ἦσαν συμμαχίδες. τὸ δὲ δεξιὸν κέρας Πρω-
τόμαχος εἶχε πεντεκαίδεκα ναυσί· παρὰ δ' αὐτὸν Θρά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

συλλος ἑτέραις πεντεκαίδεκα· ἐπετέτακτο δὲ Πρωτο-
μάχῳ μὲν Λυσίας, ἔχων τὰς ἴσας ναῦς, Θρασύλλῳ δὲ 31
Ἀριστογένης. οὕτω δ' ἐτάχθησαν, ἵνα μὴ διέκπλουν
διδοῖεν· χεῖρον γὰρ ἔπλεον. αἱ δὲ τῶν Λακεδαιμο-
νίων ἀντιτεταγμέναι ἦσαν ἅπασαι ἐπὶ μιᾶς ὡς πρὸς
διέκπλουν καὶ περίπλουν παρεσκευασμέναι, διὰ τὸ
βέλτιον πλεῖν. εἶχε δὲ τὸ δεξιὸν κέρας Καλλικρατίδας.
Ἕρμων δὲ Μεγαρεὺς ὁ τῷ Καλλικρατίδᾳ κυβερνῶν 32
εἶπε πρὸς αὐτὸν ὅτι εἴη καλῶς ἔχον ἀποπλεῦσαι· αἱ
γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ πλείονες ἦσαν.
Καλλικρατίδας δὲ εἶπεν ὅτι ἡ Σπάρτη οὐδὲν μὴ κάκιον
οἰκεῖται αὐτοῦ ἀποθανόντος, φεύγειν δὲ αἰσχρὸν ἔφη
εἶναι. μετὰ δὲ ταῦτα ἐναυμάχησαν χρόνον πολύν, 33
πρῶτον μὲν ἀθρόαι, ἔπειτα δὲ διεσκεδασμέναι. ἐπεὶ
δὲ Καλλικρατίδας τε ἐμβαλούσης τῆς νεὼς ἀποπεσὼν
εἰς τὴν θάλατταν ἠφανίσθη Πρωτόμαχός τε καὶ οἱ
μετ' αὐτοῦ τῷ δεξιῷ τὸ εὐώνυμον ἐνίκησαν, ἐντεῦθεν
φυγὴ τῶν Πελοποννησίων ἐγένετο εἰς Χίον, πλείστων
δὲ καὶ εἰς Φώκαιαν· οἱ δὲ Ἀθηναῖοι πάλιν εἰς τὰς Ἀρ-
γινούσας κατέπλευσαν. ἀπώλοντο δὲ τῶν μὲν Ἀθη- 34
ναίων νῆες πέντε καὶ εἴκοσιν αὐτοῖς ἀνδράσιν ἐκτὸς
ὀλίγων τῶν πρὸς τὴν γῆν προσενεχθέντων, τῶν δὲ
Πελοποννησίων Λακωνικαὶ μὲν ἐννέα, τῶν πασῶν οὐ-
σῶν δέκα, τῶν δ' ἄλλων συμμάχων πλείους ἢ ἑξήκοντα.
ἔδοξε δὲ [καὶ] τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἑπτὰ μὲν 35
καὶ τετταράκοντα ναυσὶ Θηραμένη τε καὶ Θρασύβου-
λον τριηράρχους ὄντας καὶ τῶν ταξιάρχων τινὰς πλεῖν
ἐπὶ τὰς καταδεδυκυίας ναῦς καὶ τοὺς ἐπ' αὐτῶν ἀν-
θρώπους, ταῖς δὲ ἄλλαις ἐπὶ τὰς μετ' Ἐτεονίκου τῇ
Μυτιλήνῃ ἐφορμούσας. ταῦτα δὲ βουλομένους ποιεῖν
ἄνεμος καὶ χειμὼν διεκώλυσεν αὐτοὺς μέγας γενόμε-
νος· τρόπαιον δὲ στήσαντες αὐτοῦ ηὐλίζοντο. τῷ δ' 36

Ἐτεονίκῳ ὁ ὑπηρετικὸς κέλης πάντα ἐξήγγειλε τὰ πε
την ναυμαχίαν. ὁ δὲ αὐτὸν πάλιν ἐξέπεμψεν εἰπό
τοῖς ἐνοῦσι σιωπῇ ἐκπλεῖν καὶ μηδενὶ διαλέγεσθαι, πα
ραχρῆμα δὲ αὖθις πλεῖν εἰς τὸ ἑαυτῶν στρατόπεδο
ἐστεφανωμένους καὶ βοῶντας ὅτι Καλλικρατίδας νεν
κηκε ναυμαχῶν καὶ ὅτι αἱ τῶν Ἀθηναίων νῆες ἀπολω
37 λασιν ἅπασαι. καὶ οἱ μὲν ταῦτ' ἐποίουν· αὐτὸς δ
ἐπειδὴ ἐκεῖνοι κατέπλεον, ἔθυε τὰ εὐαγγέλια, καὶ το
στρατιώταις παρήγγειλε δειπνοποιεῖσθαι, καὶ τοῖς ἐμ
πόροις τὰ χρήματα σιωπῇ ἐνθεμένους εἰς τὰ πλο
ἀποπλεῖν εἰς Χίον, ἦν δὲ τὸ πνεῦμα οὔριον, καὶ τα
38 τριήρεις τὴν ταχίστην. αὐτὸς δὲ τὸ πεζὸν ἀπῆγεν ε
τὴν Μήθυμναν, τὸ στρατόπεδον ἐμπρήσας. Κόνω
δὲ καθελκύσας τὰς ναῦς, ἐπεὶ οἵ τε πολέμιοι ἀπεδε
δράκεσαν καὶ ὁ ἄνεμος εὐδιαίτερος ἦν, ἀπαντήσα
τοῖς Ἀθηναίοις ἤδη ἀνηγμένοις ἐκ τῶν Ἀργινουσῶ
ἔφρασε τὰ περὶ τοῦ Ἐτεονίκου. οἱ δὲ Ἀθηναῖοι κατα
πλευσαν εἰς τὴν Μυτιλήνην, ἐκεῖθεν δ' ἐπανήχθησα
εἰς τὴν Χίον, καὶ οὐδὲν διαπραξάμενοι ἀπέπλευσα
ἐπὶ Σάμου.

VII. Οἱ δ' ἐν οἴκῳ τούτους μὲν τοὺς στρατηγοὺς ἔπαυ
σαν πλὴν Κόνωνος· πρὸς δὲ τούτῳ εἵλοντο Ἀδείμαν
τον καὶ τρίτον Φιλοκλέα. τῶν δὲ ναυμαχησάντω
στρατηγῶν Πρωτόμαχος μὲν καὶ Ἀριστογένης οὐ
2 ἀπῆλθον εἰς Ἀθήνας, τῶν δὲ ἓξ καταπλευσάντων, Πε
ρικλέους καὶ Διομέδοντος καὶ Λυσίου καὶ Ἀριστοκρα
τους καὶ Θρασύλλου καὶ Ἐρασινίδου, Ἀρχέδημος
τοῦ δήμου τότε προεστηκὼς ἐν Ἀθήναις καὶ τῆς δια
βελίας ἐπιμελόμενος Ἐρασινίδῃ ἐπιβολὴν ἐπιβαλὼ
κατηγόρει ἐν δικαστηρίῳ, φάσκων ἐξ Ἑλλησπόντο
αὐτὸν ἔχειν χρήματα ὄντα τοῦ δήμου· κατηγόρει δ
καὶ περὶ τῆς στρατηγίας. καὶ ἔδοξε τῷ δικαστηρίῳ δη

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροιας

σαι τὸν Ἐρασινίδην. μετὰ δὲ ταῦτα ἐν τῇ βουλῇ διη- 3
γοῦντο οἱ στρατηγοὶ περί τε τῆς ναυμαχίας καὶ τοῦ με-
γέθους τοῦ χειμῶνος. Τιμοκράτους δ' εἰπόντος ὅτι
καὶ τοὺς ἄλλους χρὴ δεθέντας εἰς τὸν δῆμον παραδο-
θῆναι, ἡ βουλὴ ἔδησε. μετὰ δὲ ταῦτα ἐκκλησία ἐγέ- 4
νετο, ἐν ᾗ τῶν στρατηγῶν κατηγόρουν ἄλλοι τε καὶ
Θηραμένης μάλιστα, δικαίους εἶναι λόγον ὑποσχεῖν
διότι οὐκ ἀνείλοντο τοὺς ναυαγούς. ὅτι μὲν γὰρ
οὐδενὸς ἄλλου καθήπτοντο ἐπιστολὴν ἐπεδείκνυ μαρ-
τύριον ἣν ἔπεμψαν οἱ στρατηγοὶ εἰς τὴν βουλὴν καὶ
εἰς τὸν δῆμον, ἄλλο οὐδὲν αἰτιώμενοι ἢ τὸν χειμῶνα.
μετὰ ταῦτα δὲ οἱ στρατηγοὶ βραχέως ἕκαστος ἀπελο- 5
γήσατο, οὐ γὰρ προυτέθη σφίσι λόγος κατὰ τὸν νόμον,
καὶ τὰ πεπραγμένα διηγοῦντο, ὅτι αὐτοὶ μὲν ἐπὶ τοὺς
πολεμίους πλέοιεν, τὴν δὲ ἀναίρεσιν τῶν ναυαγῶν
προστάξειαν τῶν τριηράρχων ἀνδράσιν ἱκανοῖς καὶ
ἐστρατηγηκόσιν ἤδη, Θηραμένει καὶ Θρασυβούλῳ καὶ
ἄλλοις τοιούτοις· καὶ εἴπερ γέ τινας δέοι, περὶ τῆς 6
ἀναιρέσεως οὐδένα ἄλλον ἔχειν αὐτοὺς αἰτιάσασθαι ἢ
τούτους οἷς προσετάχθη. καὶ οὐχ ὅτι γε κατηγοροῦσιν
ἡμῶν, ἔφασαν, ψευσόμεθα φάσκοντες αὐτοὺς αἰτίους
εἶναι, ἀλλὰ τὸ μέγεθος τοῦ χειμῶνος εἶναι τὸ κωλῦ-
σαν τὴν ἀναίρεσιν. τούτων δὲ μάρτυρας παρείχοντο
τοὺς κυβερνήτας καὶ ἄλλους τῶν συμπλεόντων πολ-
λούς. τοιαῦτα λέγοντες ἔπειθον τὸν δῆμον· ἐβούλοντο 7
δὲ πολλοὶ τῶν ἰδιωτῶν ἐγγυᾶσθαι ἀνιστάμενοι· ἔδοξε
δὲ ἀναβαλέσθαι εἰς ἑτέραν ἐκκλησίαν· τότε γὰρ ὀψὲ ἦν
καὶ τὰς χεῖρας οὐκ ἂν καθεώρων· τὴν δὲ βουλὴν προ-
βουλεύσασαν εἰσενεγκεῖν ὅτῳ τρόπῳ οἱ ἄνδρες κρί-
νοιντο. μετὰ δὲ ταῦτα ἐγίγνετο Ἀπατούρια, ἐν οἷς οἵ 8
τε πατέρες καὶ οἱ συγγενεῖς σύνεισι σφίσιν αὐτοῖς. οἱ
οὖν περὶ τὸν Θηραμένη παρεσκεύασαν ἀνθρώπους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μέλανα ἱμάτια ἔχοντας καὶ ἐν χρῷ κεκαρμένους πολλοὺς ἐν ταύτῃ τῇ ἑορτῇ, ἵνα πρὸς τὴν ἐκκλησίαν ἥκοιεν ὡς δὴ συγγενεῖς ὄντες τῶν ἀπολωλότων, καὶ Καλλίξενον ἔπεισαν ἐν τῇ βουλῇ κατηγορεῖν τῶν στρατηγῶν.
9 ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς ἣν ἡ βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην Καλλιξένου εἰπόντος τήνδε· Ἐπειδὴ τῶν τε κατηγορούντων κατὰ τῶν στρατηγῶν καὶ ἐκείνων ἀπολογουμένων ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀκηκόασι, διαψηφίσασθαι Ἀθηναίους ἅπαντας κατὰ φυλάς· θεῖναι δὲ εἰς τὴν φυλὴν ἑκάστην δύο ὑδρίας· ἐφ' ἑκάστῃ δὲ τῇ φυλῇ κήρυκα κηρύττειν, ὅτῳ δοκοῦσιν ἀδικεῖν οἱ στρατηγοὶ οὐκ ἀνελόμενοι τοὺς νικήσαντας ἐν τῇ ναυμαχίᾳ, εἰς τὴν προτέραν ψηφίσασθαι,
10 ὅτῳ δὲ μή, εἰς τὴν ὑστέραν· ἂν δὲ δόξωσιν ἀδικεῖν, θανάτῳ ζημιῶσαι καὶ τοῖς ἕνδεκα παραδοῦναι καὶ τὰ χρήματα δημοσιεῦσαι, τὸ δ' ἐπιδέκατον τῆς θεοῦ εἶ-
11 ναι. παρῆλθε δέ τις εἰς τὴν ἐκκλησίαν φάσκων ἐπὶ τεύχους ἀλφίτων σωθῆναι· ἐπιστέλλειν δ' αὐτῷ τοὺς ἀπολλυμένους, ἐὰν σωθῇ, ἀπαγγεῖλαι τῷ δήμῳ ὅτι οἱ στρατηγοὶ οὐκ ἀνείλοντο τοὺς ἀρίστους ὑπὲρ τῆς
12 πατρίδος γενομένους. τὸν δὲ Καλλίξενον προσεκαλέσαντο παράνομα φάσκοντες γεγραφέναι Εὐρυπτόλεμός τε ὁ Πεισιάνακτος καὶ ἄλλοι τινές. τοῦ δὲ δήμου ἔνιοι ταῦτα ἐπῄνουν, τὸ δὲ πλῆθος ἐβόα δεινὸν εἶναι
13 εἰ μή τις ἐάσει τὸν δῆμον πράττειν ὃ ἂν βούληται. καὶ ἐπὶ τούτοις εἰπόντος Λυκίσκου καὶ τούτους τῇ αὐτῇ ψήφῳ κρίνεσθαι ᾗπερ καὶ τοὺς στρατηγούς, ἐὰν μὴ ἀφῶσι τὴν κλῆσιν, ἐπεθορύβησε πάλιν ὁ ὄχλος, καὶ
14 ἠναγκάσθησαν ἀφιέναι τὰς κλήσεις. τῶν δὲ πρυτάνεών τινων οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τὸν νόμον, αὖθις Καλλίξενος ἀναβὰς κατηγόρει αὐτῶν τὰ αὐτά. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἱ δὲ πρυτάνεις φοβηθέντες ὡμολόγουν πάντες προ- 15
θήσειν πλὴν Σωκράτους τοῦ Σωφρονίσκου· οὗτος δ'
οὐκ ἔφη ἀλλ' ἢ κατὰ νόμον πάντα ποιήσειν. μετὰ δὲ 16
ταῦτα ἀναβὰς Εὐρυπτόλεμος ἔλεξεν ὑπὲρ τῶν στρατη-
γῶν τάδε.

Τὰ μὲν κατηγορήσων, ὦ ἄνδρες Ἀθηναῖοι, ἀνέ-
βην ἐνθάδε Περικλέους ἀναγκαίου μοι ὄντος καὶ ἐπι-
τηδείου καὶ Διομέδοντος φίλου, τὰ δ' ὑπεραπολογη-
σόμενος, τὰ δὲ συμβουλεύσων ἅ μοι δοκεῖ ἄριστα εἶ-
ναι ἁπάσῃ τῇ πόλει. κατηγορῶ μὲν οὖν αὐτῶν ὅτι 17
ἔπεισαν τοὺς συνάρχοντας βουλομένους πέμπειν γράμ-
ματα τῇ τε βουλῇ καὶ ὑμῖν ὅτι ἐπέταξαν τῷ Θηραμένει
καὶ Θρασυβούλῳ τετταράκοντα καὶ ἑπτὰ τριήρεσιν
ἀνελέσθαι τοὺς ναυαγούς, οἱ δὲ οὐκ ἀνείλοντο. εἶτα 18
νῦν τὴν αἰτίαν κοινὴν ἔχουσιν ἐκείνων ἰδίᾳ ἁμαρτόν-
των, καὶ ἀντὶ τῆς τότε φιλανθρωπίας νῦν ὑπ' ἐκείνων
τε καί τινων ἄλλων ἐπιβουλευόμενοι κινδυνεύουσιν
ἀπολέσθαι· οὐκ ἂν ὑμεῖς γέ μοι πείθησθε τὰ δίκαια 19
καὶ ὅσια ποιοῦντες, καὶ ὅθεν μάλιστα τἀληθῆ πεύσε-
σθε καὶ οὐ μετανοήσαντες ὕστερον εὑρήσετε σφᾶς αὐ-
τοὺς ἡμαρτηκότας τὰ μέγιστα εἰς θεούς τε καὶ ὑμᾶς
αὐτούς. συμβουλεύω δ' ὑμῖν, ἐν οἷς οὔθ' ὑπ' ἐμοῦ
οὔθ' ὑπ' ἄλλου οὐδενὸς ἔστιν ἐξαπατηθῆναι ὑμᾶς, καὶ
τοὺς ἀδικοῦντας εἰδότες κολάσεσθε ᾗ ἂν βούλησθε
δίκῃ, καὶ ἅμα πάντας καὶ καθ' ἕνα ἕκαστον, εἰ μὴ
πλέον, ἀλλὰ μίαν ἡμέραν δόντες αὐτοῖς ὑπὲρ αὑτῶν
ἀπολογήσασθαι, μὴ ἄλλοις μᾶλλον πιστεύοντες ἢ
ὑμῖν αὐτοῖς. ἴστε δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πάντες ὅτι τὸ 20
Καννωνοῦ ψήφισμά ἐστιν ἰσχυρότατον, ὃ κελεύει, ἐάν
τις τὸν Ἀθηναίων δῆμον ἀδικῇ, δεδεμένον ἀποδι-
κεῖν ἐν τῷ δήμῳ, καὶ ἐὰν καταγνωσθῇ ἀδικεῖν, ἀπο-
θανεῖν εἰς τὸ βάραθρον ἐμβληθέντα, τὰ δὲ χρήματα

Δημοτική Κεντρική Βιβλιοθήκη Βεροίας

αὐτοῦ δημευθῆναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον εἶναι
21 κατὰ τοῦτο τὸ ψήφισμα κελεύω κρίνεσθαι τοὺς στρα-
τηγοὺς καὶ νὴ Δία, ἂν ὑμῖν γε δοκῇ, πρῶτον Περι-
κλέα τὸν ἐμοὶ προσήκοντα· αἰσχρὸν γάρ μοί ἐστιν ἐκεῖ
22 νον περὶ πλείονος ποιεῖσθαι ἢ τὴν ὅλην πόλιν. τοῦτ
δ' εἰ βούλεσθε, κατὰ τόνδε τὸν νόμον κρίνατε, ὅ
ἐστιν ἐπὶ τοῖς ἱεροσύλοις καὶ προδόταις, ἐάν τις ἢ τὴν
πόλιν προδιδῷ ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικα-
στηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ
23 τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι. τούτων ὁποτέρῳ
βούλεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ νόμῳ κρινέσθων
οἱ ἄνδρες κατὰ ἕνα ἕκαστον διῃρημένων τῆς ἡμέ-
ρας τριῶν μερῶν, ἑνὸς μὲν ἐν ᾧ συλλέγεσθαι ὑμᾶς δε
καὶ διαψηφίζεσθαι, ἐάν τε ἀδικεῖν δοκῶσιν ἐάν τε μή
ἑτέρου δ' ἐν ᾧ κατηγορῆσαι, ἑτέρου δ' ἐν ᾧ ἀπολογή-
24 σασθαι. τούτων δὲ γιγνομένων οἱ μὲν ἀδικοῦντες τεύ-
ξονται τῆς μεγίστης τιμωρίας, οἱ δ' ἀναίτιοι ἐλευθε-
ρωθήσονται ὑφ' ὑμῶν, ὦ Ἀθηναῖοι, καὶ οὐκ ἀδικοῦν-
25 τες ἀπολοῦνται. ὑμεῖς δὲ κατὰ τὸν νόμον εὐσεβοῦν-
τες καὶ εὐορκοῦντες κρινεῖτε καὶ οὐ συμπολεμήσετε
Λακεδαιμονίοις τοὺς ἐκείνους ἑβδομήκοντα ναῦς ἀφε-
λομένους καὶ νενικηκότας, τούτους ἀπολλύντες ἀκρί-
26 τους παρὰ τὸν νόμον. τί δὲ καὶ δεδιότες σφόδρα οὕ-
τως ἐπείγεσθε; ἢ μὴ οὐχ ὑμεῖς ὃν ἂν βούλησθε ἀπο-
κτείνητε καὶ ἐλευθερώσητε, ἂν κατὰ τὸν νόμον κρίνη-
τε, ἀλλ' οὐκ ἂν παρὰ τὸν νόμον, ὥσπερ Καλλίξενος
την βουλὴν ἔπεισεν εἰς τὸν δῆμον εἰσενεγκεῖν μιᾷ ψή-
27 φῳ; ἀλλ' ἴσως ἄν τινα καὶ οὐκ αἴτιον ὄντα ἀποκτεί-
ναιτε, μεταμελήσει δὲ ὕστερον. ἀναμνήσθητε ὡς ἀλ-
γεινὸν καὶ ἀνωφελὲς ἤδη ἐστί, πρὸς δ' ἔτι καὶ περὶ θα-
28 νάτου ἀνθρώπου ἡμαρτηκότες. δεινὰ δ' ἂν ποιήσαιτε
εἰ Ἀριστάρχῳ μὲν πρότερον τὸν δῆμον καταλύοντι

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

εἶτα δὲ Οἰνόην προδιδόντι Θηβαίοις πολεμίοις οὖσιν,
ἔδοτε ἡμέραν ἀπολογήσασθαι ᾗ ἐβούλετο καὶ τἆλλα
κατὰ τὸν νόμον προὐθετε, τοὺς δὲ στρατηγοὺς τοὺς
πάντα ὑμῖν κατὰ γνώμην πράξαντας, νικήσαντας δὲ
τοὺς πολεμίους, τῶν αὐτῶν τούτων ἀποστερήσετε
μὴ ὑμεῖς γε, ὦ Ἀθηναῖοι, ἀλλ' ἑαυτῶν ὄντας τοὺς νό- 29
μους, δι' οὓς μάλιστα μέγιστοί ἐστε, φυλάττοντες,
ἄνευ τούτων μηδὲν πράττειν πειρᾶσθε. ἐπανέλθετε
δὲ καὶ ἐπ' αὐτὰ τὰ πράγματα καθ' ἃ καὶ αἱ ἁμαρτίαι
δοκοῦσι γεγενῆσθαι τοῖς στρατηγοῖς. ἐπεὶ γὰρ κρατή-
σαντες τῇ ναυμαχίᾳ εἰς τὴν γῆν κατέπλευσαν, Διομέ-
δων μὲν ἐκέλευεν ἀναχθέντας ἐπὶ κέρως ἅπαντας ἀναι-
ρεῖσθαι τὰ ναυάγια καὶ τοὺς ναυαγούς, Ἐρασινίδης δ'
ἐπὶ τοὺς πρὸς Μυτιλήνην πολεμίους τὴν ταχίστην
πλεῖν ἅπαντας· Θράσυλλος δὲ ἀμφότερα ἔφη γενέσθαι,
ἂν τὰς μὲν αὐτοῦ καταλίπωσι, ταῖς δὲ ἐπὶ τοὺς πολε-
μίους πλέωσι· καὶ δοξάντων τούτων καταλιπεῖν τρεῖς 30
ναῦς ἕκαστον ἐκ τῆς αὑτοῦ συμμορίας, τῶν στρατη-
γῶν ὀκτὼ ὄντων, καὶ τὰς τῶν ταξιάρχων δέκα καὶ
τὰς Σαμίων δέκα καὶ τὰς τῶν ναυάρχων τρεῖς·
αὗται ἅπασαι γίγνονται ἑπτὰ καὶ τετταράκοντα, τέτ-
ταρες περὶ ἑκάστην ναῦν τῶν ἀπολωλυιῶν δώδεκα
οὐσῶν. τῶν δὲ καταλειφθέντων τριηράρχων ἦσαν καὶ 31
Θρασύβουλος καὶ Θηραμένης, ὃς ἐν τῇ προτέρᾳ ἐκ-
κλησίᾳ κατηγόρει τῶν στρατηγῶν. ταῖς δὲ ἄλλαις
ναυσὶν ἔπλεον ἐπὶ τὰς πολεμίας. τί τούτων οὐχ ἱκα-
νῶς [καὶ καλῶς] ἔπραξαν; οὐκοῦν δίκαιον τὰ μὲν πρὸς
τοὺς πολεμίους μὴ καλῶς πραχθέντα τοὺς πρὸς τού-
τους ταχθέντας ὑπέχειν λόγον, τοὺς δὲ πρὸς τὴν ἀναί-
ρεσιν, μὴ ποιήσαντας ἃ οἱ στρατηγοὶ ἐκέλευσαν, διότι
οὐκ ἀνείλοντο κρίνεσθαι. τοσοῦτον δ' ἔχω εἰπεῖν ὑπὲρ 32
ἀμφοτέρων ὅτι ὁ χειμὼν διεκώλυσε μηδὲν πρᾶξαι ὧν

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

οἱ στρατηγοὶ παρεκελεύσαντο. τούτων δὲ μάρτυρ
οἱ σωθέντες ἀπὸ τοῦ αὐτομάτου, ὧν εἷς τῶν ἡμετέρ
στρατηγῶν ἐπὶ καταδύσης νεὼς διασωθείς, ὃν κελε
ουσι τῇ αὐτῇ ψήφῳ κρίνεσθαι, καὶ αὐτὸν τότε δεόμεν
ἀναιρέσεως, ἧπερ τοὺς οὐ πράξαντας τὰ προσταχθέ
33 τα. μὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀντὶ μὲν τῆς ν
κης καὶ τῆς εὐτυχίας ὅμοια ποιήσητε τοῖς ἡττημένο
τε καὶ ἀτυχοῦσιν, ἀντὶ δὲ τῶν ἐκ θεοῦ ἀναγκαίω
ἀγνωμονεῖν δόξητε, προδοσίαν καταγνόντες ἀντὶ τ
ἀδυναμίας, οὐχ ἱκανοὺς γενομένους διὰ τὸν χειμῶ
πρᾶξαι τὰ προσταχθέντα· ἀλλὰ πολὺ δικαιότερον στ
φάνοις γεραίρειν τοὺς νικῶντας ἢ θανάτῳ ζημιο
πονηροῖς ἀνθρώποις πειθομένους.
34 Ταῦτ' εἰπὼν Εὐρυπτόλεμος ἔγραψε γνώμην κα
τὸ Καννωνοῦ ψήφισμα κρίνεσθαι τοὺς ἄνδρας δί
ἕκαστον· ἡ δὲ τῆς βουλῆς ἦν μιᾷ ψήφῳ ἅπαντας κρ
νειν. τούτων δὲ διαχειροτονουμένων τὸ μὲν πρῶτ
ἔκριναν τὴν Εὐρυπτολέμου· ὑπομοσαμένου δὲ Μεν
κλέους καὶ πάλιν διαχειροτονίας γενομένης ἔκριν
τὴν τῆς βουλῆς. καὶ μετὰ ταῦτα κατεψηφίσαντο τ
ναυμαχησάντων στρατηγῶν ὀκτὼ ὄντων· ἀπέθαν
δὲ οἱ παρόντες ἕξ. καὶ οὐ πολλῷ χρόνῳ ὕστερον μετ
μελε τοῖς Ἀθηναίοις, καὶ ἐψηφίσαντο, οἵτινες τὸν δ
μον ἐξηπάτησαν, προβολὰς αὐτῶν εἶναι, καὶ ἐγγυ
τὰς καταστῆσαι, ἕως ἂν κριθῶσιν, εἶναι δὲ καὶ Καλλ
ξενον τούτων. προυβλήθησαν δὲ καὶ ἄλλοι τέτταρ
καὶ ἐδέθησαν ὑπὸ τῶν ἐγγυησαμένων. ὕστερον
στάσεώς τινος γενομένης, ἐν ᾗ Κλεοφῶν ἀπέθανε
ἀπέδρασαν οὗτοι, πρὶν κριθῆναι· Καλλίξενος δὲ κα
ελθὼν ὅτε καὶ οἱ ἐκ Πειραιῶς εἰς τὸ ἄστυ, μισούμεν
ὑπὸ πάντων λιμῷ ἀπέθανεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

[B.]

Οἱ δὲ ἐν τῇ Χίῳ μετὰ τοῦ Ἐτεονίκου στρατιῶται ὄντες, ἕως μὲν θέρος ἦν, ἀπό τε τῆς ὥρας ἐτρέφοντο καὶ ἐργαζόμενοι μισθοῦ κατὰ τὴν χώραν· ἐπεὶ δὲ χειμὼν ἐγένετο καὶ τροφὴν οὐκ εἶχον γυμνοί τε ἦσαν καὶ ἀνυπόδητοι, συνίσταντο ἀλλήλοις καὶ συνετίθεντο ὡς τῇ Χίῳ ἐπιθησόμενοι· οἷς δὲ ταῦτα ἀρέσκοι κάλαμον φέρειν ἐδόκει, ἵνα ἀλλήλους μάθοιεν ὁπόσοι εἴησαν. πυθόμενος δὲ τὸ σύνθημα ὁ Ἐτεόνικος, ἀπόρως μὲν εἶχε τί χρῷτο τῷ πράγματι διὰ τὸ πλῆθος τῶν καλαμηφόρων· τό τε γὰρ ἐκ τοῦ ἐμφανοῦς ἐπιχειρῆσαι σφαλερὸν ἐδόκει εἶναι, μὴ εἰς τὰ ὅπλα ὁρμήσωσι καὶ τὴν πόλιν κατασχόντες καὶ πολέμιοι γενόμενοι ἀπολέσωσι πάντα τὰ πράγματα, ἂν κρατήσωσι, τό τ' αὖ ἀπολλύναι ἀνθρώπους συμμάχους πολλοὺς δεινὸν ἐφαίνετο εἶναι, μή τινα καὶ εἰς τοὺς ἄλλους Ἕλληνας διαβολὴν σχοῖεν καὶ οἱ στρατιῶται δύσνοι πρὸς τὰ πράγματα ὦσιν· ἀναλαβὼν δὲ μεθ' ἑαυτοῦ ἄνδρας πεντεκαίδεκα ἐγχειρίδια ἔχοντας ἐπορεύετο κατὰ τὴν πόλιν, καὶ ἐντυχών τινι ὀφθαλμιῶντι ἀνθρώπῳ ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέκτεινε. θορύβου δὲ γενομένου καὶ ἐρωτώντων τινῶν διὰ τί ἀπέθανεν ὁ ἄνθρωπος, παραγγέλλειν ἐκέλευεν ὁ Ἐτεόνικος, ὅτι τὸν κάλαμον εἶχε. κατὰ δὲ τὴν παραγγελίαν ἐρρίπτουν πάντες ὅσοι εἶχον τοὺς καλάμους, ἀεὶ ὁ ἀκούων δεδιὼς μὴ ὀφθείη ἔχων. μετὰ δὲ ταῦτα ὁ Ἐτεόνικος συγκαλέσας τοὺς Χίους χρήματα ἐκέλευσε συνενεγκεῖν, ὅπως οἱ ναῦται λάβωσι μισθὸν καὶ μὴ νεωτερίσωσί τι· οἱ δὲ εἰσήνεγκαν· ἅμα δὲ εἰς τὰς ναῦς ἐσήμηνεν εἰσβαίνειν·

Margin section numbers: 1 (line 1), 2 (line 8), 3 (line 19), 4 (line 22), 5 (line 28).



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσιὼν δὲ ἐν μέρει παρ᾽ ἑκάστην ναῦν παρεθάρρυνέ τε καὶ παρῄνει πολλά, ὡς τοῦ γεγενημένου οὐδὲν εἰ-
6 δώς, καὶ μισθὸν ἑκάστῳ μηνὸς διέδωκε. μετὰ δὲ ταῦτα οἱ Χῖοι καὶ οἱ ἄλλοι σύμμαχοι συλλεγέντες εἰς Ἔφεσον ἐβουλεύσαντο περὶ τῶν ἐνεστηκότων πραγμάτων πέμπειν εἰς Λακεδαίμονα πρέσβεις ταῦτά τε ἐροῦντας καὶ Λύσανδρον αἰτήσοντας ἐπὶ τὰς ναῦς, εὖ φερόμενον παρὰ τοῖς συμμάχοις κατὰ τὴν προτέραν ναυαρχίαν, ὅτι
7 καὶ τὴν ἐν Νοτίῳ ἐνίκησε ναυμαχίαν. καὶ ἀπεπέμφθησαν πρέσβεις, σὺν αὐτοῖς δὲ καὶ παρὰ Κύρου ταὐτὰ λέγοντες ἄγγελοι. οἱ δὲ Λακεδαιμόνιοι ἔδοσαν τὸν Λύσανδρον ὡς ἐπιστολέα, ναύαρχον δὲ Ἄρακον· οὐ γὰρ νόμος αὐτοῖς δὶς τὸν αὐτὸν ναυαρχεῖν· τὰς μέντοι ναῦς παρέδοσαν Λυσάνδρῳ [ἐτῶν ἤδη τῷ πολέμῳ πέντε καὶ εἴκοσι παρεληλυθότων].

8 [Τούτῳ δὲ τῷ ἐνιαυτῷ καὶ Κῦρος ἀπέκτεινεν Αὐτοβοισάκην καὶ Μιτραῖον, υἱεῖς ὄντας τῆς Δαριαίου ἀδελφῆς τῆς τοῦ Ξέρξου τοῦ Δαρείου πατρός, ὅτι αὐτῷ ἀπαντῶντες οὐ διέωσαν διὰ τῆς κόρης τὰς χεῖρας, ὃ ποιοῦσι βασιλεῖ μόνον· ἡ δὲ κόρη ἐστὶ μακρότερον ἢ χειρίς, ἐν ᾗ τὴν χεῖρα ἔχων οὐδὲν ἂν δύναιτο ποιῆσαι.
9 Ἱεραμένης μὲν οὖν καὶ ἡ γυνὴ ἔλεγον πρὸς Δαριαῖον δεινὸν εἶναι εἰ περιόψεται τὴν λίαν ὕβριν τούτου· ὁ δὲ αὐτὸν μεταπέμπεται ὡς ἀρρωστῶν, πέμψας ἀγγέλους.]

10 Τῷ δ᾽ ἐπιόντι ἔτει [ἐπὶ Ἀρχύτα μὲν ἐφορεύοντος,
a.C. 405. ἄρχοντος δ᾽ ἐν Ἀθήναις Ἀλεξίου,] Λύσανδρος ἀφικόμενος εἰς Ἔφεσον μετεπέμψατο Ἐτεόνικον ἐκ Χίου σὺν ταῖς ναυσί, καὶ τὰς ἄλλας πάσας συνήθροισεν, εἴ πού τις ἦν, καὶ ταύτας τ᾽ ἐπεσκεύαζε καὶ ἄλλας ἐν Ἀν-
11 τάνδρῳ ἐναυπηγεῖτο. ἐλθὼν δὲ παρὰ Κῦρον χρήματα ᾔτει· ὁ δ᾽ αὐτῷ εἶπεν ὅτι τὰ μὲν παρὰ βασιλέως ἀνηλωμένα εἴη, καὶ ἔτι πλείω πολλῷ, δεικνύων ὅσα ἑκα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στος τῶν ναυάρχων ἔχοι, ὅμως δ' ἔδωκε. λαβὼν δὲ 12
ὁ Λύσανδρος τἀργύριον, ἐπὶ τὰς τριήρεις τριηράρχους ἐπέστησε καὶ τοῖς ναύταις τὸν ὀφειλόμενον μισθὸν ἀπέδωκε. παρεσκευάζοντο δὲ καὶ οἱ τῶν Ἀθηναίων στρατηγοὶ πρὸς τὸ ναυτικὸν ἐν τῇ Σάμῳ.

Κῦρος δ' ἐπὶ τούτοις μετεπέμψατο Λύσανδρον, 13
ἐπεὶ αὐτῷ παρὰ τοῦ πατρὸς ἧκεν ἄγγελος λέγων ὅτι ἀρρωστῶν ἐκεῖνον καλοίη, ὢν ἐν Θαμνηρίοις τῆς Μηδίας ἐγγὺς Καδουσίων, ἐφ' οὓς ἐστράτευσεν ἀφεστῶτας. ἥκοντα δὲ Λύσανδρον οὐκ εἴα ναυμαχεῖν πρὸς 14
Ἀθηναίους, ἐὰν μὴ πολλῷ πλείους ναῦς ἔχῃ· εἶναι γὰρ χρήματα πολλὰ καὶ βασιλεῖ καὶ αὐτῷ, ὥστε τούτου ἕνεκεν πολλὰς πληροῦν. παρέδειξε δ' αὐτῷ πάντας τοὺς φόρους τοὺς ἐκ τῶν πόλεων, οἳ αὐτῷ ἴδιοι ἦσαν, καὶ τὰ περιττὰ χρήματα ἔδωκε· καὶ ἀναμνήσας ὡς εἶχε φιλίας πρός τε τὴν τῶν Λακεδαιμονίων πόλιν καὶ πρὸς Λύσανδρον ἰδίᾳ, ἀνέβαινε παρὰ τὸν πατέρα.

Λύσανδρος δ', ἐπεὶ αὐτῷ Κῦρος πάντα παραδοὺς 15
τὰ αὑτοῦ πρὸς τὸν πατέρα ἀρρωστοῦντα μετάπεμπτος ἀνέβαινε, μισθὸν διαδοὺς τῇ στρατιᾷ ἀνήχθη τῆς Καρίας εἰς τὸν Κεράμειον κόλπον. καὶ προσβαλὼν πόλει τῶν Ἀθηναίων συμμάχῳ ὄνομα Κεδρείαις τῇ ὑστεραίᾳ προσβολῇ κατὰ κράτος αἱρεῖ καὶ ἐξηνδραπόδισεν. ἦσαν δὲ μιξοβάρβαροι οἱ ἐνοικοῦντες. ἐκεῖθεν δ' ἀπέπλευσεν εἰς Ῥόδον. οἱ δ' Ἀθηναῖοι ἐκ τῆς Σάμου ὁρμώμε- 16
νοι τὴν βασιλέως κακῶς ἐποίουν, καὶ ἐπὶ τὴν Χίον καὶ τὴν Ἔφεσον ἐπέπλεον, καὶ παρεσκευάζοντο πρὸς ναυμαχίαν, καὶ στρατηγοὺς πρὸς τοῖς ὑπάρχουσι προσείλοντο Μένανδρον, Τυδέα, Κηφισόδοτον. Λύσανδρος δ' 17
ἐκ τῆς Ῥόδου παρὰ τὴν Ἰωνίαν ἐκπλεῖ πρὸς τὸν Ἑλλήσποντον πρός τε τῶν πλοίων τὸν ἔκπλουν καὶ ἐπὶ τὰς ἀφεστηκυίας αὐτῶν πόλεις. ἀνήγοντο δὲ καὶ οἱ Ἀθη-



Ψηφιακή Κεντρική Βιβλιοθήκη Βέροιας

18 ναῖοι ἐκ τῆς Χίου πελάγιοι· ἡ γὰρ Ἀσία πολεμία αὐ-
τοῖς ἦν· Λύσανδρος δ' ἐξ Ἀβύδου παρέπλει εἰς Λάμ-
ψακον σύμμαχον οὖσαν Ἀθηναίων· καὶ οἱ Ἀβυδηνοὶ
καὶ οἱ ἄλλοι παρῆσαν πεζῇ· ἡγεῖτο δὲ Θώραξ Λακεδαι-
19 μόνιος. προσβαλόντες δὲ τῇ πόλει αἱροῦσι κατὰ κρά-
τος, καὶ διήρπασαν οἱ στρατιῶται οὖσαν πλουσίαν καὶ
οἴνου καὶ σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων πλήρη· τὰ
20 δὲ ἐλεύθερα σώματα πάντα ἀφῆκε Λύσανδρος. οἱ δ'
Ἀθηναῖοι κατὰ πόδας πλέοντες ὡρμίσαντο τῆς Χερρο-
νήσου ἐν Ἐλαιοῦντι ναυσὶν ὀγδοήκοντα καὶ ἑκατόν. ἐν-
ταῦθα δὴ ἀριστοποιουμένοις αὐτοῖς ἀγγέλλεται τὰ περὶ
21 Λάμψακον, καὶ εὐθὺς ἀνήχθησαν εἰς Σηστόν. ἐκεῖ-
θεν δ' εὐθὺς ἐπισιτισάμενοι ἔπλευσαν εἰς Αἰγὸς ποτα-
μοὺς ἀντίον τῆς Λαμψάκου· διέχει δ' ὁ Ἑλλήσποντος
ταύτῃ σταδίους ὡς πεντεκαίδεκα. ἐνταῦθα δὲ ἐδειπνο-
22 ποιοῦντο. Λύσανδρος δὲ τῇ ἐπιούσῃ νυκτί, ἐπεὶ ὄρ-
θρος ἦν, ἐσήμηνεν εἰς τὰς ναῦς ἀριστοποιησαμένους
εἰσβαίνειν, πάντα δὲ παρασκευασάμενος ὡς εἰς ναυ-
μαχίαν καὶ τὰ παραβλήματα παραβαλών, προεῖπεν ὡς
23 μηδεὶς κινήσοιτο ἐκ τῆς τάξεως μηδὲ ἀνάξοιτο. οἱ δὲ
Ἀθηναῖοι ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ἐπὶ τῷ λιμένι παρε-
τάξαντο ἐν μετώπῳ ὡς εἰς ναυμαχίαν. ἐπεὶ δὲ οὐκ ἀντ-
ανήγαγε Λύσανδρος, καὶ τῆς ἡμέρας ὀψὲ ἦν, ἀπέ-
24 πλευσαν πάλιν εἰς τοὺς Αἰγὸς ποταμούς. Λύσανδρος
δὲ τὰς ταχίστας τῶν νεῶν ἐκέλευσεν ἕπεσθαι τοῖς Ἀθη-
ναίοις, ἐπειδὰν δὲ ἐκβῶσι, κατιδόντας ὅ,τι ποιοῦσι
ἀποπλεῖν καὶ αὐτῷ ἐξαγγεῖλαι. καὶ οὐ πρότερον ἐξεβί-
βασεν ἐκ τῶν νεῶν πρὶν αὗται ἧκον. ταῦτα δ' ἐποίει
25 τέτταρας ἡμέρας· καὶ οἱ Ἀθηναῖοι ἐπανήγοντο. Ἀλ-
κιβιάδης δὲ κατιδὼν ἐκ τῶν τειχῶν τοὺς μὲν Ἀθηναί-
ους ἐν αἰγιαλῷ ὁρμοῦντας καὶ πρὸς οὐδεμιᾷ πόλει, τὰ
δ' ἐπιτήδεια ἐκ Σηστοῦ μετιόντας πεντεκαίδεκα στα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίους ἀπὸ τῶν νεῶν, τοὺς δὲ πολεμίους ἐν λιμένι καὶ πρὸς πόλει ἔχοντας πάντα, οὐκ ἐν καλῷ ἔφη αὐτοὺς ὁρμεῖν, ἀλλὰ μεθορμίσαι εἰς Σηστὸν παρῄνει πρός τε λιμένα καὶ πρὸς πόλιν· οὗ ὄντες ναυμαχήσετε, ἔφη, ὅταν βούλησθε. οἱ δὲ στρατηγοί, μάλιστα δὲ Τυδεὺς 26
καὶ Μένανδρος, ἀπιέναι αὐτὸν ἐκέλευσαν· αὐτοὶ γὰρ νῦν στρατηγεῖν, οὐκ ἐκεῖνον. καὶ ὁ μὲν ᾤχετο. Λύσαν- 27
δρος δ', ἐπεὶ ἦν ἡμέρα πέμπτη ἐπιπλέουσι τοῖς Ἀθηναίοις, εἶπε τοῖς παρ' αὐτοῦ ἑπομένοις, ἐπὴν κατίδωσιν αὐτοὺς ἐκβεβηκότας καὶ ἐσκεδασμένους κατὰ τὴν Χερρόνησον, ὅπερ ἐποίουν πολὺ μᾶλλον καθ' ἑκάστην ἡμέραν, τά τε σιτία πόρρωθεν ὠνούμενοι καὶ καταφρονοῦντες δὴ τοῦ Λυσάνδρου, ὅτι οὐκ ἀντανῆγεν, ἀποπλέοντας τοὔμπαλιν παρ' αὐτὸν ἆραι ἀσπίδα κατὰ μέσον τὸν πλοῦν. οἱ δὲ ταῦτα ἐποίησαν ὡς ἐκέλευσε.
Λύσανδρος δ' εὐθὺς ἐσήμηνε τὴν ταχίστην πλεῖν· 28
συμπαρῄει δὲ καὶ Θώραξ τὸ πεζὸν ἔχων. Κόνων δὲ ἰδὼν τὸν ἐπίπλουν, ἐσήμηνεν εἰς τὰς ναῦς βοηθεῖν κατὰ κράτος. διεσκεδασμένων δὲ τῶν ἀνθρώπων, αἱ μὲν τῶν νεῶν δίκροτοι ἦσαν, αἱ δὲ μονόκροτοι, αἱ δὲ παντελῶς κεναί· ἡ δὲ Κόνωνος καὶ ἄλλαι περὶ αὐτὸν ἑπτὰ πλήρεις ἀνήχθησαν ἁθρόαι καὶ ἡ Πάραλος, τὰς δ' ἄλλας πάσας Λύσανδρος ἔλαβε πρὸς τῇ γῇ. τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ συνέλεξεν· οἱ δὲ καὶ ἔφυγον εἰς τὰ τειχύδρια. Κόνων δὲ ταῖς ἐννέα ναυσὶ φεύγων, 29
ἐπεὶ ἔγνω τῶν Ἀθηναίων τὰ πράγματα διεφθαρμένα, κατασχὼν ἐπὶ τὴν Ἀβαρνίδα τὴν Λαμψάκου ἄκραν ἔλαβεν αὐτόθεν τὰ μεγάλα τῶν Λυσάνδρου νεῶν ἱστία, καὶ αὐτὸς μὲν ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν εἰς Κύπρον, ἡ δὲ Πάραλος εἰς τὰς Ἀθήνας, ἀπαγγελοῦσα τὰ γεγονότα. Λύσανδρος δὲ τάς τε ναῦς καὶ 30
τοὺς αἰχμαλώτους καὶ τἆλλα πάντα εἰς Λάμψακον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπήγαγεν, ἔλαβε δὲ καὶ τῶν στρατηγῶν ἄλλους τε καὶ Φιλοκλέα καὶ Ἀδείμαντον. ᾗ δ' ἡμέρᾳ ταῦτα κατειργάσατο, ἔπεμψε Θεόπομπον τὸν Μιλήσιον λῃστὴν εἰς Λακεδαίμονα ἀπαγγελοῦντα τὰ γεγονότα, ὃς ἀφικό-
31 μενος τριταῖος ἀπήγγειλε. μετὰ δὲ ταῦτα Λύσανδρος ἀθροίσας τοὺς συμμάχους ἐκέλευσε βουλεύεσθαι περὶ τῶν αἰχμαλώτων. ἐνταῦθα δὴ κατηγορίαι ἐγίγνοντο πολλαὶ τῶν Ἀθηναίων, ἅ τε ἤδη παρενενομήκεσαν καὶ ἃ ἐψηφισμένοι ἦσαν ποιεῖν, εἰ κρατήσειαν τῇ ναυμαχίᾳ, τὴν δεξιὰν χεῖρα ἀποκόπτειν τῶν ζωγρηθέντων πάντων, καὶ ὅτι λαβόντες δύο τριήρεις, Κορινθίαν καὶ Ἀνδρίαν, τοὺς ἄνδρας ἐξ αὐτῶν πάντας κατακρημνίσειαν· Φιλοκλῆς δ' ἦν στρατηγὸς τῶν Ἀθηναίων,
32 ὃς τούτους διέφθειρεν. ἐλέγετο δὲ καὶ ἄλλα πολλά, καὶ ἔδοξεν ἀποκτεῖναι τῶν αἰχμαλώτων ὅσοι ἦσαν Ἀθηναῖοι πλὴν Ἀδειμάντου, ὅτι μόνος ἐπελάβετο ἐν τῇ ἐκκλησίᾳ τοῦ περὶ τῆς ἀποτομῆς τῶν χειρῶν ψηφίσματος· ᾐτιάθη μέντοι ὑπό τινων προδοῦναι τὰς ναῦς. Λύσανδρος δὲ Φιλοκλέα πρῶτον ἐρωτήσας, ὃς τοὺς Ἀνδρίους καὶ Κορινθίους κατεκρήμνισε, τί εἴη ἄξιος παθεῖν ἀρξάμενος εἰς Ἕλληνας παρανομεῖν, ἀπέσφαξεν.

II. Ἐπεὶ δὲ τὰ ἐν τῇ Λαμψάκῳ κατεστήσατο, ἔπλει ἐπὶ τὸ Βυζάντιον καὶ Καλχηδόνα. οἱ δ' αὐτὸν ὑπεδέχοντο, τοὺς τῶν Ἀθηναίων φρουροὺς ὑποσπόνδους ἀφέντες. οἱ δὲ προδόντες Ἀλκιβιάδῃ τὸ Βυζάντιον τότε μὲν ἔφυγον εἰς τὸν Πόντον, ὕστερον δ' εἰς Ἀθή-
2 νας καὶ ἐγένοντο Ἀθηναῖοι. Λύσανδρος δὲ τούς τε φρουροὺς τῶν Ἀθηναίων καὶ εἴ τινά που ἄλλον ἴδοι Ἀθηναῖον, ἀπέπεμπεν εἰς τὰς Ἀθήνας, διδοὺς ἐκεῖσε μόνον πλέουσιν ἀσφάλειαν, ἄλλοσε δ' οὔ, εἰδὼς ὅτι ὅσῳ ἂν πλείους συλλεγῶσιν εἰς τὸ ἄστυ καὶ τὸν Πει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ραιᾶ, θᾶττον τῶν ἐπιτηδείων ἔνδειαν ἔσεσθαι. καταλιπὼν δὲ Βυζαντίου καὶ Καλχηδόνος Σθενέλαον ἁρμοστὴν Λάκωνα, αὐτὸς ἀποπλεύσας εἰς Λάμψακον τὰς ναῦς ἐπεσκεύαζεν.

Ἐν δὲ ταῖς Ἀθήναις τῆς Παράλου ἀφικομένης νυ- 3
κτὸς ἐλέγετο ἡ συμφορά, καὶ οἰμωγὴ ἐκ τοῦ Πειραιῶς διὰ τῶν μακρῶν τειχῶν εἰς ἄστυ διῆκεν, ὁ ἕτερος τῷ ἑτέρῳ παραγγέλλων· ὥστ' ἐκείνης τῆς νυκτὸς οὐδεὶς ἐκοιμήθη, οὐ μόνον τοὺς ἀπολωλότας πενθοῦντες, ἀλλὰ πολὺ μᾶλλον ἔτι αὐτοὶ ἑαυτούς, πείσεσθαι νομίζοντες οἷα ἐποίησαν Μηλίους τε Λακεδαιμονίων ἀποίκους ὄντας, κρατήσαντες πολιορκίᾳ, καὶ Ἱστιαιᾶς καὶ Σκιωναίους καὶ Τορωναίους καὶ Αἰγινήτας καὶ ἄλλους πολλοὺς τῶν Ἑλλήνων. τῇ δ' ὑστεραίᾳ ἐκκλη- 4
σίαν ἐποίησαν, ἐν ᾗ ἔδοξε τούς τε λιμένας ἀποχῶσαι πλὴν ἑνὸς καὶ τὰ τείχη εὐτρεπίζειν καὶ φυλακὰς ἐφιστάναι καὶ τἆλλα πάντα ὡς εἰς πολιορκίαν παρασκευάζειν τὴν πόλιν. καὶ οὗτοι μὲν περὶ ταῦτα ἦσαν.

Λύσανδρος δ' ἐκ τοῦ Ἑλλησπόντου ναυσὶ διακοσί- 5
αις ἀφικόμενος εἰς Λέσβον κατεσκευάσατο τάς τε ἄλλας πόλεις ἐν αὐτῇ καὶ Μυτιλήνην· εἰς δὲ τἀπὶ Θρᾴκης χωρία ἔπεμψε δέκα τριήρεις ἔχοντα Ἐτεόνικον, ὃς τὰ ἐκεῖ πάντα πρὸς Λακεδαιμονίους μετέστησεν. εὐθὺς 6
δὲ καὶ ἡ ἄλλη Ἑλλὰς ἀφειστήκει Ἀθηναίων μετὰ τὴν ναυμαχίαν πλὴν Σαμίων· οὗτοι δὲ σφαγὰς τῶν γνωρίμων ποιήσαντες κατεῖχον τὴν πόλιν. Λύσανδρος δὲ 7
μετὰ ταῦτα ἔπεμψε πρὸς Ἆγίν τε εἰς Δεκέλειαν καὶ εἰς Λακεδαίμονα ὅτι προσπλεῖ σὺν διακοσίαις ναυσί. Λακεδαιμόνιοι δ' ἐξῆσαν πανδημεὶ καὶ οἱ ἄλλοι Πελοποννήσιοι πλὴν Ἀργείων, παραγγείλαντος τοῦ ἑτέρου Λακεδαιμονίων βασιλέως Παυσανίου. ἐπεὶ δ' ἅπαντες 8
ἠθροίσθησαν, ἀναλαβὼν αὐτοὺς πρὸς τὴν πόλιν ἐστρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοπέδευσεν ἐν τῇ Ἀκαδημείᾳ [τῷ καλουμένῳ γυμνα-
9 σίῳ]. Λύσανδρος δὲ ἀφικόμενος εἰς Αἴγιναν ἀπέδωκε
τὴν πόλιν Αἰγινήταις, ὅσους ἐδύνατο πλείστους αὐτῶν
ἀθροίσας, ὡς δ' αὔτως καὶ Μηλίοις καὶ τοῖς ἄλλοις ὅσοι
τῆς αὑτῶν ἐστέροντο. μετὰ δὲ τοῦτο δῃώσας Σαλαμῖνα
ὡρμίσατο πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκα-
τόν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἴσπλου.

10 Οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ
θάλατταν ἠπόρουν τί χρὴ ποιεῖν, οὔτε νεῶν οὔτε συμ-
μάχων αὐτοῖς ὄντων οὔτε σίτου· ἐνόμιζον δὲ οὐδεμίαν
εἶναι σωτηρίαν μὴ παθεῖν ἃ οὐ τιμωρούμενοι ἐποί-
ησαν ἀλλὰ διὰ τὴν ὕβριν ἠδίκουν ἀνθρώπους μικρο-
πολίτας οὐδ' ἐπὶ μιᾷ αἰτίᾳ ἑτέρᾳ ἢ ὅτι ἐκείνοις συνε-
11 μάχουν. διὰ ταῦτα τοὺς ἀτίμους ἐπιτίμους ποιήσαντες
ἐκαρτέρουν, καὶ ἀποθνησκόντων ἐν τῇ πόλει λιμῷ
πολλῶν οὐ διελέγοντο περὶ διαλλαγῆς. ἐπεὶ δὲ παντε-
λῶς ἤδη ὁ σῖτος ἐπελελοίπει, ἔπεμψαν πρέσβεις παρ'
Ἆγιν, βουλόμενοι σύμμαχοι εἶναι Λακεδαιμονίοις ἔχον-
τες τὰ τείχη καὶ τὸν Πειραιᾶ, καὶ ἐπὶ τούτοις συνθή-
12 κας ποιεῖσθαι. ὁ δὲ αὐτοὺς εἰς Λακεδαίμονα ἐκέλευεν
ἰέναι· οὐ γὰρ εἶναι κύριος αὐτός. ἐπεὶ δ' ἀπήγγειλαν
οἱ πρέσβεις ταῦτα τοῖς Ἀθηναίοις, ἔπεμψαν αὐτοὺς
13 εἰς Λακεδαίμονα. οἱ δ' ἐπεὶ ἦσαν ἐν Σελλασίᾳ [πλη-
σίον] τῆς Λακωνικῆς καὶ ἐπύθοντο οἱ ἔφοροι αὐτῶν ἃ
ἔλεγον, ὄντα οἷάπερ καὶ πρὸς Ἆγιν, αὐτόθεν αὐτοὺς
ἐκέλευον ἀπιέναι, καὶ εἴ τι δέονται εἰρήνης, κάλλιον
14 ἥκειν βουλευσαμένους. οἱ δὲ πρέσβεις ἐπεὶ ἧκον οἴ-
καδε καὶ ἀπήγγειλαν ταῦτα εἰς τὴν πόλιν, ἀθυμία ἐνέ-
πεσε πᾶσιν· ᾤοντο γὰρ ἀνδραποδισθήσεσθαι, καὶ
ἕως ἂν πέμπωσιν ἑτέρους πρέσβεις, πολλοὺς τῷ λιμῷ
15 ἀπολεῖσθαι. περὶ δὲ τῶν τειχῶν τῆς καθαιρέσεως οὐ-
δεὶς ἐβούλετο συμβουλεύειν· Ἀρχέστρατος γὰρ εἰπὼν

ἐν τῇ βουλῇ Λακεδαιμονίοις κράτιστον εἶναι ἐφ' οἷς
προυκαλοῦντο εἰρήνην ποιεῖσθαι, ἐδέθη· προυκα-
λοῦντο δὲ τῶν μακρῶν τειχῶν ἐπὶ δέκα σταδίους καθε-
λεῖν ἑκατέρου· ἐγένετο δὲ ψήφισμα μὴ ἐξεῖναι περὶ
τούτων συμβουλεύειν. τοιούτων δὲ ὄντων Θηραμένης 16
εἶπεν ἐν ἐκκλησίᾳ ὅτι εἰ βούλονται αὐτὸν πέμψαι παρὰ
Λύσανδρον, εἰδὼς ἥξει Λακεδαιμονίους πότερον ἐξαν-
δραποδίσασθαι τὴν πόλιν βουλόμενοι ἀντέχουσι περὶ
τῶν τειχῶν ἢ πίστεως ἕνεκα. πεμφθεὶς δὲ διέτριβε
παρὰ Λυσάνδρῳ τρεῖς μῆνας καὶ πλέον, ἐπιτηρῶν
ὁπότε Ἀθηναῖοι ἔμελλον διὰ τὸ ἐπιλελοιπέναι τὸν σῖ-
τον ἅπαντα ὅ,τι τις λέγοι ὁμολογήσειν. ἐπεὶ δὲ ἧκε τε- 17
τάρτῳ μηνί, ἀπήγγειλεν ἐν ἐκκλησίᾳ ὅτι αὐτὸν Λύ-
σανδρος τέως μὲν κατέχοι, εἶτα κελεύοι εἰς Λακεδαί-
μονα ἰέναι· οὐ γὰρ εἶναι κύριος ὧν ἐρωτῷτο ὑπ' αὐτοῦ,
ἀλλὰ τοὺς ἐφόρους. μετὰ ταῦτα ᾑρέθη πρεσβευτὴς εἰς
Λακεδαίμονα αὐτοκράτωρ δέκατος αὐτός. Λύσανδρος 18
δὲ τοῖς ἐφόροις ἔπεμψεν ἀγγελοῦντα μετ' ἄλλων Λακε-
δαιμονίων Ἀριστοτέλη, φυγάδα Ἀθηναῖον ὄντα, ὅτι
ἀποκρίναιτο Θηραμένει ἐκείνους κυρίους εἶναι εἰρήνης
καὶ πολέμου. Θηραμένης δὲ καὶ οἱ ἄλλοι πρέσβεις ἐπεὶ 19
ἦσαν ἐν Σελλασίᾳ, ἐρωτώμενοι δὲ ἐπὶ τίνι λόγῳ ἥκοιεν
εἶπον ὅτι αὐτοκράτορες περὶ εἰρήνης, μετὰ ταῦτα οἱ
ἔφοροι καλεῖν ἐκέλευον αὐτούς. ἐπεὶ δ' ἧκον, ἐκ-
κλησίαν ἐποίησαν, ἐν ᾗ ἀντέλεγον Κορίνθιοι καὶ
Θηβαῖοι μάλιστα, πολλοὶ δὲ καὶ ἄλλοι τῶν Ἑλλή-
νων, μὴ σπένδεσθαι Ἀθηναίοις, ἀλλ' ἐξαιρεῖν. Λα- 20
κεδαιμόνιοι δὲ οὐκ ἔφασαν πόλιν Ἑλληνίδα ἀνδραπο-
διεῖν μέγα ἀγαθὸν εἰργασμένην ἐν τοῖς μεγίστοις κιν-
δύνοις γενομένοις τῇ Ἑλλάδι, ἀλλ' ἐποιοῦντο εἰρήνην
ἐφ' ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας
καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας καὶ τοὺς φυγά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δας καθέντας τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας
Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατ-
21 ταν ὅποι ἂν ἡγῶνται. Θηραμένης δὲ καὶ οἱ σὺν αὐτῷ
πρέσβεις ἐπανέφερον ταῦτα εἰς τὰς Ἀθήνας. εἰσιόν-
τας δ' αὐτοὺς ὄχλος περιεχεῖτο πολύς, φοβούμενοι μὴ
ἄπρακτοι ἥκοιεν· οὐ γὰρ ἔτι ἐνεχώρει μέλλειν διὰ τὸ
22 πλῆθος τῶν ἀπολλυμένων τῷ λιμῷ. τῇ δὲ ὑστεραίᾳ
ἀπήγγελλον οἱ πρέσβεις ἐφ' οἷς οἱ Λακεδαιμόνιοι ποι-
οῖντο τὴν εἰρήνην· προηγόρει δὲ αὐτῶν Θηραμένης,
λέγων ὡς χρὴ πείθεσθαι Λακεδαιμονίοις καὶ τὰ τείχη
περιαιρεῖν. ἀντειπόντων δέ τινων αὐτῷ, πολὺ δὲ
πλειόνων συνεπαινεσάντων, ἔδοξε δέχεσθαι τὴν εἰρή-
23 νην. μετὰ δὲ ταῦτα Λύσανδρός τε κατέπλει εἰς τὸν
Πειραιᾶ καὶ οἱ φυγάδες κατῇσαν καὶ τὰ τείχη κατ-
έσκαπτον ὑπ' αὐλητρίδων πολλῇ προθυμίᾳ, νομί-
ζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευ-
θερίας.

24 [Καὶ ὁ ἐνιαυτὸς ἔληγεν, ἐν ᾧ μεσοῦντι Διονύσιος
ὁ Ἑρμοκράτους Συρακόσιος ἐτυράννησε, μάχῃ μὲν
πρότερον ἡττηθέντων ὑπὸ Συρακοσίων Καρχηδονίων,
σπάνει δὲ σίτου ἑλόντων Ἀκράγαντα, ἐκλιπόντων τῶν
Σικελιωτῶν τὴν πόλιν.]

III. Τῷ δ' ἐπιόντι ἔτει [ᾧ ἦν Ὀλυμπιάς, ᾗ τὸ στάδιον
B.C. 404. ἐνίκα Κροκίνας Θετταλός, Εὐδίου ἐν Σπάρτῃ ἐφορεύ-
οντος, Πυθοδώρου δ' ἐν Ἀθήναις ἄρχοντος, ὃν Ἀθη-
ναῖοι, ὅτι ἐν ὀλιγαρχίᾳ ᾑρέθη, οὐκ ὀνομάζουσιν, ἀλλ'
ἀναρχίαν τὸν ἐνιαυτὸν καλοῦσιν. ἐγένετο δὲ αὕτη ἡ
2 ὀλιγαρχία ὧδε.] ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέ-
σθαι, οἳ τοὺς πατρίους νόμους συγγράψουσι, καθ'
οὓς πολιτεύσουσι. καὶ ᾑρέθησαν οἵδε, Πολυχάρης,
Κριτίας, Μηλόβιος, Ἱππόλοχος, Εὐκλείδης, Ἱέρων,
Μνησίλοχος, Χρέμων, Θηραμένης, Ἀρεσίας, Διο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κλῆς, *Φαιδρίας, Χαιρέλεως, Ἀναίτιος, Πείσων, Σο-
φοκλῆς, Ἐρατοσθένης, Χαρικλῆς, Ὀνομακλῆς, Θέο-
γνις, Αἰσχίνης, Θεογένης, Κλεομήδης, Ἐρασίστρατος,
Φείδων, Δρακοντίδης, Εὐμάθης, Ἀριστοτέλης, Ἱπ-
πόμαχος, Μνησιθείδης*. τούτων δὲ πραχθέντων ἀπέ- 3
πλει *Λύσανδρος* πρὸς *Σάμον*, *Ἆγις* δ' ἐκ τῆς *Δεκελείας*
ἀπαγαγὼν τὸ πεζὸν στράτευμα διέλυσε κατὰ πόλεις
ἑκάστους.

[Κατὰ δὲ τοῦτον τὸν καιρὸν περὶ ἡλίου ἔκλειψιν 4
*Λυκόφρων* ὁ *Φεραῖος*, βουλόμενος ἄρξαι ὅλης τῆς *Θετ-
ταλίας*, τοὺς ἐναντιουμένους αὐτῷ τῶν *Θετταλῶν, Λα-
ρισαίους* τε καὶ ἄλλους, μάχῃ ἐνίκησε καὶ πολλοὺς
ἀπέκτεινεν.

Ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ *Διονύσιος* ὁ *Συρακό- 5
σιος* τύραννος μάχῃ ἡττηθεὶς ὑπὸ *Καρχηδονίων Γέλαν*
καὶ *Καμάριναν* ἀπώλεσε. μετ' ὀλίγον δὲ καὶ *Λεοντῖ-
νοι Συρακοσίοις* συνοικοῦντες ἀπέστησαν εἰς τὴν αὑ-
τῶν πόλιν ἀπὸ *Διονυσίου* καὶ *Συρακοσίων*. παρα-
χρῆμα δὲ καὶ οἱ *Συρακόσιοι* ἱππεῖς ὑπὸ *Διονυσίου* εἰς
*Κατάνην* ἀπεστάλησαν.]

Οἱ δὲ *Σάμιοι* πολιορκούμενοι ὑπὸ *Λυσάνδρου* 6
πάντῃ, ἐπεὶ οὐ βουλομένων αὐτῶν τὸ πρῶτον ὁμολο-
γεῖν προσβάλλειν ἤδη ἔμελλεν ὁ *Λύσανδρος*, ὡμολό-
γησαν ἓν ἱμάτιον ἔχων ἕκαστος ἀπιέναι τῶν ἐλευθέ-
ρων, τὰ δ' ἄλλα παραδοῦναι· καὶ οὕτως ἐξῆλθον. *Λύ- 7
σανδρος* δὲ τοῖς ἀρχαίοις πολίταις παραδοὺς τὴν πόλιν
καὶ τὰ ἐνόντα πάντα καὶ δέκα ἄρχοντας καταστήσας
φρουρεῖν ἀφῆκε τὸ τῶν συμμάχων ναυτικὸν κατὰ πό-
λεις, ταῖς δὲ *Λακωνικαῖς* ναυσὶν ἀπέπλευσεν εἰς *Λα- 8
κεδαίμονα*, ἀπάγων τά τε τῶν αἰχμαλώτων νεῶν ἀκρω-
τήρια καὶ τὰς ἐκ *Πειραιῶς* τριήρεις πλὴν δώδεκα
καὶ στεφάνους, οὓς παρὰ τῶν πόλεων ἐλάμβανε δῶρα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰδίᾳ, καὶ ἀργυρίου τετρακόσια καὶ ἑβδομήκοντα τάλαντα, ἃ περιεγένοντο τῶν φόρων, οὓς αὐτῷ Κῦρος παρέδειξεν εἰς τὸν πόλεμον, καὶ εἴ τι ἄλλο ἐκτή-
9 σατο ἐν τῷ πολέμῳ. ταῦτα δὲ πάντα Λακεδαιμονίοις ἀπέδωκε τελευτῶντος τοῦ θέρους. [εἰς ὃ ἑξάμηνος καὶ ὀκτὼ καὶ εἴκοσιν ἔτη τῷ πολέμῳ ἐτελεύτα, ἐν οἷς ἔφοροι οἱ ἀριθμούμενοι οἵδε ἐγένοντο, Αἰνησίας πρῶτος, ἐφ' οὗ ἤρξατο ὁ πόλεμος, πέμπτῳ καὶ δεκάτῳ ἔτει τῶν μετ' Εὐβοίας ἅλωσιν τριακονταετίδων σπονδῶν,
10 μετὰ δὲ τοῦτον οἵδε, Βρασίδας, Ἰσάνωρ, Σωστρατίδας, Ἔξαρχος, Ἀγησίστρατος, Ἀγγενίδας, Ὀνομακλῆς, Ζεύξιππος, Πιτύας, Πλειστόλας, Κλεινόμαχος, Ἴλαρχος, Λέων, Χαιρίλας, Πατησιάδας, Κλεοσθένης, Λυκάριος, Ἐπήρατος, Ὀνομάντιος, Ἀλεξιππίδας, Μισγολαΐδας, Ἰσίας, Ἄρακος, Εὐάρχιππος, Παντακλῆς, Πιτύας, Ἀρχύτας, Ἔνδιος, ἐφ' οὗ Λύσανδρος πράξας τὰ εἰρημένα οἴκαδε κατέπλευσεν.]

11 Οἱ δὲ τριάκοντα ᾑρέθησαν μὲν ἐπεὶ τάχιστα τὰ μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθη· αἱρεθέντες δὲ ἐφ' ᾧτε συγγράψαι νόμους, καθ' οὕστινας πολιτεύσοιντο, τούτους μὲν ἀεὶ ἔμελλον συγγράφειν τε καὶ ἀποδεικνύναι, βουλὴν δὲ καὶ τὰς ἄλλας ἀρχὰς κατ-
12 έστησαν ὡς ἐδόκει αὐτοῖς. ἔπειτα πρῶτον μὲν οὓς πάντες ᾔδεσαν ἐν τῇ δημοκρατίᾳ ἀπὸ συκοφαντίας ζῶντας καὶ τοῖς καλοῖς κἀγαθοῖς βαρεῖς ὄντας, συλλαμβάνοντες ὑπῆγον θανάτου· καὶ ἥ τε βουλὴ ἡδέως αὐτῶν κατεψηφίζετο οἵ τε ἄλλοι ὅσοι συνῄδεσαν ἑαυ-
13 τοῖς μὴ ὄντες τοιοῦτοι οὐδὲν ἤχθοντο. ἐπεὶ δὲ ἤρξαντο βουλεύεσθαι ὅπως ἂν ἐξείη αὐτοῖς τῇ πόλει χρῆσθαι ὅπως βούλοιντο, ἐκ τούτου πρῶτον μὲν πέμψαντες εἰς Λακεδαίμονα Αἰσχίνην τε καὶ Ἀριστοτέλη ἔπεισαν Λύσανδρον φρουροὺς σφίσι συμπρᾶξαι ἐλθεῖν, ἕως δὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς πονηροὺς ἐκποδὼν ποιησάμενοι καταστήσαιντο
τὴν πολιτείαν· θρέψειν δὲ αὐτοὶ ὑπισχνοῦντο. ὁ δὲ 14
πεισθεὶς τούς τε φρουροὺς καὶ Καλλίβιον ἁρμοστὴν
συνέπραξεν αὐτοῖς πεμφθῆναι· οἱ δ᾽ ἐπεὶ τὴν φρουρὰν
ἔλαβον, τὸν μὲν Καλλίβιον ἐθεράπευον πάσῃ θεραπείᾳ,
ὡς πάντα ἐπαινοίη ἃ πράττοιεν, τῶν δὲ φρουρῶν τού-
του συμπέμποντος αὐτοῖς οὓς ἐβούλοντο συνελάμβα-
νον οὐκέτι τοὺς πονηρούς τε καὶ ὀλίγου ἀξίους, ἀλλ᾽
ἤδη οὓς ἐνόμιζον ἥκιστα μὲν παρωθουμένους ἀνέχε-
σθαι, ἀντιπράττειν δέ τι ἐπιχειροῦντας πλείστους ἂν
τοὺς συνεθέλοντας λαμβάνειν. τῷ μὲν οὖν πρώτῳ 15
χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φί-
λος ἦν· ἐπεὶ δὲ αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς
ἀποκτείνειν, ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θη-
ραμένης ἀντέκοπτε, λέγων ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν,
εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς κἀγα-
θοὺς μηδὲν κακὸν εἰργάζετο, ἐπεὶ καὶ ἐγώ, ἔφη, καὶ σὺ
πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν καὶ
ἐπράξαμεν· ὁ δέ, ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει, 16
ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλο-
μένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους
διακωλύειν· εἰ δέ, ὅτι τριάκοντά ἐσμεν καὶ οὐχ εἷς, ἧτ-
τόν τι οἴει ὥσπερ τυραννίδος ταύτης τῆς ἀρχῆς χρῆναι
ἐπιμελεῖσθαι, εὐήθης εἶ. ἐπεὶ δὲ ἀποθνησκόντων πολ- 17
λῶν καὶ ἀδίκως πολλοὶ δῆλοι ἦσαν συνιστάμενοί τε καὶ
θαυμάζοντες τί ἔσοιτο ἡ πολιτεία, πάλιν ἔλεγεν ὁ Θη-
ραμένης ὅτι εἰ μή τις κοινωνοὺς ἱκανοὺς λήψοιτο τῶν
πραγμάτων, ἀδύνατον ἔσοιτο τὴν ὀλιγαρχίαν διαμέ-
νειν. ἐκ τούτου μέντοι Κριτίας καὶ οἱ ἄλλοι τριάκον- 18
τα, ἤδη φοβούμενοι καὶ οὐχ ἥκιστα τὸν Θηραμένη,
μὴ συρρυείησαν πρὸς αὐτὸν οἱ πολῖται, καταλέγουσι
τρισχιλίους τοὺς μεθέξοντας δὴ τῶν πραγμάτων. ὁ δ᾽ 19

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

αὖ Θηραμένης καὶ πρὸς ταῦτα ἔλεγεν ὅτι ἄτοπον δο-
κοίη ἑαυτῷ γε εἶναι τὸ πρῶτον μὲν βουλομένους τοὺς
βελτίστους τῶν πολιτῶν κοινωνοὺς ποιήσασθαι τρισ-
χιλίους, ὥσπερ τὸν ἀριθμὸν τοῦτον ἔχοντά τινα ἀνάγ-
κην καλοὺς κἀγαθοὺς εἶναι, καὶ οὔτ' ἔξω τούτων
σπουδαίους οὔτ' ἐντὸς τούτων πονηροὺς οἷόν τε εἴη
γενέσθαι· ἔπειτα δ', ἔφη, ὁρῶ ἔγωγε δύο ἡμᾶς τὰ ἐναν-
τιώτατα πράττοντας, βιαίαν τε τὴν ἀρχὴν καὶ ἥττονα
20 τῶν ἀρχομένων κατασκευαζομένους. ὁ μὲν ταῦτ' ἔλε-
γεν. οἱ δ' ἐξέτασιν ποιήσαντες τῶν μὲν τρισχιλίων ἐν
τῇ ἀγορᾷ, τῶν δ' ἔξω τοῦ καταλόγου ἄλλων ἀλλαχοῦ,
ἔπειτα κελεύσαντες ἐπὶ τὰ ὅπλα, ἐν ᾧ ἐκεῖνοι ἀπεληλύ-
θεσαν πέμψαντες τοὺς φρουροὺς καὶ τῶν πολιτῶν
τοὺς ὁμογνώμονας αὐτοῖς τὰ ὅπλα πάντων πλὴν τῶν
τρισχιλίων παρείλοντο, καὶ ἀνακομίσαντες ταῦτα εἰς
21 τὴν ἀκρόπολιν συνέθηκαν ἐν τῷ ναῷ. τούτων δὲ γενο-
μένων, ὡς ἐξὸν ἤδη ποιεῖν αὐτοῖς ὅ,τι βούλοιντο, πολ-
λοὺς μὲν ἔχθρας ἕνεκα ἀπέκτεινον, πολλοὺς δὲ χρημά-
των. ἔδοξε δ' αὐτοῖς, ὅπως ἔχοιεν τοῖς φρουροῖς
χρήματα διδόναι, καὶ τῶν μετοίκων ἕνα ἕκαστον λα-
βεῖν, καὶ αὐτοὺς μὲν ἀποκτεῖναι, τὰ δὲ χρήματα αὐτῶν
22 ἀποσημήνασθαι. ἐκέλευον δὲ καὶ τὸν Θηραμένη λα-
βεῖν ὅντινα βούλοιτο. ὁ δ' ἀπεκρίνατο, Ἀλλ' οὐ δοκεῖ
μοι, ἔφη, καλὸν εἶναι φάσκοντας βελτίστους εἶναι ἀδι-
κώτερα τῶν συκοφαντῶν ποιεῖν. ἐκεῖνοι μὲν γὰρ παρ'
ὧν χρήματα λαμβάνοιεν ζῆν εἴων, ἡμεῖς δὲ ἀποκτε-
νοῦμεν μηδὲν ἀδικοῦντας, ἵνα χρήματα λαμβάνωμεν·
23 πῶς οὐ ταῦτα τῷ παντὶ ἐκείνων ἀδικώτερα; οἱ δ' ἐμ-
ποδὼν νομίζοντες αὐτὸν εἶναι τῷ ποιεῖν ὅ,τι βού-
λοιντο, ἐπιβουλεύουσιν αὐτῷ, καὶ ἰδίᾳ πρὸς τοὺς
βουλευτὰς ἄλλος πρὸς ἄλλον διέβαλλον ὡς λυμαινό-
μενον τὴν πολιτείαν. καὶ παραγγείλαντες νεανί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκοις οἳ ἐδόκουν αὐτοῖς θρασύτατοι εἶναι ξιφίδια ὑπὸ μάλης ἔχοντας παραγενέσθαι, συνέλεξαν τὴν βουλήν. ἐπεὶ δὲ ὁ Θηραμένης παρῆν, ἀναστὰς ὁ Κριτίας 24
ἔλεξεν ὧδε.

Ὦ ἄνδρες βουλευταί, εἰ μέν τις ὑμῶν νομίζει πλείονας τοῦ καιροῦ ἀποθνήσκειν, ἐννοησάτω ὅτι ὅπου πολιτεῖαι μεθίστανται πανταχοῦ ταῦτα γίγνεται· πλείστους δὲ ἀνάγκη ἐνθάδε πολεμίους εἶναι τοῖς εἰς ὀλιγαρχίαν μεθιστᾶσι διά τε τὸ πολυανθρωποτάτην τῶν Ἑλληνίδων τὴν πόλιν εἶναι καὶ διὰ τὸ πλεῖστον χρόνον ἐν ἐλευθερίᾳ τὸν δῆμον τεθράφθαι. ἡμεῖς δὲ γνόντες 25
μὲν τοῖς οἵοις ἡμῖν τε καὶ ὑμῖν χαλεπὴν πολιτείαν εἶναι δημοκρατίαν, γνόντες δὲ ὅτι Λακεδαιμονίοις τοῖς περισώσασιν ἡμᾶς ὁ μὲν δῆμος οὔποτ' ἂν φίλος γένοιτο, οἱ δὲ βέλτιστοι ἀεὶ ἂν πιστοὶ διατελοῖεν, διὰ ταῦτα σὺν τῇ Λακεδαιμονίων γνώμῃ τήνδε τὴν πολιτείαν καθίσταμεν. καὶ ἐάν τινα αἰσθανώμεθα ἐναντίον τῇ ὀλι- 26
γαρχίᾳ, ὅσον δυνάμεθα ἐκποδὼν ποιούμεθα· πολὺ δὲ μάλιστα δοκεῖ ἡμῖν δίκαιον εἶναι, εἴ τις ἡμῶν αὐτῶν λυμαίνεται ταύτῃ τῇ καταστάσει, δίκην αὐτὸν διδόναι.
νῦν οὖν αἰσθανόμεθα Θηραμένη τουτονὶ οἷς δύναται 27
ἀπολλύντα ἡμᾶς τε καὶ ὑμᾶς. ὡς δὲ ταῦτα ἀληθῆ, ἢν κατανοῆτε, εὑρήσετε οὔτε ψέγοντα οὐδένα μᾶλλον Θηραμένους τουτουὶ τὰ παρόντα οὔτε ἐναντιούμενον, ὅταν τινὰ ἐκποδὼν βουλώμεθα ποιήσασθαι τῶν δημαγωγῶν. εἰ μὲν τοίνυν ἐξ ἀρχῆς ταῦτα ἐγίγνωσκε, πολέμιος μὲν ἦν, οὐ μέντοι πονηρός γ' ἂν δικαίως ἐνο-
μίζετο· νῦν δὲ αὐτὸς μὲν ἄρξας τῆς πρὸς Λακεδαιμο- 28
νίους πίστεως καὶ φιλίας, αὐτὸς δὲ τῆς τοῦ δήμου καταλύσεως, μάλιστα δὲ ἐξορμήσας ὑμᾶς τοῖς πρώτοις ὑπαγομένοις εἰς ὑμᾶς δίκην ἐπιτιθέναι, νῦν ἐπεὶ καὶ ὑμεῖς καὶ ἡμεῖς φανερῶς ἐχθροὶ τῷ δήμῳ γεγενήμεθα,

οὐκέτ' αὐτῷ τὰ γιγνόμενα ἀρέσκει, ὅπως αὐτὸς μὲν αὖ
ἐν τῷ ἀσφαλεῖ καταστῇ, ἡμεῖς δὲ δίκην δῶμεν τῶν
29 πεπραγμένων. ὥστε οὐ μόνον ὡς ἐχθρῷ αὐτῷ προσή-
κει ἀλλὰ καὶ ὡς προδότῃ ὑμῶν τε καὶ ἡμῶν διδόναι
τὴν δίκην. καίτοι τοσούτῳ μὲν δεινότερον προδοσία
πολέμου, ὅσῳ χαλεπώτερον φυλάξασθαι τὸ ἀφανὲς τοῦ
φανεροῦ, τοσούτῳ δ' ἔχθιον, ὅσῳ πολεμίοις μὲν ἄν-
θρωποι καὶ σπένδονται καὶ αὖθις πιστοὶ γίγνονται, ὃν
δ' ἂν προδιδόντα λαμβάνωσι, τούτῳ οὔτε ἐσπείσατο
30 πώποτε οὐδεὶς οὔτ' ἐπίστευσε τοῦ λοιποῦ. ἵνα δὲ εἰ-
δῆτε ὅτι οὐ καινὰ ταῦτα οὗτος ποιεῖ, ἀλλὰ φύσει προ-
δότης ἐστίν, ἀναμνήσω ὑμᾶς τὰ τούτῳ πεπραγμένα.
οὗτος γὰρ ἐξ ἀρχῆς μὲν τιμώμενος ὑπὸ τοῦ δήμου κα-
τὰ τὸν πατέρα Ἅγνωνα, προπετέστατος ἐγένετο τὴν
δημοκρατίαν μεταστῆσαι εἰς τοὺς τετρακοσίους, καὶ
ἐπρώτευεν ἐν ἐκείνοις. ἐπεὶ δ' ᾔσθετο ἀντίπαλόν τι τῇ
ὀλιγαρχίᾳ συνιστάμενον, πρῶτος αὖ ἡγεμὼν τῷ δήμῳ
31 ἐπ' ἐκείνους ἐγένετο· ὅθεν δήπου καὶ κόθορνος
ἐπικαλεῖται· (καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς
ποσὶν ἀμφοτέροις δοκεῖ, ἀποβλέπει δὲ ἀπ' ἀμφοτέρων.)
δεῖ δέ, ὦ Θηράμενες, ἄνδρα τὸν ἄξιον ζῆν οὐ προά-
γειν μὲν δεινὸν εἶναι εἰς πράγματα τοὺς συνόντας, ἢν
δέ τι ἀντικόπτῃ, εὐθὺς μεταβάλλεσθαι, ἀλλ' ὥσπερ ἐν
νηὶ διαπονεῖσθαι, ἕως ἂν εἰς οὖρον καταστῶσιν· εἰ δὲ
μή, πῶς ἂν ἀφίκοιντό ποτε ἔνθα δεῖ, εἰ ἐπειδάν τι ἀν-
32 τικόψῃ, εὐθὺς εἰς τἀναντία πλέοιεν; καὶ εἰσὶ μὲν δήπου
πᾶσαι μεταβολαὶ πολιτειῶν θανατηφόροι, σὺ δὲ διὰ
τὸ εὐμετάβολος εἶναι πλείστοις μὲν μεταίτιος εἶ ἐξ ὀλι-
γαρχίας ὑπὸ τοῦ δήμου ἀπολωλέναι, πλείστοις δ' ἐκ
δημοκρατίας ὑπὸ τῶν βελτιόνων. οὗτος δέ τοί ἐστιν
ὃς ταχθεὶς ἀνελέσθαι ὑπὸ τῶν στρατηγῶν τοὺς κατα-
δύντας Ἀθηναίων ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ αὐ-

τὸς οὐκ ἀνελόμενος ὅμως τῶν στρατηγῶν κατηγορῶν
ἀπέκτεινεν αὐτούς, ἵνα αὐτὸς περισωθείη. ὅστις γε 33
μὴν φανερός ἐστι τοῦ μὲν πλεονεκτεῖν ἀεὶ ἐπιμελόμε-
νος, τοῦ δὲ καλοῦ καὶ τῶν φίλων μηδὲν ἐντρεπόμενος,
πῶς τούτου χρή ποτε φείσασθαι; πῶς δὲ οὐ φυλάξα-
σθαι, εἰδότας αὐτοῦ τὰς μεταβολάς, ὡς μὴ καὶ ἡμᾶς
ταὐτὸ δυνασθῇ ποιῆσαι; ἡμεῖς οὖν τοῦτον ὑπάγομεν
καὶ ὡς ἐπιβουλεύοντα καὶ ὡς προδιδόντα ἡμᾶς τε καὶ
ὑμᾶς. ὡς δ' εἰκότα ποιοῦμεν, καὶ τάδ' ἐννοήσατε.
καλλίστη μὲν γὰρ δήπου δοκεῖ πολιτεία εἶναι ἡ Λακε- 34
δαιμονίων· εἰ δὲ ἐκεῖ ἐπιχειρήσειέ τις τῶν ἐφόρων
ἀντὶ τοῦ τοῖς πλείοσι πείθεσθαι ψέγειν τε τὴν ἀρχὴν
καὶ ἐναντιοῦσθαι τοῖς πραττομένοις, οὐκ ἂν οἴεσθε
αὐτὸν καὶ ὑπ' αὐτῶν τῶν ἐφόρων καὶ ὑπὸ τῆς ἄλλης
ἁπάσης πόλεως τῆς μεγίστης τιμωρίας ἀξιωθῆναι; καὶ
ὑμεῖς οὖν, ἐὰν σωφρονῆτε, οὐ τούτου ἀλλ' ὑμῶν αὐ-
τῶν φείσεσθε, ὡς οὗτος σωθεὶς μὲν πολλοὺς ἂν μέγα
φρονεῖν ποιήσειε τῶν ἐναντία γιγνωσκόντων ὑμῖν,
ἀπολόμενος δὲ πάντων καὶ τῶν ἐν τῇ πόλει καὶ τῶν
ἔξω ὑποτέμοι ἂν τὰς ἐλπίδας.
Ὁ μὲν ταῦτ' εἰπὼν ἐκαθέζετο· Θηραμένης δὲ ἀνα- 35
στὰς ἔλεξεν· Ἀλλὰ πρῶτον μὲν μνησθήσομαι, ὦ ἄνδρες,
ὃ τελευταῖον κατ' ἐμοῦ εἶπε. φησὶ γάρ με τοὺς στρατη-
γοὺς ἀποκτεῖναι κατηγοροῦντα. ἐγὼ δὲ οὐκ ἦρχον δή-
που κατ' ἐκείνων λόγου, ἀλλ' ἐκεῖνοι ἔφασαν προστα-
χθέν μοι ὑφ' ἑαυτῶν οὐκ ἀνελέσθαι τοὺς δυστυχοῦντας
ἐν τῇ περὶ Λέσβον ναυμαχίᾳ. ἐγὼ δὲ ἀπολογούμενος
ὡς διὰ τὸν χειμῶνα οὐδὲ πλεῖν, μὴ ὅτι ἀναιρεῖσθαι
τοὺς ἄνδρας δυνατὸν ἦν, ἔδοξα τῇ πόλει εἰκότα λέ-
γειν, ἐκεῖνοι δ' ἑαυτῶν κατηγορεῖν ἐφαίνοντο. φάσκον-
τες γὰρ οἷόν τε εἶναι σῶσαι τοὺς ἄνδρας, προέμενοι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

36 ἀπολέσθαι, αὐτοὺς ἀποπλέοντες ᾤχοντο. οὐ μέντοι
θαυμάζω γε τὸ Κριτίαν παρανενομηκέναι· ὅτε γὰρ
ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ
Προμηθέως δημοκρατίαν κατεσκεύαζε καὶ τοὺς πενέ-
37 στας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας. ὧν μὲν οὖν οὗτος
ἐκεῖ ἔπραττε μηδὲν ἐνθάδε γένοιτο· τάδε γε μέντοι
ὁμολογῶ ἐγὼ τούτῳ, εἴ τις ὑμᾶς μὲν τῆς ἀρχῆς βούλε-
ται παῦσαι, τοὺς δ' ἐπιβουλεύοντας ὑμῖν ἰσχυροὺς
ποιεῖ, δίκαιον εἶναι τῆς μεγίστης αὐτὸν τιμωρίας τυγ-
χάνειν· ὅστις μέντοι ὁ ταῦτα πράττων ἐστὶν οἶμαι ἂν
ὑμᾶς κάλλιστα κρίνειν, τά τε πεπραγμένα καὶ ἃ νῦν
38 πράττει ἕκαστος ἡμῶν εἰ κατανοήσετε. | οὐκοῦν μέχρι
μὲν τοῦ ὑμᾶς τε καταστῆναι εἰς τὴν βουλείαν καὶ ἀρ-
χὰς ἀποδειχθῆναι καὶ τοὺς ὁμολογουμένους συκοφάν-
τας ὑπάγεσθαι πάντες ταὐτὰ ἐγιγνώσκομεν· ἐπεὶ δέ γε
οὗτοι ἤρξαντο ἄνδρας καλούς τε κἀγαθοὺς συλλαμβά-
νειν, ἐκ τούτου κἀγὼ ἠρξάμην τἀναντία τούτοις γι-
39 γνώσκειν. ᾔδειν γὰρ ὅτι ἀποθνῄσκοντος μὲν Λέοντος
τοῦ Σαλαμινίου, ἀνδρὸς καὶ ὄντος καὶ δοκοῦντος ἱκα-
νοῦ εἶναι, ἀδικοῦντος δ' οὐδὲ ἕν, οἱ ὅμοιοι τούτῳ φο-
βήσοιντο, φοβούμενοι δὲ ἐναντίοι τῇδε τῇ πολιτείᾳ
ἔσοιντο· ἐγίγνωσκον δὲ ὅτι συλλαμβανομένου Νικηρά-
του τοῦ Νικίου, καὶ πλουσίου καὶ οὐδὲν πώποτε δημο-
τικὸν οὔτε αὐτοῦ οὔτε τοῦ πατρὸς πράξαντος, οἱ τούτῳ
40 ὅμοιοι δυσμενεῖς ἡμῖν γενήσοιντο. | ἀλλὰ μὴν καὶ Ἀν-
τιφῶντος ὑφ' ἡμῶν ἀπολλυμένου, ὃς ἐν τῷ πολέμῳ
δύο τριήρεις εὖ πλεούσας παρείχετο, ἠπιστάμην ὅτι καὶ
οἱ πρόθυμοι τῇ πόλει γεγενημένοι πάντες ὑπόπτως
ἡμῖν ἕξοιεν. ἀντεῖπον δὲ καὶ ὅτε τῶν μετοίκων ἕνα
ἕκαστον λαβεῖν ἔφασαν χρῆναι· εὔδηλον γὰρ ἦν ὅτι
τούτων ἀπολομένων καὶ οἱ μέτοικοι ἅπαντες πολέμιοι
41 τῇ πολιτείᾳ ἔσοιντο. ἀντεῖπον δὲ καὶ ὅτε τὰ ὅπλα τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλήθους παρῃροῦντο, οὐ νομίζων χρῆναι ἀσθενῆ τὴν
πόλιν ποιεῖν· οὐδὲ γὰρ τοὺς Λακεδαιμονίους ἑώρων
τούτου ἕνεκα βουλομένους περισῶσαι ἡμᾶς, ὅπως ὀλί-
γοι γενόμενοι μηδὲν δυναίμεθ' αὐτοὺς ὠφελεῖν· ἐξῆν
γὰρ αὐτοῖς, εἰ τούτου γε δέοιντο, καὶ μηδένα λιπεῖν
ὀλίγον ἔτι χρόνον τῷ λιμῷ πιέσαντας. οὐδέ γε τὸ φρου- 42
ροὺς μισθοῦσθαι συνήρεσκέ μοι, ἐξὸν αὐτῶν τῶν πολι-
τῶν τοσούτους προσλαμβάνειν, ἕως ῥᾳδίως ἐμέλλομεν
οἱ ἄρχοντες τῶν ἀρχομένων κρατήσειν. ἐπεί γε μὴν
πολλοὺς ἑώρων ἐν τῇ πόλει τῇ ἀρχῇ τῇδε δυσμενεῖς,
πολλοὺς δὲ φυγάδας γιγνομένους, οὐκ αὖ ἐδόκει μοι
οὔτε Θρασύβουλον οὔτε Ἄνυτον οὔτε Ἀλκιβιάδην φυ-
γαδεύειν· ᾔδειν γὰρ ὅτι οὕτω γε τὸ ἀντίπαλον ἰσχυρὸν
ἔσοιτο, εἰ τῷ μὲν πλήθει ἡγεμόνες ἱκανοὶ προσγενή-
σοιντο, τοῖς δ' ἡγεῖσθαι βουλομένοις σύμμαχοι πολ-
λοὶ φανήσοιντο. ὁ ταῦτα οὖν νουθετῶν ἐν τῷ φα- 43
νερῷ πότερα εὐμενὴς ἂν δικαίως ἢ προδότης νομί-
ζοιτο; οὐχ οἱ ἐχθρούς, ὦ Κριτία, κωλύοντες πολλοὺς
ποιεῖσθαι, οὐδ' οἱ συμμάχους πλείστους διδάσκοντες
κτᾶσθαι, οὗτοι τοὺς πολεμίους ἰσχυροὺς ποιοῦσιν, ἀλ-
λὰ πολὺ μᾶλλον οἱ ἀδίκως τε χρήματα ἀφαιρούμενοι
καὶ τοὺς οὐδὲν ἀδικοῦντας ἀποκτείνοντες, οὗτοί εἰσιν
οἱ καὶ πολλοὺς τοὺς ἐναντίους ποιοῦντες καὶ προδι-
δόντες οὐ μόνον τοὺς φίλους ἀλλὰ καὶ ἑαυτοὺς δι' αἰ-
σχροκέρδειαν. | εἰ δὲ μὴ ἄλλως γνωστὸν ὅτι ἀληθῆ λέ- 44
γω, ὧδε ἐπισκέψασθε. πότερον οἴεσθε Θρασύβουλον
καὶ Ἄνυτον καὶ τοὺς ἄλλους φυγάδας ἃ ἐγὼ λέγω μᾶλ-
λον ἂν ἐνθάδε βούλεσθαι γίγνεσθαι ἢ ἃ οὗτοι πράτ-
τουσιν; ἐγὼ μὲν γὰρ οἶμαι νῦν μὲν αὐτοὺς νομίζειν
συμμάχων πάντα μεστὰ εἶναι· εἰ δὲ τὸ κράτιστον τῆς
πόλεως προσφιλῶς ἡμῖν εἶχε, χαλεπὸν ἂν ἡγεῖσθαι εἶ-

ἐγώ εἰμι οἷος ἀεί ποτε μεταβάλλεσθαι, κατανοήσατε καὶ ταῦτα. τὴν μὲν γὰρ ἐπὶ τῶν τετρακοσίων πολιτείαν καὶ αὐτὸς δήπου ὁ δῆμος ἐψηφίσατο, διδασκόμενος ὡς οἱ Λακεδαιμόνιοι πάσῃ πολιτείᾳ μᾶλλον ἂν ἢ δημο-
46 κρατίᾳ πιστεύσειαν. ἐπεὶ δέ γε ἐκεῖνοι μὲν οὐδὲν ἀνίεσαν, οἱ δὲ ἀμφὶ Ἀριστοτέλη καὶ Μελάνθιον καὶ Ἀρίσταρχον στρατηγοῦντες φανεροὶ ἐγένοντο ἐπὶ τῷ χώματι ἔρυμα τειχίζοντες, εἰς ὃ ἐβούλοντο τοὺς πολεμίους δεξάμενοι ὑφ' αὑτοῖς καὶ τοῖς ἑταίροις τὴν πόλιν ποιήσασθαι, εἰ ταῦτ' αἰσθόμενος ἐγὼ διεκώλυσα, τοῦτ'
47 ἐστὶ προδότην εἶναι τῶν φίλων; ἀποκαλεῖ δὲ κόθορνόν με, ὡς ἀμφοτέροις πειρώμενον ἁρμόττειν. ὅστις δὲ μηδετέροις ἀρέσκει, τοῦτον ὦ πρὸς τῶν θεῶν τί ποτε καὶ καλέσαι χρή; σὺ γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντων μισοδημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων
48 μισοχρηστότατος γεγένησαι. ἐγὼ δ', ὦ Κριτία, ἐκείνοις μὲν ἀεί ποτε πολεμῶ τοῖς οὐ πρόσθεν οἰομένοις καλὴν ἂν δημοκρατίαν εἶναι, πρὶν καὶ οἱ δοῦλοι καὶ οἱ δι' ἀπορίαν δραχμῆς ἂν ἀποδόμενοι τὴν πόλιν δραχμῆς μετέχοιεν. καὶ τοῖσδέ γ' αὖ ἀεὶ ἐναντίος εἰμὶ οἳ οὐκ οἴονται καλὴν ἂν ἐγγενέσθαι ὀλιγαρχίαν, πρὶν εἰς τὸ ὑπ' ὀλίγων τυραννεῖσθαι τὴν πόλιν καταστήσειαν. τὸ μέντοι σὺν τοῖς δυναμένοις καὶ μεθ' ἵππων καὶ μετ' ἀσπίδων ὠφελεῖν διὰ τούτων τὴν πολιτείαν πρόσθεν ἄριστον
49 ἡγούμην εἶναι καὶ νῦν οὐ μεταβάλλομαι. εἰ δ' ἔχεις εἰπεῖν, ὦ Κριτία, ὅπου ἐγὼ σὺν τοῖς δημοτικοῖς ἢ τυραννικοῖς τοὺς καλούς τε κἀγαθοὺς ἀποστερεῖν πολιτείας ἐπεχείρησα, λέγε· ἐὰν γὰρ ἐλεγχθῶ ἢ νῦν ταῦτα πράττων ἢ πρότερον πώποτε πεποιηκώς, ὁμολογῶ τὰ πάντων ἔσχατα παθὼν ἂν δικαίως ἀποθνήσκειν.

50 Ὡς δ' εἰπὼν ταῦτα ἐπαύσατο, καὶ ἡ βουλὴ δήλη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγένετο εὐμενῶς ἐπιθορυβήσασα, γνοὺς ὁ Κριτίας ὅτι
εἰ ἐπιτρέψοι τῇ βουλῇ διαψηφίζεσθαι περὶ αὐτοῦ, ἀνα-
φεύξοιτο, καὶ τοῦτο οὐ βιωτὸν ἡγησάμενος, προσελ-
θὼν καὶ διαλεχθείς τι τοῖς τριάκοντα ἐξῆλθε, καὶ ἐπι-
στῆναι ἐκέλευσε τοὺς τὰ ἐγχειρίδια ἔχοντας φανερῶς
τῇ βουλῇ ἐπὶ τοῖς δρυφάκτοις. πάλιν δὲ εἰσελθὼν εἶ- 51
πεν, Ἐγώ, ὦ βουλή, νομίζω προστάτου ἔργον εἶναι
οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ
ἐπιτρέπῃ. καὶ ἐγὼ οὖν τοῦτο ποιήσω. καὶ γὰρ οἵδε
οἱ ἐφεστηκότες οὔ φασιν ἡμῖν ἐπιτρέψειν, εἰ ἀνήσομεν
ἄνδρα τὸν φανερῶς τὴν ὀλιγαρχίαν λυμαινόμενον.
ἔστι δὲ ἐν τοῖς καινοῖς νόμοις τῶν μὲν ἐν τοῖς τρισχι-
λίοις ὄντων μηδένα ἀποθνήσκειν ἄνευ τῆς ὑμετέρας
ψήφου, τῶν δ' ἔξω τοῦ καταλόγου κυρίους εἶναι τοὺς
τριάκοντα θανατοῦν. ἐγὼ οὖν, ἔφη, Θηραμένη τουτ-
τονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, συνδοκοῦν ἅπασιν
ἡμῖν. καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν. ἀκούσας 52
ταῦτα ὁ Θηραμένης ἀνεπήδησεν ἐπὶ τὴν Ἑστίαν καὶ
εἶπεν, Ἐγὼ δ', ἔφη, ὦ ἄνδρες, ἱκετεύω τὰ πάντων ἐν-
νομώτατα, μὴ ἐπὶ Κριτίᾳ εἶναι ἐξαλείφειν μήτε ἐμὲ
μήτε ὑμῶν ὃν ἂν βούληται, ἀλλ' ὅνπερ νόμον οὗτοι
ἔγραψαν περὶ τῶν ἐν τῷ καταλόγῳ, κατὰ τοῦτον καὶ
ὑμῖν καὶ ἐμοὶ τὴν κρίσιν εἶναι. καὶ τοῦτο μέν, ἔφη, μὰ 53
τοὺς θεοὺς οὐκ ἀγνοῶ, ὅτι οὐδέν μοι ἀρκέσει ὅδε ὁ
βωμός, ἀλλὰ βούλομαι καὶ τοῦτο ἐπιδεῖξαι, ὅτι οὗτοι
οὐ μόνον εἰσὶ περὶ ἀνθρώπους ἀδικώτατοι, ἀλλὰ καὶ
περὶ θεοὺς ἀσεβέστατοι. ὑμῶν μέντοι, ἔφη, ὦ ἄνδρες
καλοὶ κἀγαθοί, θαυμάζω, εἰ μὴ βοηθήσετε ὑμῖν αὐτοῖς,
καὶ ταῦτα γιγνώσκοντες ὅτι οὐδὲν τὸ ἐμὸν ὄνομα εὐεξ-
αλειπτότερον ἢ τὸ ὑμῶν ἑκάστου. ἐκ δὲ τούτου ἐκά- 54
λεσε μὲν ὁ τῶν τριάκοντα κῆρυξ τοὺς ἕνδεκα ἐπὶ τὸν
Θηραμένη. ἐκεῖνοι δὲ εἰσελθόντες σὺν τοῖς ὑπηρέταις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡγουμένου αὐτῶν Σατύρου τοῦ θρασυτάτου τε καὶ ἀναιδεστάτου, εἶπε μὲν ὁ Κριτίας, Παραδίδομεν ὑμῖν, ἔφη, Θηραμένη τουτονὶ κατακεκριμένον κατὰ τὸν
55 νόμον· ὑμεῖς δὲ λαβόντες καὶ ἀπαγαγόντες οἱ ἕνδεκα οἷ δεῖ τὰ ἐκ τούτων πράττετε. ὡς δὲ ταῦτα εἶπεν, εἷλκε μὲν ἀπὸ τοῦ βωμοῦ ὁ Σάτυρος, εἷλκον δὲ οἱ ὑπηρέται. ὁ δὲ Θηραμένης ὥσπερ εἰκὸς καὶ θεοὺς ἐπεκαλεῖτο καὶ ἀνθρώπους καθορᾶν τὰ γιγνόμενα. ἡ δὲ βουλὴ ἡσυχίαν εἶχεν, ὁρῶσα καὶ τοὺς ἐπὶ τοῖς δρυφάκτοις ὁμοίους Σατύρῳ καὶ τὸ ἔμπροσθεν τοῦ βουλευτηρίου πλῆρες τῶν φρουρῶν, καὶ οὐκ ἀγνοοῦντες ὅτι ἐγχειρίδια
56 ἔχοντες παρῆσαν. οἱ δ' ἀπήγαγον τὸν ἄνδρα διὰ τῆς ἀγορᾶς μάλα μεγάλῃ τῇ φωνῇ δηλοῦντα οἷα ἔπασχε. λέγεται δ' ἓν ῥῆμα καὶ τοῦτο αὐτοῦ. ὡς εἶπεν ὁ Σάτυρος ὅτι οἰμώξοιτο, εἰ μὴ σιωπήσειεν, ἐπήρετο, Ἂν δὲ σιωπῶ, οὐκ ἄρ', ἔφη, οἰμώξομαι; καὶ ἐπεί γε ἀποθνήσκειν ἀναγκαζόμενος τὸ κώνειον ἔπιε, τὸ λειπόμενον ἔφασαν ἀποκοτταβίσαντα εἰπεῖν αὐτόν, Κριτίᾳ τοῦτ' ἔστω τῷ καλῷ. καὶ τοῦτο μὲν οὐκ ἀγνοῶ, ὅτι ταῦτα ἀποφθέγματα οὐκ ἀξιόλογα, ἐκεῖνο δὲ κρίνω τοῦ ἀνδρὸς ἀγαστόν, τὸ τοῦ θανάτου παρεστηκότος μήτε τὸ φρόνιμον μήτε τὸ παιγνιῶδες ἀπολιπεῖν ἐκ τῆς ψυχῆς. |

IV. Θηραμένης μὲν δὴ οὕτως ἀπέθανεν· οἱ δὲ τριάκοντα, ὡς ἐξὸν ἤδη αὐτοῖς τυραννεῖν ἀδεῶς, προεῖπον μὲν τοῖς ἔξω τοῦ καταλόγου μὴ εἰσιέναι εἰς τὸ ἄστυ, ἦγον δὲ ἐκ τῶν χωρίων, ἵν' αὐτοὶ καὶ οἱ φίλοι τοὺς τούτων ἀγροὺς ἔχοιεν. φευγόντων δὲ εἰς τὸν Πειραιᾶ καὶ ἐντεῦθεν πολλοὺς ἄγοντες ἐνέπλησαν καὶ τὰ Μέγαρα καὶ τὰς Θήβας τῶν ὑποχωρούντων.

2 Ἐκ δὲ τούτου Θρασύβουλος ὁρμηθεὶς ἐκ Θηβῶν ὡς σὺν ἑβδομήκοντα Φυλὴν χωρίον καταλαμβάνει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰσχυρόν. οἱ δὲ τριάκοντα ἐβοήθουν ἐκ τοῦ ἄστεως σύν
τε τοῖς τρισχιλίοις καὶ σὺν τοῖς ἱππεῦσι καὶ μάλ' εὐημε-
ρίας οὔσης. ἐπεὶ δὲ ἀφίκοντο, εὐθὺς μὲν θρασυνόμε-
νοί τινες τῶν νέων προσέβαλον πρὸς τὸ χωρίον, καὶ
ἐποίησαν μὲν οὐδέν, τραύματα δὲ λαβόντες ἀπῆλθον.
βουλομένων δὲ τῶν τριάκοντα ἀποτειχίζειν, ὅπως ἐκ- 3
πολιορκήσειαν αὐτοὺς ἀποκλείσαντες τὰς ἐφόδους τῶν
ἐπιτηδείων, ἐπιγίγνεται τῆς νυκτὸς χιὼν παμπληθὴς
καὶ τῇ ὑστεραίᾳ. οἱ δὲ νιφόμενοι ἀπῆλθον εἰς τὸ ἄστυ,
μάλα συχνοὺς τῶν σκευοφόρων ὑπὸ τῶν ἐκ Φυλῆς
ἀποβαλόντες. γιγνώσκοντες δὲ ὅτι καὶ ἐκ τῶν ἀγρῶν 4
λεηλατήσοιεν, εἰ μή τις φυλακὴ ἔσοιτο, διαπέμπουσιν
εἰς τὰς ἐσχατιὰς ὅσον πεντεκαίδεκα στάδια ἀπὸ Φυλῆς
τούς τε Λακωνικοὺς πλὴν ὀλίγων φρουροὺς καὶ τῶν
ἱππέων δύο φυλάς. | οὗτοι δὲ στρατοπεδευσάμενοι ἐν
χωρίῳ λασίῳ ἐφύλαττον. ὁ δὲ Θρασύβουλος, ἤδη συν- 5
ειλεγμένων εἰς τὴν Φυλὴν περὶ ἑπτακοσίους, λαβὼν
αὐτοὺς καταβαίνει τῆς νυκτός· θέμενος δὲ τὰ ὅπλα
ὅσον τρία ἢ τέτταρα στάδια ἀπὸ τῶν φρουρῶν ἡσυ-
χίαν εἶχεν. ἐπεὶ δὲ πρὸς ἡμέραν ἐγίγνετο, καὶ ἤδη ἀνί- 6
σταντο ὅποι ἐδεῖτο ἕκαστος ἀπὸ τῶν ὅπλων, καὶ οἱ ἱπ-
ποκόμοι ψήχοντες τοὺς ἵππους ψόφον ἐποίουν, ἐν τού-
τῳ ἀναλαβόντες οἱ περὶ Θρασύβουλον τὰ ὅπλα δρόμῳ
προσέπιπτον· καὶ ἔστι μὲν οὓς αὐτῶν κατέβαλον, πάν-
τας δὲ τρεψάμενοι ἐδίωξαν ἓξ ἢ ἑπτὰ στάδια, καὶ ἀπέ-
κτειναν τῶν μὲν ὁπλιτῶν πλέον ἢ εἴκοσι καὶ ἑκατόν,
τῶν δὲ ἱππέων Νικόστρατόν τε τὸν καλὸν ἐπικαλού-
μενον, καὶ ἄλλους δὲ δύο, ἔτι καταλαβόντες ἐν ταῖς
εὐναῖς. | ἐπαναχωρήσαντες δὲ καὶ τρόπαιον στησάμε- 7
νοι καὶ συσκευασάμενοι ὅπλα τε ὅσα ἔλαβον καὶ σκεύη
ἀπῆλθον ἐπὶ Φυλῆς. οἱ δὲ ἐξ ἄστεως ἱππεῖς βοηθήσαν-
τες τῶν μὲν πολεμίων οὐδένα ἔτι εἶδον, προσμείναντες

δὲ ἕως τοὺς νεκροὺς ἀνείλοντο οἱ προσήκοντες ἀνεχώ-
8 ρησαν εἰς ἄστυ. ἐκ δὲ τούτου οἱ τριάκοντα, οὐκέτι νο-
μίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν
Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγήν,
εἰ δεήσειε. καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν ἦλθον
εἰς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τριάκοντα·
ἐξέτασίν τε ποιήσαντες ἐν τοῖς ἱππεῦσι, φάσκοντες εἰ-
δέναι βούλεσθαι πόσοι εἶεν καὶ πόσης φυλακῆς προσ-
δεήσοιντο, ἐκέλευον ἀπογράφεσθαι πάντας· τὸν δὲ
ἀπογραψάμενον ἀεὶ διὰ τῆς πυλίδος ἐπὶ τὴν θάλατταν
ἐξιέναι. ἐπὶ δὲ τῷ αἰγιαλῷ τοὺς μὲν ἱππέας ἔνθεν καὶ
ἔνθεν κατέστησαν, τὸν δ᾽ ἐξιόντα ἀεὶ οἱ ὑπηρέται συν-
έδουν. ἐπεὶ δὲ πάντες συνειλημμένοι ἦσαν, Λυσίμα-
χον τὸν ἵππαρχον ἐκέλευον ἀναγαγόντα παραδοῦναι
9 αὐτοὺς τοῖς ἕνδεκα. τῇ δ᾽ ὑστεραίᾳ εἰς τὸ Ὠιδεῖον παρ-
εκάλεσαν τοὺς ἐν τῷ καταλόγῳ ὁπλίτας καὶ τοὺς ἄλ-
λους ἱππέας. ἀναστὰς δὲ Κριτίας ἔλεξεν, Ἡμεῖς, ἔφη,
ὦ ἄνδρες, οὐδὲν ἧττον ὑμῖν κατασκευάζομεν τὴν πο-
λιτείαν ἢ ἡμῖν αὐτοῖς. δεῖ οὖν ὑμᾶς, ὥσπερ καὶ τιμῶν
μεθέξετε, οὕτω καὶ τῶν κινδύνων μετέχειν. τῶν οὖν
συνειλημμένων Ἐλευσινίων καταψηφιστέον ἐστίν, ἵνα
ταὐτὰ ἡμῖν καὶ θαρρῆτε καὶ φοβῆσθε. δείξας δέ τι χω-
ρίον, εἰς τοῦτο ἐκέλευε φανερὰν φέρειν τὴν ψῆφον.
10 οἱ δὲ Λακωνικοὶ φρουροὶ ἐν τῷ ἡμίσει τοῦ Ὠιδείου
ἐξωπλισμένοι ἦσαν· ἦν δὲ ταῦτα ἀρεστὰ καὶ τῶν πολι-
τῶν οἷς τὸ πλεονεκτεῖν μόνον ἔμελεν.

Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυ-
λῆς περὶ χιλίους ἤδη συνειλεγμένους, ἀφικνεῖται τῆς
νυκτὸς εἰς τὸν Πειραιᾶ. οἱ δὲ τριάκοντα ἐπεὶ ᾔσθοντο
ταῦτα, εὐθὺς ἐβοήθουν σύν τε τοῖς Λακωνικοῖς καὶ
σὺν τοῖς ἱππεῦσι καὶ τοῖς ὁπλίταις· ἔπειτα ἐχώρουν κα-
11 τὰ τὴν εἰς τὸν Πειραιᾶ ἁμαξιτὸν ἀναφέρουσαν. οἱ δὲ

ἀπὸ Φυλῆς ἔτι μὲν ἐπεχείρησαν μὴ ἀνιέναι αὐτούς.
ἐπεὶ δὲ μέγας ὁ κύκλος ὢν πολλῆς φυλακῆς ἐδόκει δεῖ-
σθαι οὔπω πολλοῖς οὖσι, συνεσπειράθησαν ἐπὶ τὴν
Μουνυχίαν. οἱ δ' ἐκ τοῦ ἄστεως εἰς τὴν Ἱπποδάμειον
ἀγορὰν ἐλθόντες πρῶτον μὲν συνετάξαντο, ὥστε ἐμ-
πλῆσαι τὴν ὁδὸν ἣ φέρει πρός τε τὸ ἱερὸν τῆς Μουνυ-
χίας Ἀρτέμιδος καὶ τὸ Βενδίδειον· καὶ ἐγένοντο βάθος
οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων. οὕτω δὲ συν-
τεταγμένοι ἐχώρουν ἄνω. οἱ δὲ ἀπὸ Φυλῆς ἀντενέπλη- 12
σαν μὲν τὴν ὁδόν, βάθος δὲ οὐ πλέον ἢ εἰς δέκα ὁπλί-
τας ἐγένοντο. ἐτάχθησαν μέντοι ἐπ' αὐτοῖς πελτοφόροι
τε καὶ ψιλοὶ ἀκοντισταί, ἐπὶ δὲ τούτοις οἱ πετροβόλοι.
οὗτοι μέντοι συχνοὶ ἦσαν· καὶ γὰρ αὐτόθεν προσεγέ-
νοντο. ἐν ᾧ δὲ προσῇσαν οἱ ἐναντίοι, Θρασύβουλος
τοὺς μεθ' αὐτοῦ θέσθαι κελεύσας τὰς ἀσπίδας καὶ αὐ-
τὸς θέμενος, τὰ δ' ἄλλα ὅπλα ἔχων, κατὰ μέσον στὰς
ἔλεξεν, Ἄνδρες πολῖται, τοὺς μὲν διδάξαι, τοὺς δὲ 13
ἀναμνῆσαι ὑμῶν βούλομαι ὅτι εἰσὶ τῶν προσιόντων οἱ
μὲν τὸ δεξιὸν ἔχοντες οὓς ὑμεῖς ἡμέραν πέμπτην τρε-
ψάμενοι ἐδιώξατε, οἱ δ' ἐπὶ τοῦ εὐωνύμου ἔσχατοι, οὗ-
τοι δὴ οἱ τριάκοντα, οἳ ἡμᾶς καὶ πόλεως ἀπεστέρουν
οὐδὲν ἀδικοῦντας καὶ οἰκιῶν ἐξήλαυνον καὶ τοὺς φιλ-
τάτους τῶν ἡμετέρων ἀπεσημαίνοντο. ἀλλὰ νῦν τοι
παραγεγένηνται οὗ οὗτοι μὲν οὔποτε ᾤοντο, ἡμεῖς δὲ
ἀεὶ ηὐχόμεθα. ἔχοντες γὰρ ὅπλα ἐναντίοι μὲν αὐτοῖς 14
καθέσταμεν· οἱ δὲ θεοί, ὅτι ποτὲ καὶ δειπνοῦντες συνε-
λαμβανόμεθα καὶ καθεύδοντες καὶ ἀγοράζοντες, οἱ δὲ
καὶ οὐχ ὅπως ἀδικοῦντες, ἀλλ' οὐδ' ἐπιδημοῦντες ἐφυ-
γαδευόμεθα, νῦν φανερῶς ἡμῖν συμμαχοῦσι. καὶ γὰρ
ἐν εὐδίᾳ χειμῶνα ποιοῦσιν, ὅταν ἡμῖν συμφέρῃ, καὶ
ὅταν ἐγχειρῶμεν, πολλῶν ὄντων ἐναντίων ὀλίγοις οὖσι
τρόπαια ἵστασθαι διδόασι· καὶ νῦν δὲ κεκομίκασιν 15

ἡμᾶς εἰς χωρίον ἐν ᾧ οὗτοι μὲν οὔτε βάλλειν οὔτε
ἀκοντίζειν ὑπὲρ τῶν προτεταγμένων διὰ τὸ πρὸς ὄρ-
θιον ἰέναι δύναιντ' ἄν, ἡμεῖς δὲ εἰς τὸ κάταντες καὶ
δόρατα ἀφιέντες καὶ ἀκόντια καὶ πέτρους ἐξιξόμεθά τε
16 αὐτῶν καὶ πολλοὺς κατατρώσομεν. καὶ ᾤετο μὲν ἄν
τις δεήσειν τοῖς γε πρωτοστάταις ἐκ τοῦ ἴσου μάχε-
σθαι· νῦν δ', ἐὰν ὑμεῖς, ὥσπερ προσήκει, προθύμως
ἀφιῆτε τὰ βέλη, ἁμαρτήσεται μὲν οὐδεὶς ὧν γε μεστὴ
ἡ ὁδός, φυλαττόμενοι δὲ δραπετεύσουσιν ἀεὶ ὑπὸ ταῖς
ἀσπίσιν· ὥστε ἐξέσται ὥσπερ τυφλοὺς καὶ τύπτειν
ὅπου ἂν βουλώμεθα καὶ ἐναλλομένους ἀνατρέπειν.
17 ἀλλ', ὦ ἄνδρες, οὕτω χρὴ ποιεῖν ὅπως ἕκαστός τις ἑαυ-
τῷ συνείσεται τῆς νίκης αἰτιώτατος ὤν. αὕτη γὰρ ἡμῖν,
ἂν θεὸς θέλῃ, νῦν ἀποδώσει καὶ πατρίδα καὶ οἴκους
καὶ ἐλευθερίαν καὶ τιμὰς καὶ παῖδας, οἷς εἰσί, καὶ γυ-
ναῖκας. ὦ μακάριοι δῆτα, οἳ ἂν ἡμῶν νικήσαντες ἐπί-
δωσι τὴν πασῶν ἡδίστην ἡμέραν. εὐδαίμων δὲ καὶ ἄν
τις ἀποθάνῃ· μνημείου γὰρ οὐδεὶς οὕτω πλούσιος ὢν
καλοῦ τεύξεται. ἐξάρξω μὲν οὖν ἐγὼ ἡνίκ' ἂν καιρὸς
ᾖ παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν, τότε
πάντες ὁμοθυμαδὸν ἀνθ' ὧν ὑβρίσθημεν τιμωρώμεθα
τοὺς ἄνδρας.

18 Ταῦτα δ' εἰπὼν καὶ μεταστραφεὶς πρὸς τοὺς ἐναν-
τίους, ἡσυχίαν εἶχε· καὶ γὰρ ὁ μάντις παρήγγελλεν αὐ-
τοῖς μὴ πρότερον ἐπιτίθεσθαι, πρὶν τῶν σφετέρων ἢ
πέσοι τις ἢ τρωθείη· ἐπειδὰν μέντοι τοῦτο γένηται,
ἡγησόμεθα μέν, ἔφη, ἡμεῖς, νίκη δὲ ὑμῖν ἔσται ἑπο-
19 μένοις, ἐμοὶ μέντοι θάνατος, ὥς γ' ἐμοὶ δοκεῖ. καὶ
οὐκ ἐψεύσατο, ἀλλ' ἐπεὶ ἀνέλαβον τὰ ὅπλα, αὐτὸς μὲν
ὥσπερ ὑπὸ μοίρας τινὸς ἀγόμενος ἐκπηδήσας πρῶτος
ἐμπεσὼν τοῖς πολεμίοις ἀποθνήσκει, καὶ τέθαπται ἐν
τῇ διαβάσει τοῦ Κηφισοῦ· οἱ δ' ἄλλοι ἐνίκων καὶ κατ-

ἐδίωξαν μέχρι τοῦ ὁμαλοῦ. ἀπέθανον δ' ἐνταῦθα τῶν
μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος, τῶν δὲ ἐν
Πειραιεῖ δέκα ἀρχόντων Χαρμίδης ὁ Γλαύκωνος, τῶν
δ' ἄλλων περὶ ἑβδομήκοντα. καὶ τὰ μὲν ὅπλα ἔλαβον,
τοὺς δὲ χιτῶνας οὐδενὸς τῶν πολιτῶν ἐσκύλευσαν.
ἐπεὶ δὲ τοῦτο ἐγένετο καὶ τοὺς νεκροὺς ὑποσπόνδους
ἀπεδίδοσαν, προσιόντες ἀλλήλοις πολλοὶ διελέγοντο.
Κλεόκριτος δὲ ὁ τῶν μυστῶν κῆρυξ, μάλ' εὔφωνος ὤν, 20
κατασιωπησάμενος ἔλεξεν, Ἄνδρες πολῖται, τί ἡμᾶς
ἐξελαύνετε; τί ἀποκτεῖναι βούλεσθε; ἡμεῖς γὰρ ὑμᾶς
κακὸν μὲν οὐδὲν πώποτε ἐποιήσαμεν, μετεσχήκαμεν δὲ
ὑμῖν καὶ ἱερῶν τῶν σεμνοτάτων καὶ θυσιῶν καὶ ἑορτῶν
τῶν καλλίστων, καὶ συγχορευταὶ καὶ συμφοιτηταὶ γεγε-
νήμεθα καὶ συστρατιῶται, καὶ πολλὰ μεθ' ὑμῶν κεκιν-
δυνεύκαμεν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ὑπὲρ τῆς
κοινῆς ἀμφοτέρων ἡμῶν σωτηρίας τε καὶ ἐλευθερίας.
πρὸς θεῶν πατρῴων καὶ μητρῴων καὶ συγγενείας καὶ 21
κηδεστίας καὶ ἑταιρίας, πάντων γὰρ τούτων πολλοὶ
κοινωνοῦμεν ἀλλήλοις, αἰδούμενοι καὶ θεοὺς καὶ ἀν-
θρώπους παύσασθε ἁμαρτάνοντες εἰς τὴν πατρίδα, καὶ
μὴ πείθεσθε τοῖς ἀνοσιωτάτοις τριάκοντα, οἳ ἰδίων
κερδέων ἕνεκα ὀλίγου δεῖν πλείους ἀπεκτόνασιν Ἀθη-
ναίων ἐν ὀκτὼ μησὶν ἢ πάντες Πελοποννήσιοι δέκα
ἔτη πολεμοῦντες. ἐξὸν δ' ἡμῖν ἐν εἰρήνῃ πολιτεύεσθαι, 22
οὗτοι τὸν πάντων αἴσχιστόν τε καὶ χαλεπώτατον καὶ
ἀνοσιώτατον καὶ ἔχθιστον καὶ θεοῖς καὶ ἀνθρώποις
πόλεμον ἡμῖν πρὸς ἀλλήλους παρέχουσιν. ἀλλ' εὖ γε
μέντοι ἐπίστασθε ὅτι καὶ τῶν νῦν ὑφ' ἡμῶν ἀποθα-
νόντων οὐ μόνον ὑμεῖς ἀλλὰ καὶ ἡμεῖς ἔστιν οὓς πολλὰ
κατεδακρύσαμεν.

Ὁ μὲν τοιαῦτα ἔλεγεν· οἱ δὲ λοιποὶ ἄρχοντες καὶ
διὰ τὸ τοιαῦτα προσακούειν τοὺς μεθ' αὑτῶν ἀπήγα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

23 γον εἰς τὸ ἄστυ. τῇ δ' ὑστεραίᾳ οἱ μὲν τριάκοντα πάνυ
δὴ ταπεινοὶ καὶ ἔρημοι συνεκάθηντο ἐν τῷ συνεδρίῳ·
τῶν δὲ τρισχιλίων ὅπου ἕκαστοι τεταγμένοι ἦσαν, παν-
ταχοῦ διεφέροντο πρὸς ἀλλήλους. ὅσοι μὲν γὰρ ἐπε-
ποιήκεσάν τι βιαιότερον καὶ ἐφοβοῦντο, ἐντόνως ἔλε-
γον ὡς οὐ χρείη καθυφίεσθαι τοῖς ἐν Πειραιεῖ· ὅσοι δὲ
ἐπίστευον μηδὲν ἠδικηκέναι, αὐτοί τε ἀνελογίζοντο
καὶ τοὺς ἄλλους ἐδίδασκον ὡς οὐδὲν δέοιντο τούτων
τῶν κακῶν, καὶ τοῖς τριάκοντα οὐκ ἔφασαν χρῆναι πεί-
θεσθαι οὐδ' ἐπιτρέπειν ἀπολλύναι τὴν πόλιν. καὶ τὸ
τελευταῖον ἐψηφίσαντο ἐκείνους μὲν καταπαῦσαι, ἄλ-
24 λους δὲ ἑλέσθαι. καὶ εἵλοντο δέκα, ἕνα ἀπὸ φυλῆς.
B.C. 403. Καὶ οἱ μὲν τριάκοντα Ἐλευσινάδε ἀπῆλθον· οἱ δὲ
δέκα τῶν ἐν ἄστει καὶ μάλα τεταραγμένων καὶ ἀπι-
στούντων ἀλλήλοις σὺν τοῖς ἱππάρχοις ἐπεμέλοντο. ἐξε-
κάθευδον δὲ καὶ οἱ ἱππεῖς ἐν τῷ Ὠιδείῳ, τούς τε ἵπ-
πους καὶ τὰς ἀσπίδας ἔχοντες, καὶ δι' ἀπιστίαν ἐφώ-
δευον τὸ μὲν ἀφ' ἑσπέρας σὺν ταῖς ἀσπίσι κατὰ τὰ τεί-
χη, τὸ δὲ πρὸς ὄρθρον σὺν τοῖς ἵπποις, ἀεὶ φοβούμενοι
25 μὴ ἐπεισπέσοιέν τινες αὐτοῖς τῶν ἐκ τοῦ Πειραιῶς. οἱ
δὲ πολλοί τε ἤδη ὄντες καὶ παντοδαποί, ὅπλα ἐποι-
οῦντο, οἱ μὲν ξύλινα, οἱ δὲ οἰσύινα, καὶ ταῦτα ἐλευ-
κοῦντο. πρὶν δὲ ἡμέρας δέκα γενέσθαι, πιστὰ δόντες,
οἵτινες συμπολεμήσειαν, καὶ εἰ ξένοι εἶεν, ἰσοτέλειαν
ἔσεσθαι, ἐξῆσαν πολλοὶ μὲν ὁπλῖται, πολλοὶ δὲ γυμνῆ-
τες· ἐγένοντο δὲ αὐτοῖς καὶ ἱππεῖς ὡς εἰ ἑβδομήκοντα
προνομὰς δὲ ποιούμενοι, καὶ λαμβάνοντες ξύλα καὶ
26 ὀπώραν, ἐκάθευδον πάλιν ἐν Πειραιεῖ. τῶν δ' ἐκ τοῦ
ἄστεως ἄλλος μὲν οὐδεὶς σὺν ὅπλοις ἐξῄει, οἱ δὲ ἱππεῖς
ἔστιν ὅτε καὶ λῃστὰς ἐχειροῦντο τῶν ἐκ τοῦ Πειραιῶς,
καὶ τὴν φάλαγγα αὐτῶν ἐκακούργουν. περιέτυχον δὲ
καὶ τῶν Αἰξωνέων τισὶν εἰς τοὺς αὑτῶν ἀγροὺς ἐπὶ τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπιτήδεια πορευομένοις· καὶ τούτους Λυσίμαχος ὁ ἵπ-
παρχος ἀπέσφαξε, πολλὰ λιτανεύοντας καὶ πολλῶν
χαλεπῶς φερόντων ἱππέων. ἀνταπέκτειναν δὲ καὶ οἱ 27
ἐν Πειραιεῖ τῶν ἱππέων ἐπ' ἀγροῦ λαβόντες Καλλί-
στρατον φυλῆς Λεοντίδος. καὶ γὰρ ἤδη μέγα ἐφρό-
νουν, ὥστε καὶ πρὸς τὸ τεῖχος τοῦ ἄστεως προσέβαλλον.
εἰ δὲ καὶ τοῦτο δεῖ εἰπεῖν τοῦ μηχανοποιοῦ τοῦ ἐν τῷ
ἄστει, ὃς ἐπεὶ ἔγνω ὅτι κατὰ τὸν ἐκ Λυκείου δρόμον
μέλλοιεν τὰς μηχανὰς προσάγειν, τὰ ζεύγη ἐκέλευσε
πάντα ἁμαξιαίους λίθους ἄγειν καὶ καταβάλλειν ὅπου
ἕκαστος βούλοιτο τοῦ δρόμου. ὡς δὲ τοῦτο ἐγένετο,
πολλὰ εἷς ἕκαστος τῶν λίθων πράγματα παρεῖχε. πεμ- 28
πόντων δὲ πρέσβεις εἰς Λακεδαίμονα τῶν μὲν τριά-
κοντα ἐξ Ἐλευσῖνος, τῶν δ' ἐν τῷ καταλόγῳ ἐξ ἄστεως,
καὶ βοηθεῖν κελευόντων, ὡς ἀφεστηκότος τοῦ δήμου
ἀπὸ Λακεδαιμονίων, Λύσανδρος λογισάμενος ὅτι οἷόν
τε εἴη ταχὺ ἐκπολιορκῆσαι τοὺς ἐν τῷ Πειραιεῖ κατά τε
γῆν καὶ κατὰ θάλατταν, εἰ τῶν ἐπιτηδείων ἀποκλει-
σθείησαν, συνέπραξεν ἑκατόν τε τάλαντα αὐτοῖς δα-
νεισθῆναι, καὶ αὐτὸν μὲν κατὰ γῆν ἁρμοστήν, Λίβυν
δὲ τὸν ἀδελφὸν ναυαρχοῦντα ἐκπεμφθῆναι. καὶ ἐξελ- 29
θὼν αὐτὸς μὲν Ἐλευσινάδε συνέλεγεν ὁπλίτας πολ-
λοὺς Πελοποννησίους· ὁ δὲ ναύαρχος κατὰ θάλατταν
ἐφύλαττεν ὅπως μηδὲν εἰσπλέοι αὐτοῖς τῶν ἐπιτη-
δείων· ὥστε ταχὺ πάλιν ἐν ἀπορίᾳ ἦσαν οἱ ἐν Πει-
ραιεῖ, οἱ δ' ἐν τῷ ἄστει πάλιν αὖ μέγα ἐφρόνουν ἐπὶ
τῷ Λυσάνδρῳ. οὕτω δὲ προχωρούντων Παυσανίας ὁ
βασιλεὺς φθονήσας Λυσάνδρῳ, εἰ κατειργασμένος
ταῦτα ἅμα μὲν εὐδοκιμήσοι, ἅμα δὲ ἰδίας ποιήσοιτο
τὰς Ἀθήνας, πείσας τῶν ἐφόρων τρεῖς ἐξάγει φρου-
ράν. συνείποντο δὲ καὶ οἱ σύμμαχοι πάντες πλὴν Βοι- 30

μίζοιεν εὐορκεῖν ἂν στρατευόμενοι ἐπ' Ἀθηναίους μη-
δὲν παράσπονδον ποιοῦντας· ἔπραττον δὲ ταῦτα, ὅτι
ἐγίγνωσκον Λακεδαιμονίους βουλομένους τὴν τῶν
Ἀθηναίων χώραν οἰκείαν καὶ πιστὴν ποιήσασθαι. ὁ δὲ
Παυσανίας ἐστρατοπεδεύσατο μὲν ἐν τῷ Ἁλιπέδῳ κα-
λουμένῳ πρὸς τῷ Πειραιεῖ δεξιὸν ἔχων κέρας, Λύσαν-
31 δρος δὲ σὺν τοῖς μισθοφόροις τὸ εὐώνυμον. πέμπων
δὲ πρέσβεις (ὁ) Παυσανίας πρὸς τοὺς ἐν Πειραιεῖ ἐκέ-
λευεν ἀπιέναι ἐπὶ τὰ ἑαυτῶν· ἐπεὶ δ' οὐκ ἐπείθοντο,
προσέβαλλεν ὅσον ἀπὸ βοῆς ἕνεκεν, ὅπως μὴ δῆλος εἴη
εὐμενὴς αὐτοῖς ὤν. ἐπεὶ δ' οὐδὲν ἀπὸ τῆς προσβολῆς
πράξας ἀπῆλθε, τῇ ὑστεραίᾳ λαβὼν τῶν μὲν Λακεδαι-
μονίων δύο μόρας, τῶν δὲ Ἀθηναίων ἱππέων τρεῖς
φυλάς, παρῆλθεν ἐπὶ τὸν κωφὸν λιμένα, σκοπῶν πῇ
32 εὐαποτειχιστότατος εἴη ὁ Πειραιεύς. ἐπεὶ δὲ ἀπιόντος
αὐτοῦ προσέθεόν τινες καὶ πράγματα αὐτῷ παρεῖχον,
ἀχθεσθεὶς παρήγγειλε τοὺς μὲν ἱππέας ἐλᾶν εἰς αὐτοὺς
ἀνέντας, καὶ τὰ δέκα ἀφ' ἥβης συνέπεσθαι· σὺν δὲ τοῖς
ἄλλοις αὐτὸς ἐπηκολούθει. καὶ ἀπέκτειναν μὲν ἐγγὺς
τριάκοντα τῶν ψιλῶν, τοὺς δ' ἄλλους κατεδίωξαν πρὸς
33 τὸ Πειραιοῖ θέατρον. ἐκεῖ δὲ ἔτυχον ἐξοπλιζόμενοι οἵ
τε πελτασταὶ πάντες καὶ οἱ ὁπλῖται τῶν ἐκ Πειραιῶς.
καὶ οἱ μὲν ψιλοὶ εὐθὺς ἐκδραμόντες ἠκόντιζον, ἔβαλ-
λον, ἐτόξευον, ἐσφενδόνων· οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ
αὐτῶν πολλοὶ ἐτιτρώσκοντο, μάλα πιεζόμενοι ἀνεχώ-
ρουν ἐπὶ πόδα· οἱ δ' ἐν τούτῳ πολὺ μᾶλλον ἐπέκειντο.
ἐνταῦθα καὶ ἀποθνήσκει Χαίρων τε καὶ Θίβραχος, ἄμ-
φω πολεμάρχω, καὶ Λακράτης ὁ ὀλυμπιονίκης καὶ ἄλλοι
οἱ τεθαμμένοι Λακεδαιμονίων πρὸ τῶν πυλῶν ἐν Κε-
34 ραμεικῷ. ὁρῶν δὲ ταῦτα ὁ Θρασύβουλος καὶ οἱ ἄλλοι
ὁπλῖται, ἐβοήθουν, καὶ ταχὺ παρετάξαντο πρὸ τῶν
ἄλλων ἐπ' ὀκτώ. ὁ δὲ Παυσανίας μάλα πιεσθεὶς καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναχωρήσας ὅσον στάδια τέτταρα ἢ πέντε πρὸς λόφον
τινά, παρήγγειλε τοῖς Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις
συμμάχοις ἐπιχωρεῖν πρὸς ἑαυτόν. ἐκεῖ δὲ συνταξάμε-
νος παντελῶς βαθεῖαν τὴν φάλαγγα ἦγεν ἐπὶ τοὺς
Ἀθηναίους. οἱ δ' εἰς χεῖρας μὲν ἐδέξαντο, ἔπειτα δὲ οἱ
μὲν ἐξεώσθησαν εἰς τὸν ἐν ταῖς Ἁλαῖς πηλόν, οἱ δὲ ἐνέ-
κλιναν· καὶ ἀποθνήσκουσιν αὐτῶν ὡς πεντήκοντα
καὶ ἑκατόν. ὁ δὲ Παυσανίας τρόπαιον στησάμενος ἀνε- 35
χώρησε· καὶ οὐδ' ὣς ὠργίζετο αὐτοῖς, ἀλλὰ λάθρᾳ
πέμπων ἐδίδασκε τοὺς ἐν Πειραιεῖ οἷα χρὴ λέγοντας
πρέσβεις πέμπειν πρὸς ἑαυτὸν καὶ τοὺς παρόντας ἐφό-
ρους. οἱ δ' ἐπείθοντο. διίστη δὲ καὶ τοὺς ἐν τῷ ἄστει,
καὶ ἐκέλευε πρὸς σφᾶς προσιέναι ὡς πλείστους συλλε-
γομένους, λέγοντας ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πει-
ραιεῖ πολεμεῖν, ἀλλὰ διαλυθέντες κοινῇ ἀμφότεροι
Λακεδαιμονίοις φίλοι εἶναι. ἡδέως δὲ ταῦτα καὶ Ναυ- 36
κλείδας ἔφορος ὢν συνήκουεν· ὥσπερ γὰρ νομίζεται
σὺν βασιλεῖ δύο τῶν ἐφόρων συστρατεύεσθαι, καὶ τότε
παρῆν οὗτός τε καὶ ἄλλος, ἀμφότεροι τῆς μετὰ Παυ-
σανίου γνώμης ὄντες μᾶλλον ἢ τῆς μετὰ Λυσάνδρου.
διὰ ταῦτα οὖν καὶ εἰς τὴν Λακεδαίμονα προθύμως
ἔπεμπον τούς τ' ἐκ τοῦ Πειραιῶς ἔχοντας τὰς πρὸς
Λακεδαιμονίους σπονδὰς καὶ τοὺς ἀπὸ τῶν ἐν τῷ ἄστει
ἰδιώτας, Κηφισοφῶντά τε καὶ Μέλητον. ἐπεὶ μέντοι 37
οὗτοι ᾤχοντο εἰς Λακεδαίμονα, ἔπεμπον δὴ καὶ οἱ ἀπὸ
τοῦ κοινοῦ ἐκ τοῦ ἄστεως λέγοντας ὅτι αὐτοὶ μὲν παρα-
διδόασι καὶ τὰ τείχη ἃ ἔχουσι καὶ σφᾶς αὐτοὺς Λακε-
δαιμονίοις χρῆσθαι ὅ,τι βούλονται· ἀξιοῦν δ' ἔφασαν
καὶ τοὺς ἐν Πειραιεῖ, εἰ φίλοι φασὶν εἶναι Λακεδαιμο-
νίοις, παραδιδόναι τόν τε Πειραιᾶ καὶ τὴν Μουνυχίαν.
ἀκούσαντες δὲ πάντων αὐτῶν οἱ ἔφοροι καὶ οἱ ἔκκλη- 38
τοι, ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας εἰς τὰς Ἀθήνας,

καὶ ἐπέταξαν σὺν Παυσανίᾳ διαλλάξαι ὅπῃ δύναιντο
κάλλιστα. οἱ δὲ διήλλαξαν ἐφ' ᾧτε εἰρήνην μὲν ἔχειν
πρὸς ἀλλήλους, ἀπιέναι δὲ ἐπὶ τὰ ἑαυτῶν ἑκάστους
πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα καὶ τῶν ἐν τῷ
Πειραιεῖ ἀρξάντων δέκα. εἰ δέ τινες φοβοῖντο τῶν ἐξ
39 ἄστεως, ἔδοξεν αὐτοῖς Ἐλευσῖνα κατοικεῖν. τούτων δὲ
περανθέντων Παυσανίας μὲν διῆκε τὸ στράτευμα, οἱ
δὲ ἐκ τοῦ Πειραιῶς ἀνελθόντες σὺν τοῖς ὅπλοις εἰς τὴν
ἀκρόπολιν ἔθυσαν τῇ Ἀθηνᾷ. ἐπεὶ δὲ κατέβησαν * οἱ
40 στρατηγοί. ἔνθα δὴ ὁ Θρασύβουλος ἔλεξεν, Ὑμῖν,
ἔφη, ὦ ἐκ τοῦ ἄστεως ἄνδρες, συμβουλεύω ἐγὼ γνῶ-
ναι ὑμᾶς αὐτούς. μάλιστα δ' ἂν γνοίητε, εἰ ἀναλογί-
σαισθε ἐπὶ τίνι ὑμῖν μέγα φρονητέον ἐστίν, ὥστε ἡμῶν
ἄρχειν ἐπιχειρεῖν. πότερον δικαιότεροί ἐστε; ἀλλ' ὁ
μὲν δῆμος πενέστερος ὑμῶν ὢν οὐδὲν πώποτε ἕνεκα
χρημάτων ὑμᾶς ἠδίκηκεν· ὑμεῖς δὲ πλουσιώτεροι πάν-
των ὄντες πολλὰ καὶ αἰσχρὰ ἕνεκα κερδέων πεποιή-
κατε. ἐπεὶ δὲ δικαιοσύνης οὐδὲν ὑμῖν προσήκει, σκέ-
41 ψασθε εἰ ἄρα ἐπ' ἀνδρείᾳ ὑμῖν μέγα φρονητέον. καὶ
τίς ἂν καλλίων κρίσις τούτου γένοιτο ἢ ὡς ἐπολεμήσα-
μεν πρὸς ἀλλήλους; ἀλλὰ γνώμῃ φαίητ' ἂν προέχειν,
οἳ ἔχοντες καὶ τεῖχος καὶ ὅπλα καὶ χρήματα καὶ συμμά-
χους Πελοποννησίους ὑπὸ τῶν οὐδὲν τούτων ἐχόντων
παραλέλυσθε; ἀλλ' ἐπὶ Λακεδαιμονίοις δὴ οἴεσθε μέγα
φρονητέον εἶναι; πῶς, οἵγε ὥσπερ τοὺς δάκνοντας κύ-
νας κλοιῷ δήσαντες παραδιδόασιν, οὕτω κἀκεῖνοι
ὑμᾶς παραδόντες τῷ ἠδικημένῳ τούτῳ δήμῳ οἴχονται
42 ἀπιόντες; οὐ μέντοι γε ὑμᾶς, ὦ ἄνδρες, ἀξιῶ ἐγὼ ὧν
ὀμωμόκατε παραβῆναι οὐδέν, ἀλλὰ καὶ τοῦτο πρὸς
τοῖς ἄλλοις καλοῖς ἐπιδεῖξαι, ὅτι καὶ εὔορκοι καὶ ὅσιοί
ἐστε. εἰπὼν δὲ ταῦτα καὶ ἄλλα τοιαῦτα, καὶ ὅτι οὐδὲν
δέοι ταράττεσθαι, ἀλλὰ τοῖς νόμοις τοῖς ἀρχαίοις χρῆ-

εἰσπέμψαντες τοὺς φίλους καὶ ἀναγκαίους ἔπεισαν συναλλαγῆναι· καὶ ὀμόσαντες ὅρκους ἦ μὴν μὴ μνησικακήσειν, ἔτι καὶ νῦν ὁμοῦ τε πολιτεύονται καὶ τοῖς ὅρκοις ἐμμένει ὁ δῆμος.

---

## [Γ]

Ἡ μὲν δὴ Ἀθήνησι στάσις οὕτως ἐτελεύτησεν. ἐκ δὲ 1
τούτου πέμψας Κῦρος ἀγγέλους εἰς Λακεδαίμονα ἠξίου, οἷόσπερ αὐτὸς Λακεδαιμονίοις ἦν ἐν τῷ πρὸς Ἀθηναίους πολέμῳ, τοιούτους καὶ Λακεδαιμονίους αὐτῷ γίγνεσθαι. οἱ δ᾽ ἔφοροι δίκαια νομίσαντες λέγειν αὐτόν, Σαμίῳ τῷ τότε ναυάρχῳ ἐπέστειλαν ὑπηρετεῖν Κύρῳ, εἴ τι δέοιτο. κἀκεῖνος μέντοι προθύμως ὅπερ ἐδεήθη ὁ Κῦρος ἔπραξεν· ἔχων γὰρ τὸ ἑαυτοῦ ναυτικὸν σὺν τῷ Κύρου περιέπλευσεν εἰς Κιλικίαν, καὶ ἐποίησε τὸν τῆς Κιλικίας ἄρχοντα Συέννεσιν μὴ δύνασθαι κατὰ
γῆν ἐναντιοῦσθαι Κύρῳ πορευομένῳ ἐπὶ βασιλέα. ὡς 2
μὲν οὖν Κῦρος στράτευμά τε συνέλεξε καὶ τοῦτ᾽ ἔχων a.C 401

σατράπης κατεπέμφθη ὧν τε αὐτὸς πρόσθεν ἦρχε καὶ ὧν Κῦρος, εὐθὺς ἠξίου τὰς Ἰωνικὰς πόλεις ἁπάσας ἑαυτῷ ὑπηκόους εἶναι. αἱ δὲ ἅμα μὲν ἐλεύθεραι βουλόμεναι εἶναι, ἅμα δὲ φοβούμεναι τὸν Τισσαφέρνην, ὅτι Κῦρον, ὅτ' ἔζη, ἀντ' ἐκείνου ᾑρημέναι ἦσαν, εἰς μὲν τὰς πόλεις οὐκ ἐδέχοντο αὐτόν, εἰς Λακεδαίμονα δὲ ἔπεμπον πρέσβεις, καὶ ἠξίουν, ἐπεὶ πάσης τῆς Ἑλλάδος προστάται εἰσίν, ἐπιμεληθῆναι καὶ σφῶν τῶν ἐν τῇ Ἀσίᾳ Ἑλλήνων, ὅπως ἥ τε χώρα μὴ δῃοῖτο αὐ-
4 τῶν καὶ αὐτοὶ ἐλεύθεροι εἶεν. οἱ οὖν Λακεδαιμόνιοι
a.C. 400. πέμπουσιν αὐτοῖς Θίβρωνα ἁρμοστήν, δόντες στρατιώτας τῶν μὲν νεοδαμωδῶν εἰς χιλίους, τῶν δὲ ἄλλων Πελοποννησίων εἰς τετρακισχιλίους. ᾐτήσατο δ' ὁ Θίβρων καὶ παρ' Ἀθηναίων τριακοσίους ἱππέας, εἰπὼν ὅτι αὐτὸς μισθὸν παρέξει. οἱ δ' ἔπεμψαν τῶν ἐπὶ τῶν τριάκοντα ἱππευσάντων, νομίζοντες κέρδος τῷ δήμῳ,
5 εἰ ἀποδημοῖεν καὶ ἐναπόλοιντο. ἐπεὶ δ' εἰς τὴν Ἀσίαν ἀφίκοντο, συνήγαγε στρατιώτας καὶ ἐκ τῶν ἐν τῇ ἠπείρῳ Ἑλληνίδων πόλεων· πᾶσαι γὰρ τότε αἱ πόλεις ἐπείθοντο ὅ,τι Λακεδαιμόνιος ἀνὴρ ἐπιτάττοι. καὶ σὺν μὲν ταύτῃ τῇ στρατιᾷ ὁρῶν Θίβρων τὸ ἱππικὸν εἰς τὸ πεδίον οὐ κατέβαινεν, ἠγάπα δὲ εἰ ὅπου τυγχάνοι ὤν, δύναιτο ταύτην τὴν χώραν ἀδῄωτον διαφυλάττειν.
6 ἐπεὶ δὲ σωθέντες οἱ ἀναβάντες μετὰ Κύρου συνέμιξαν
a.C. 399. αὐτῷ, ἐκ τούτου ἤδη καὶ ἐν τοῖς πεδίοις ἀντετάττετο τῷ Τισσαφέρνει, καὶ πόλεις Πέργαμον μὲν ἑκοῦσαν προσέλαβε καὶ Τευθρανίαν καὶ Ἁλίσαρναν, ὧν Εὐρυσθένης τε καὶ Προκλῆς ἦρχον οἱ ἀπὸ Δαμαράτου τοῦ Λακεδαιμονίου· ἐκείνῳ δ' αὕτη ἡ χώρα δῶρον ἐκ βασιλέως ἐδόθη ἀντὶ τῆς ἐπὶ τὴν Ἑλλάδα συστρατείας· προσεχώρησαν δὲ αὐτῷ καὶ Γοργίων καὶ Γογγύλος, ἀδελφοὶ ὄντες, ἔχοντες ὁ μὲν Γάμβρειον καὶ Παλαι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γάμβρειον, ὁ δὲ Μύριναν καὶ Γρύνειον· δῶρον δὲ καὶ αὗται αἱ πόλεις ἦσαν παρὰ βασιλέως Γογγύλῳ, ὅτι μόνος Ἐρετριέων μηδίσας ἔφυγεν. ἦν δὲ ἃς ἀσθενεῖς 7
οὔσας καὶ κατὰ κράτος ὁ Θίβρων ἐλάμβανε· Λάρισάν γε μὴν τὴν Αἰγυπτίαν καλουμένην, ἐπεὶ οὐκ ἐπείθετο, περιστρατοπεδευσάμενος ἐπολιόρκει. ἐπεὶ δὲ ἄλλως οὐκ ἐδύνατο ἑλεῖν, φρεατίαν τεμόμενος ὑπόνομον ὤρυττεν, ὡς ἀφαιρησόμενος τὸ ὕδωρ αὐτῶν. ὡς δ' ἐκ τοῦ τείχους ἐκθέοντες πολλάκις ἐνέβαλον εἰς τὸ ὄρυγμα καὶ ξύλα καὶ λίθους, ποιησάμενος αὖ χελώνην ξυλίνην ἐπέστησεν ἐπὶ τῇ φρεατίᾳ. καὶ ταύτην μέντοι ἐκδραμόντες οἱ Λαρισαῖοι νύκτωρ κατέκαυσαν. δοκοῦντος δ' αὐτοῦ οὐδὲν ποιεῖν, πέμπουσιν οἱ ἔφοροι ἀπολιπόντα Λάρισαν στρατεύεσθαι ἐπὶ Καρίαν.

Ἐν Ἐφέσῳ δὲ ἤδη ὄντος αὐτοῦ, ὡς ἐπὶ Καρίαν 8
πορευσομένου, Δερκυλίδας ἄρξων ἀφίκετο ἐπὶ τὸ στράτευμα, ἀνὴρ δοκῶν εἶναι μάλα μηχανητικός· καὶ ἐπεκαλεῖτο δὲ Σίσυφος. ὁ μὲν οὖν Θίβρων ἀπῆλθεν οἴκαδε καὶ ζημιωθεὶς ἔφυγε· κατηγόρουν γὰρ αὐτοῦ οἱ σύμμαχοι ὡς ἐφείη ἁρπάζειν τῷ στρατεύματι τοὺς φίλους. ὁ δὲ Δερκυλίδας ἐπεὶ παρέλαβε τὸ στράτευμα, 9
γνοὺς ὑπόπτους ὄντας ἀλλήλοις τὸν Τισσαφέρνην καὶ τὸν Φαρνάβαζον, κοινολογησάμενος τῷ Τισσαφέρνει ἀπήγαγεν εἰς τὴν Φαρναβάζου χώραν τὸ στράτευμα, ἑλόμενος θατέρῳ μᾶλλον ἢ ἅμα ἀμφοτέροις πολεμεῖν. ἦν δὲ καὶ πρόσθεν ὁ Δερκυλίδας πολέμιος τῷ Φαρναβάζῳ· ἁρμοστὴς γὰρ γενόμενος ἐν Ἀβύδῳ ἐπὶ Λυσάνδρου ναυαρχοῦντος, διαβληθεὶς ὑπὸ Φαρναβάζου, ἐστάθη τὴν ἀσπίδα ἔχων, ὃ δοκεῖ κηλὶς εἶναι τοῖς σπουδαίοις Λακεδαιμονίων· ἀταξίας γὰρ ζημίωμά ἐστι. καὶ διὰ ταῦτα δὴ πολὺ ἥδιον ἐπὶ τὸν Φαρνάβαζον ᾔει.
καὶ εὐθὺς μὲν τοσούτῳ διέφερεν εἰς τὸ ἄρχειν τοῦ Θί- 10

5*

βρωνος ὥστε παρήγαγε τὸ στράτευμα διὰ τῆς φιλίας
χώρας μέχρι τῆς Φαρναβάζου Αἰολίδος οὐδὲν βλάψας
τοὺς συμμάχους.
Ἡ δὲ Αἰολὶς αὕτη ἦν μὲν Φαρναβάζου, ἐσατράπευε
δ' αὐτῷ ταύτης τῆς χώρας, ἕως μὲν ἔζη, Ζῆνις Δαρδα-
νεύς· ἐπειδὴ δὲ ἐκεῖνος νόσῳ ἀπέθανε, παρασκευαζομέ-
νου τοῦ Φαρναβάζου ἄλλῳ δοῦναι τὴν σατραπείαν,
Μανία ἡ τοῦ Ζήνιος γυνή, Δαρδανὶς καὶ αὐτή, ἀνα-
ζεύξασα στόλον καὶ δῶρα λαβοῦσα ὥστε καὶ αὐτῷ Φαρ-
ναβάζῳ δοῦναι καὶ παλλακίσιν αὐτοῦ χαρίσασθαι καὶ
τοῖς δυναμένοις μάλιστα παρὰ Φαρναβάζῳ, ἐπορεύετο.
11 ἐλθοῦσα δ' εἰς λόγους εἶπεν, Ὦ Φαρνάβαζε, ὁ ἀνήρ σοι
ὁ ἐμὸς καὶ τἄλλα φίλος ἦν καὶ τοὺς φόρους ἀπεδίδου
ὥστε σὺ ἐπαινῶν αὐτὸν ἐτίμας. ἢν οὖν ἐγώ σοι μηδὲν
χεῖρον ἐκείνου ὑπηρετῶ, τί σε δεῖ ἄλλον σατράπην καθ-
ιστάναι; ἢν δέ τί σοι μὴ ἀρέσκω, ἐπὶ σοὶ δήπου ἔσται
12 ἀφελομένῳ ἐμὲ ἄλλῳ δοῦναι τὴν ἀρχήν. ἀκούσας ταῦ-
τα ὁ Φαρνάβαζος ἔγνω δεῖν τὴν γυναῖκα σατραπεύειν.
ἡ δ' ἐπεὶ κυρία τῆς χώρας ἐγένετο, τούς τε φόρους οὐ-
δὲν ἧττον τἀνδρὸς ἀπεδίδου, καὶ πρὸς τούτοις, ὁπότε
ἀφικνοῖτο πρὸς Φαρνάβαζον, ἀεὶ ἦγε δῶρα αὐτῷ, καὶ
ὁπότε ἐκεῖνος εἰς τὴν χώραν καταβαίνοι, πολὺ πάντων
13 τῶν ὑπάρχων κάλλιστα καὶ ἥδιστα ἐδέχετο αὐτόν, καὶ
ἅς τε παρέλαβε πόλεις διεφύλαττεν αὐτῷ καὶ τῶν οὐχ
ὑπηκόων προσέλαβεν ἐπιθαλαττιδίας Λάρισάν τε καὶ
Ἁμαξιτὸν καὶ Κολωνάς, ξενικῷ μὲν Ἑλληνικῷ προσβα-
λοῦσα τοῖς τείχεσιν, αὐτὴ δ' ἐφ' ἁρμαμάξης θεωμένη·
ὃν δ' ἐπαινέσειε, τούτῳ δῶρα ἀμέμπτως ἐδίδου, ὥστε
λαμπρότατα τὸ ξενικὸν κατεσκευάσατο. συνεστρα-
τεύετο δὲ τῷ Φαρναβάζῳ καὶ ὁπότε εἰς Μυσοὺς ἢ Πι-
σίδας ἐμβάλοι, ὅτι τὴν βασιλέως χώραν κακουργοῦσιν.
ὥστε καὶ ἀντετίμα αὐτὴν μεγαλοπρεπῶς ὁ Φαρνάβαζος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ σύμβουλον ἔστιν ὅτε παρεκάλει. ἤδη δ' οὔσης αὐ- 14
τῆς ἐτῶν πλέον ἢ τετταράκοντα, Μειδίας, θυγατρὸς ἀνὴρ αὐτῆς ὤν, ἀναπτερωθεὶς ὑπό τινων ὡς αἰσχρὸν εἴη γυναῖκα μὲν ἄρχειν, αὐτὸν δ' ἰδιώτην εἶναι, τοὺς μὲν ἄλλους μάλα φυλαττομένης αὐτῆς, ὥσπερ ἐν τυραννίδι προσῆκεν, ἐκείνῳ δὲ πιστευούσης καὶ ἀσπαζομένης ὥσπερ ἂν γυνὴ γαμβρὸν ἀσπάζοιτο, εἰσελθὼν ἀποπνῖξαι αὐτὴν λέγεται. ἀπέκτεινε δὲ καὶ τὸν υἱὸν αὐτῆς, τό τε εἶδος ὄντα πάγκαλον καὶ ἐτῶν ὄντα ὡς
ἑπτακαίδεκα. ταῦτα δὲ ποιήσας Σκῆψιν καὶ Γέργιθα 15
ἐχυρὰς πόλεις κατέσχεν, ἔνθα καὶ τὰ χρήματα μάλιστα ἦν τῇ Μανίᾳ. αἱ δὲ ἄλλαι πόλεις οὐκ ἐδέχοντο αὐτόν, ἀλλὰ Φαρναβάζῳ ἔσωζον αὐτὰς οἱ ἐνόντες φρουροί. ἐκ δὲ τούτου ὁ Μειδίας πέμψας δῶρα τῷ Φαρναβάζῳ ἠξίου ἔχειν τὴν χώραν ὥσπερ ἡ Μανία. ὁ δ' ἀπεκρίνατο φυλάττειν αὐτά, ἔστ' ἂν αὐτὸς ἐλθὼν σὺν αὐτῷ ἐκείνῳ λάβῃ τὰ δῶρα· οὐ γὰρ ἂν ἔφη ζῆν βούλεσθαι
μὴ τιμωρήσας Μανίᾳ. ὁ δὲ Δερκυλίδας ἐν τούτῳ τῷ 16
καιρῷ ἀφικνεῖται, καὶ εὐθὺς μὲν ἐν μιᾷ ἡμέρᾳ Λάρισαν καὶ Ἁμαξιτὸν καὶ Κολωνὰς τὰς ἐπιθαλαττίους πόλεις ἑκούσας παρέλαβε· πέμπων δὲ καὶ πρὸς τὰς Αἰολίδας πόλεις ἠξίου ἐλευθεροῦσθαί τε αὐτὰς καὶ εἰς τὰ τείχη δέχεσθαι καὶ συμμάχους γίγνεσθαι. οἱ μὲν οὖν Νεανδρεῖς καὶ Ἰλιεῖς καὶ Κοκυλῖται ἐπείθοντο· καὶ γὰρ οἱ φρουροῦντες Ἕλληνες ἐν αὐταῖς, ἐπεὶ ἡ Μανία
ἀπέθανεν, οὐ πάνυ τι καλῶς περιείποντο· ὁ δ' ἐν 17
Κεβρῆνι, μάλα ἰσχυρῷ χωρίῳ, τὴν φυλακὴν ἔχων, νομίσας, εἰ διαφυλάξειε Φαρναβάζῳ τὴν πόλιν, τιμηθῆναι ἂν ὑπ' ἐκείνου, οὐκ ἐδέχετο τὸν Δερκυλίδαν. ὁ δὲ ὀργιζόμενος παρεσκευάζετο προσβάλλειν. ἐπεὶ δὲ θυομένῳ αὐτῷ οὐκ ἐγίγνετο τὰ ἱερὰ τῇ πρώτῃ, τῇ ὑστεραίᾳ πάλιν ἐθύετο. ὡς δὲ οὐδὲ ταῦτα ἐκαλλιερεῖ-

το, πάλιν τῇ τρίτῃ· καὶ μέχρι τεττάρων ἡμερῶν ἐκαρ-
τέρει θυόμενος, μάλα χαλεπῶς φέρων· ἔσπευδε γὰρ
πρὶν Φαρνάβαζον βοηθῆσαι ἐγκρατὴς γενέσθαι πάσης
18 τῆς Αἰολίδος. Ἀθηνάδας δέ τις Σικυώνιος λοχαγός,
νομίσας τὸν μὲν Δερκυλίδαν φλυαρεῖν διατρίβοντα,
αὐτὸς δ' ἱκανὸς εἶναι τὸ ὕδωρ ἀφελέσθαι τοὺς Κεβρη-
νίους, προσδραμὼν σὺν τῇ ἑαυτοῦ τάξει ἐπειρᾶτο τὴν
κρήνην συγχοῦν. οἱ δὲ ἔνδοθεν ἐπεξελθόντες αὐτόν
τε συνέτρωσαν καὶ δύο ἀπέκτειναν, καὶ τοὺς ἄλλους
παίοντες καὶ βάλλοντες ἀπήλασαν. ἀχθομένου δὲ τοῦ
Δερκυλίδου, καὶ νομίζοντος ἀθυμοτέραν καὶ τὴν προσ-
βολὴν ἔσεσθαι, ἔρχονται ἐκ τοῦ τείχους παρὰ τῶν
Ἑλλήνων κήρυκες, καὶ εἶπον ὅτι ἃ μὲν ὁ ἄρχων ποιοίη,
οὐκ ἀρέσκοι σφίσιν, αὐτοὶ δὲ βούλοιντο σὺν τοῖς Ἕλ-
19 λησι μᾶλλον ἢ σὺν τῷ βαρβάρῳ εἶναι. ἔτι δὲ διαλεγο-
μένων αὐτῶν ταῦτα, παρὰ τοῦ ἄρχοντος αὐτῶν ἧκε
λέγων ὅτι ὅσα λέγοιεν οἱ πρόσθεν καὶ αὐτῷ δοκοῦντα
λέγοιεν. ὁ οὖν Δερκυλίδας εὐθὺς ὥσπερ ἔτυχε κεκαλ-
λιερηκὼς ταύτῃ τῇ ἡμέρᾳ, ἀναλαβὼν τὰ ὅπλα ἡγεῖτο
πρὸς τὰς πύλας· οἱ δ' ἀναπετάσαντες ἐδέξαντο. κα-
ταστήσας δὲ καὶ ἐνταῦθα φρουροὺς εὐθὺς ᾔει ἐπὶ τὴν
20 Σκῆψιν καὶ τὴν Γέργιθα. ὁ δὲ Μειδίας προσδοκῶν
μὲν τὸν Φαρνάβαζον, ὀκνῶν δ' ἤδη τοὺς πολίτας, πέμ-
ψας πρὸς τὸν Δερκυλίδαν εἶπεν ὅτι ἔλθοι ἂν εἰς λό-
γους, εἰ ὁμήρους λάβοι. ὁ δὲ πέμψας αὐτῷ ἀπὸ πό-
λεως ἑκάστης τῶν συμμάχων ἕνα ἐκέλευσε λαβεῖν τού-
των ὁπόσους τε καὶ ὁποίους βούλοιτο. ὁ δὲ λαβὼν
δέκα ἐξῆλθε, καὶ συμμίξας τῷ Δερκυλίδᾳ ἠρώτα ἐπὶ
τίσιν ἂν σύμμαχος γένοιτο. ὁ δ' ἀπεκρίνατο ἐφ' ᾧτε
τοὺς πολίτας ἐλευθέρους τε καὶ αὐτονόμους ἐᾶν. καὶ
21 ἅμα ταῦτα λέγων ᾔει πρὸς τὴν Σκῆψιν. γνοὺς δὲ ὁ
Μειδίας ὅτι οὐκ ἂν δύναιτο κωλύειν βίᾳ τῶν πολιτῶν,

εἴασεν αὐτὸν εἰσιέναι. ὁ δὲ Δερκυλίδας θύσας τῇ
Ἀθηνᾷ ἐν τῇ τῶν Σκηψίων ἀκροπόλει τοὺς μὲν τοῦ
Μειδίου φρουροὺς ἐξήγαγε, παραδοὺς δὲ τοῖς πολίταις
τὴν πόλιν, καὶ παρακελευσάμενος, ὥσπερ Ἕλληνας καὶ
ἐλευθέρους χρή, οὕτω πολιτεύειν, ἐξελθὼν ἡγεῖτο
ἐπὶ τὴν Γέργιθα. συμπροὔπεμπον δὲ πολλοὶ αὐτὸν καὶ
τῶν Σκηψίων, τιμῶντές τε καὶ ἡδόμενοι τοῖς πεπρα-
γμένοις. ὁ δὲ Μειδίας παρεπόμενος αὐτῷ ἠξίου τὴν 22
τῶν Γεργιθίων πόλιν παραδοῦναι αὐτῷ. καὶ ὁ Δερ-
κυλίδας μέντοι ἔλεγεν ὡς τῶν δικαίων οὐδενὸς ἀτυχή-
σοι· ἅμα δὲ ταῦτα λέγων ᾔει πρὸς τὰς πύλας σὺν τῷ
Μειδίᾳ, καὶ τὸ στράτευμα ἠκολούθει αὐτῷ εἰρηνικῶς
εἰς δύο. οἱ δ' ἀπὸ τῶν πύργων καὶ μάλα ὑψηλῶν ὄν-
των ὁρῶντες τὸν Μειδίαν σὺν αὐτῷ οὐκ ἔβαλλον· εἰ-
πόντος δὲ τοῦ Δερκυλίδα, Κέλευσον, ὦ Μειδία, ἀνοῖ-
ξαι τὰς πύλας, ἵνα ἡγῇ μὲν σύ, ἐγὼ δὲ σὺν σοὶ εἰς τὸ ἱε-
ρὸν ἔλθω κἀνταῦθα θύσω τῇ Ἀθηνᾷ, ὁ Μειδίας ὤκνει
μὲν ἀνοίγειν τὰς πύλας, φοβούμενος δὲ μὴ παραχρῆμα
συλληφθῇ, ἐκέλευσεν ἀνοῖξαι. ὁ δ' ἐπεὶ εἰσῆλθεν, 23
ἔχων αὖ τὸν Μειδίαν ἐπορεύετο πρὸς τὴν ἀκρόπολιν·
καὶ τοὺς μὲν ἄλλους στρατιώτας ἐκέλευσε θέσθαι περὶ
τὰ τείχη τὰ ὅπλα, αὐτὸς δὲ σὺν τοῖς περὶ αὐτὸν ἔθυε
τῇ Ἀθηνᾷ. ἐπεὶ δ' ἐτέθυτο, ἀνεῖπε καὶ τοὺς Μειδίου
δορυφόρους θέσθαι τὰ ὅπλα ἐπὶ τῷ στόματι τοῦ ἑαυ-
τοῦ στρατεύματος, ὡς μισθοφορήσοντας· Μειδίᾳ γὰρ
οὐδὲν ἔτι δεινὸν εἶναι. ὁ μέντοι Μειδίας ἀπορῶν ὅ,τι 24
ποιοίη, εἶπεν, Ἐγὼ μὲν τοίνυν ἄπειμι, ἔφη, ξένιά
σοι παρασκευάσων. ὁ δέ, Οὐ μὰ Δί', ἔφη, ἐπεὶ αἰ-
σχρὸν ἐμὲ τεθυκότα ξενίζεσθαι ὑπὸ σοῦ, ἀλλὰ μὴ ξε-
νίζειν σέ. μένε οὖν παρ' ἡμῖν· ἐν ᾧ δ' ἂν τὸ δεῖπνον
παρασκευάζηται, ἐγὼ καὶ σὺ τὰ δίκαια πρὸς ἀλλήλους
καὶ διασκεψόμεθα καὶ ποιήσομεν. ἐπεὶ δ' ἐκαθέζοντο, 25

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ἠρώτα ὁ Δερκυλίδας, Εἰπέ μοι, ὦ Μειδία, ὁ πατήρ σε
ἄρχοντα τοῦ οἴκου κατέλιπε; Μάλιστα, ἔφη. Καὶ πό-
σαι σοι οἰκίαι ἦσαν; πόσοι δὲ χῶροι; πόσαι δὲ νομαί;
ἀπογράφοντος δ' αὐτοῦ οἱ παρόντες τῶν Σκηψίων
26 εἶπον, Ψεύδεταί σε οὗτος, ὦ Δερκυλίδα. Ὑμεῖς δέ
γ', ἔφη, μὴ λίαν μικρολογεῖσθε. ἐπειδὴ δὲ ἀπεγέ-
γραπτο τὰ πατρῷα, Εἰπέ μοι, ἔφη, Μανία δὲ τίνος
ἦν; οἱ δὲ πάντες εἶπον ὅτι Φαρναβάζου. Οὐκοῦν καὶ
τὰ ἐκείνης, ἔφη, Φαρναβάζου; Μάλιστα, ἔφασαν.
Ἡμέτερ' ἂν εἴη, ἔφη, ἐπεὶ κρατοῦμεν· πολέμιος γὰρ
ἡμῖν Φαρνάβαζος. ἀλλ' ἡγείσθω τις, ἔφη, ὅπου κεῖ-
27 ται τὰ Μανίας καὶ τὰ Φαρναβάζου. ἡγουμένων δὲ τῶν
ἄλλων ἐπὶ τὴν Μανίας οἴκησιν, ἣν παρειλήφει ὁ Μει-
δίας, ἠκολούθει κἀκεῖνος. ἐπεὶ δ' εἰσῆλθεν, ἐκάλει
ὁ Δερκυλίδας τοὺς ταμίας, φράσας δὲ τοῖς ὑπηρέταις
λαβεῖν αὐτοὺς προεῖπεν αὐτοῖς ὡς εἴ τι κλέπτοντες
ἁλώσοιντο τῶν Μανίας, παραχρῆμα ἀποσφαγήσοιντο.
οἱ δ' ἐδείκνυσαν. ὁ δ' ἐπεὶ εἶδε πάντα, κατέκλεισεν
αὐτὰ καὶ κατεσημήνατο καὶ φύλακας κατέστησεν.
28 ἐξιὼν δὲ οὓς ηὗρεν ἐπὶ ταῖς θύραις τῶν ταξιάρχων καὶ
λοχαγῶν, εἶπεν αὐτοῖς, Μισθὸς μὲν ἡμῖν, ὦ ἄνδρες,
εἴργασται τῇ στρατιᾷ ἐγγὺς ἐνιαυτοῦ ὀκτακισχιλίοις
ἀνδράσιν· ἢν δέ τι προσεργασώμεθα, καὶ ταῦτα προσ-
έσται. ταῦτα δ' εἶπε γιγνώσκων ὅτι ἀκούσαντες πολὺ
εὐτακτότεροι καὶ θεραπευτικώτεροι ἔσοιντο. ἐρο-
μένου δὲ τοῦ Μειδίου, Ἐμὲ δὲ ποῦ χρὴ οἰκεῖν, ὦ Δερ-
κυλίδα; ἀπεκρίνατο, Ἔνθαπερ καὶ δικαιότατον, ὦ
Μειδία, ἐν τῇ πατρίδι τῇ σαυτοῦ Σκήψει καὶ ἐν τῇ πα-
τρῴᾳ οἰκίᾳ.

II. Ὁ μὲν δὴ Δερκυλίδας ταῦτα διαπραξάμενος καὶ
λαβὼν ἐν ὀκτὼ ἡμέραις ἐννέα πόλεις, ἐβουλεύετο ὅπως
ἂν μὴ ἐν τῇ φιλίᾳ χειμάζων βαρὺς εἴη τοῖς συμμάχοις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥσπερ Θίβρων, μηδ' αὖ Φαρνάβαζος καταφρονῶν τῇ ἵππῳ κακουργοίη τὰς Ἑλληνίδας πόλεις. πέμπει οὖν πρὸς αὐτὸν καὶ ἐρωτᾷ πότερον βούλεται εἰρήνην ἢ πόλεμον ἔχειν. ὁ μέντοι Φαρνάβαζος νομίσας τὴν Αἰολίδα ἐπιτετειχίσθαι τῇ ἑαυτοῦ οἰκήσει Φρυγίᾳ, σπονδὰς εἵλετο.

Ὡς δὲ ταῦτα ἐγένετο, ἐλθὼν ὁ Δερκυλίδας εἰς τὴν 2
Βιθυνίδα Θρᾴκην ἐκεῖ διεχείμαζεν, οὐδὲ τοῦ Φαρναβάζου πάνυ τι ἀχθομένου· πολλάκις γὰρ οἱ Βιθυνοὶ αὐτῷ ἐπολέμουν. καὶ τὰ μὲν ἄλλα ὁ Δερκυλίδας ἀσφαλῶς φέρων καὶ ἄγων τὴν Βιθυνίδα καὶ ἄφθονα ἔχων τὰ ἐπιτήδεια διετέλει· ἐπειδὴ δὲ ἦλθον αὐτῷ παρὰ τοῦ Σεύθου πέραθεν σύμμαχοι τῶν Ὀδρυσῶν ἱππεῖς τε ὡς διακόσιοι καὶ πελτασταὶ ὡς τριακόσιοι, οὗτοι στρατοπεδευσάμενοι καὶ περισταυρωσάμενοι ἀπὸ τοῦ Ἑλληνικοῦ ὡς εἴκοσι στάδια, αἰτοῦντες φύλακας τοῦ στρατοπέδου τὸν Δερκυλίδαν τῶν ὁπλιτῶν, ἐξῇσαν ἐπὶ λείαν, καὶ πολλὰ ἐλάμβανον ἀνδράποδά τε καὶ χρήματα. ἤδη δ' ὄντος μεστοῦ τοῦ στρατοπέδου αὐτοῖς 3
πολλῶν αἰχμαλώτων, καταμαθόντες οἱ Βιθυνοὶ ὅσοι τ' ἐξῇσαν καὶ ὅσους κατέλιπον Ἕλληνας φύλακας, συλλεγέντες παμπληθεῖς πελτασταὶ καὶ ἱππεῖς ἅμ' ἡμέρᾳ προσπίπτουσι τοῖς ὁπλίταις ὡς διακοσίοις οὖσιν. ἐπειδὴ δ' ἐγγὺς ἐγένοντο, οἱ μὲν ἔβαλλον, οἱ δ' ἠκόντιζον εἰς αὐτούς. οἱ δ' ἐπεὶ ἐτιτρώσκοντο μὲν καὶ ἀπέθνησκον, ἐποίουν δ' οὐδὲν καθειργμένοι ἐν τῷ σταυρώματι ὡς ἀνδρομήκει ὄντι, διασπάσαντες τὸ αὐτῶν ὀχύρωμα ἐφέροντο εἰς αὐτούς. οἱ δὲ ᾗ μὲν ἐκ- 4
θέοιεν ὑπεχώρουν, καὶ ῥᾳδίως ἀπέφευγον πελτασταὶ ὁπλίτας, ἔνθεν δὲ καὶ ἔνθεν ἠκόντιζον, καὶ πολλοὺς αὐτῶν ἐφ' ἑκάστῃ ἐκδρομῇ κατέβαλλον· τέλος δὲ ὥσπερ ἐν αὐλίῳ σηκασθέντες κατηκοντίσθησαν. ἐσώθησαν μέντοι αὐτῶν ἀμφὶ τοὺς πεντεκαίδεκα εἰς τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Ρόδου

Ἑλληνικόν, καὶ οὗτοι, ἐπεὶ εὐθέως ᾔσθοντο τὸ πρ γμα, ἀπεχώρησαν ἐν τῇ μάχῃ διαπεσόντες ἀμελησά
5 των τῶν Βιθυνῶν. ταχὺ δὲ ταῦτα διαπραξάμενοι Βιθυνοὶ καὶ τοὺς σκηνοφύλακας τῶν Ὀδρυσῶν Θρ κῶν ἀποκτείναντες, ἀπολαβόντες πάντα τὰ αἰχμάλω ἀπῆλθον· ὥστε οἱ Ἕλληνες ἐπεὶ ᾔσθοντο, βοηθοῦντ οὐδὲν ἄλλο ηὗρον ἢ νεκροὺς γυμνοὺς ἐν τῷ στρατ πέδῳ. ἐπεὶ μέντοι ἐπανῆλθον οἱ Ὀδρύσαι, θάψαντ τοὺς ἑαυτῶν καὶ πολὺν οἶνον ἐκπιόντες ἐπ' αὐτοῖς κ ἱπποδρομίαν ποιήσαντες, ὁμοῦ δὴ τὸ λοιπὸν τοῖς Ἕ λησι στρατοπεδευσάμενοι ἦγον καὶ ἔκαον τὴν Β θυνίδα.

6 Ἅμα δὲ τῷ ἦρι ἀποπορευόμενος ὁ Δερκυλίδας ἐκ τ
a.C. 398. Βιθυνῶν ἀφικνεῖται εἰς Λάμψακον. ἐνταῦθα δ' ὄντ αὐτοῦ ἔρχονται ἀπὸ τῶν οἴκοι τελῶν Ἄρακός τε κ Ναυβάτης καὶ Ἀντισθένης. οὗτοι δ' ἦλθον ἐπισκεψ μενοι τά τε ἄλλα ὅπως ἔχοι τὰ ἐν τῇ Ἀσίᾳ, καὶ Δερκ λίδᾳ ἐροῦντες μένοντι ἄρχειν καὶ τὸν ἐπιόντα ἐνια τόν· ἐπιστεῖλαι δὲ σφίσιν αὐτοῖς τοὺς ἐφόρους καὶ συ καλέσαντας τοὺς στρατιώτας εἰπεῖν ὡς ὧν μὲν πρ σθεν ἐποίουν μέμφοιντο αὐτοῖς, ὅτι δὲ νῦν οὐδὲν ἠ κουν, ἐπαινοῖεν· καὶ περὶ τοῦ λοιποῦ χρόνου εἰπε ὅτι ἢν μὲν ἀδικῶσιν, οὐκ ἐπιτρέψουσιν· ἢν δὲ δίκα περὶ τοὺς συμμάχους ποιῶσιν, ἐπαινέσονται αὐτο
7 ἐπεὶ μέντοι συγκαλέσαντες τοὺς στρατιώτας ταῦτ' ἔλ γον, ὁ τῶν Κυρείων προεστηκὼς ἀπεκρίνατο, Ἀλλ ὦ ἄνδρες Λακεδαιμόνιοι, ἡμεῖς μέν ἐσμεν οἱ αὐτ νῦν τε καὶ πέρυσιν· ἄρχων δὲ ἄλλος μὲν νῦν, ἄλλος τὸ παρελθόν. τὸ οὖν αἴτιον τοῦ νῦν μὲν μὴ ἐξαμαρτ
8 νειν, τότε δέ, αὐτοὶ ἤδη ἱκανοί ἐστε γιγνώσκειν. σ σκηνούντων δὲ τῶν τε οἴκοθεν πρέσβεων καὶ τοῦ Δε κυλίδα, ἐπεμνήσθη τις τῶν περὶ τὸν Ἄρακον ὅτι κατ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λελοίποιεν πρέσβεις τῶν Χερρονησιτῶν ἐν Λακεδαί-
μονι. τούτους δὲ λέγειν ἔφασαν ὡς νῦν μὲν οὐ δύ-
ναιντο τὴν Χερρόνησον ἐργάζεσθαι· φέρεσθαι γὰρ καὶ
ἄγεσθαι ὑπὸ τῶν Θρᾳκῶν· εἰ δ' ἀποτειχισθείη ἐκ θα-
λάττης εἰς θάλατταν, καὶ σφίσιν ἂν γῆν πολλὴν κἀ-
γαθὴν εἶναι ἐργάζεσθαι καὶ ἄλλοις ὁπόσοι βούλοιντο
Λακεδαιμονίων· ὥστ' ἔφασαν οὐκ ἂν θαυμάζειν εἰ καὶ
πεμφθείη τις Λακεδαιμονίων ἀπὸ τῆς πόλεως σὺν δυ-
νάμει ταῦτα πράξων. ὁ οὖν Δερκυλίδας πρὸς μὲν ἐκεί- 9
νους οὐκ εἶπεν ἣν ἔχοι γνώμην ταῦτ' ἀκούσας, ἀλλ'
ἀπέπεμψεν αὐτοὺς ἐπ' Ἐφέσου διὰ τῶν Ἑλληνίδων πό-
λεων, ἡδόμενος ὅτι ἔμελλον ὄψεσθαι τὰς πόλεις ἐν εἰ-
ρήνῃ εὐδαιμονικῶς διαγούσας. οἱ μὲν δὴ ἐπορεύοντο.
ὁ δὲ Δερκυλίδας ἐπειδὴ ἔγνω μενετέον ὄν, πάλιν πέμ-
ψας πρὸς τὸν Φαρνάβαζον ἐπήρετο πότερα βούλοιτο
σπονδὰς ἔχειν καθάπερ διὰ τοῦ χειμῶνος ἢ πόλεμον.
ἑλομένου δὲ τοῦ Φαρναβάζου καὶ τότε σπονδάς, οὕτω
καταλιπὼν καὶ τὰς περὶ ἐκεῖνον πόλεις [φιλίας] ἐν εἰρή-
νῃ διαβαίνει τὸν Ἑλλήσποντον σὺν τῷ στρατεύματι εἰς
τὴν Εὐρώπην, καὶ διὰ φιλίας τῆς Θρᾴκης πορευθεὶς
καὶ ξενισθεὶς ὑπὸ Σεύθου ἀφικνεῖται εἰς Χερρόνησον.
ἣν καταμαθὼν πόλεις μὲν ἕνδεκα [ἢ δώδεκα] ἔχουσαν, 10
χώραν δὲ παμφορωτάτην καὶ ἀρίστην οὖσαν, κεκακω-
μένην δέ, ὥσπερ ἐλέγετο, ὑπὸ τῶν Θρᾳκῶν, ἐπεὶ με-
τρῶν ηὗρε τοῦ ἰσθμοῦ ἑπτὰ καὶ τριάκοντα στάδια, οὐκ
ἐμέλλησεν, ἀλλὰ θυσάμενος ἐτείχιζε, κατὰ μέρη διε-
λὼν τοῖς στρατιώταις τὸ χωρίον· καὶ ἆθλα ὑπο-
σχόμενος δώσειν τοῖς πρώτοις ἐκτειχίσασι, καὶ τοῖς
ἄλλοις ὡς ἕκαστοι ἄξιοι εἶεν, ἀπετέλεσε τὸ τεῖχος ἀρ-
ξάμενος ἀπὸ ἠρινοῦ χρόνου πρὸ ὀπώρας. καὶ ἐποίησεν
ἐντὸς τοῦ τείχους ἕνδεκα μὲν πόλεις, πολλοὺς δὲ λι-
μένας, πολλὴν δὲ κἀγαθὴν σπόριμον, πολλὴν δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεφυτευμένην, παμπληθεῖς δὲ καὶ παγκάλας νομὰς
11 παντοδαποῖς κτήνεσι. ταῦτα δὲ πράξας διέβαινε πάλιν
εἰς τὴν Ἀσίαν.

Ἐπισκοπῶν δὲ τὰς πόλεις ἑώρα τὰ μὲν ἄλλα καλῶς ἐχούσας, Χίων δὲ φυγάδας ηὗρεν Ἀταρνέα ἔχοντας χωρίον ἰσχυρόν, καὶ ἐκ τούτου ὁρμωμένους φέροντας καὶ ἄγοντας τὴν Ἰωνίαν, καὶ ζῶντας ἐκ τούτου. πυθόμενος δὲ ὅτι πολὺς σῖτος ἐνῆν αὐτοῖς, περιστρατοπεδευσάμενος ἐπολιόρκει· καὶ ἐν ὀκτὼ μησὶ παραστησάμενος αὐτούς, καταστήσας ἐν αὐτῷ Δράκοντα Πελληνέα ἐπιμελητήν, καὶ κατασκευάσας ἐν τῷ χωρίῳ ἔκπλεω πάντα τὰ ἐπιτήδεια, ἵνα εἴη αὐτῷ καταγωγή, ὁπότε ἀφικνοῖτο, ἀπῆλθεν εἰς Ἔφεσον, ἣ ἀπέχει ἀπὸ Σάρδεων τριῶν ἡμερῶν ὁδόν.

12 Καὶ μέχρι τούτου τοῦ χρόνου ἐν εἰρήνῃ διῆγον
a.C. 397. Τισσαφέρνης τε καὶ Δερκυλίδας καὶ οἱ ταύτῃ Ἕλληνες καὶ οἱ βάρβαροι. ἐπεὶ δὲ ἀφικνούμενοι πρέσβεις εἰς Λακεδαίμονα ἀπὸ τῶν Ἰωνίδων πόλεων ἐδίδασκον ὅτι εἴη ἐπὶ Τισσαφέρνει, εἰ βούλοιτο, ἀφιέναι αὐτονόμους τὰς Ἑλληνίδας πόλεις· εἰ οὖν κακῶς πάσχοι Καρία, ἔνθαπερ ὁ Τισσαφέρνους οἶκος, οὕτως ἂν ἔφασαν τάχιστα νομίζειν αὐτὸν αὐτονόμους σφᾶς ἀφεῖναι· ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἔπεμψαν πρὸς Δερκυλίδαν, καὶ ἐκέλευον αὐτὸν διαβαίνειν σὺν τῷ στρατεύματι ἐπὶ Καρίαν καὶ Φάρακα τὸν ναύαρχον σὺν ταῖς ναυσὶ παραπλεῖν. οἱ μὲν δὴ ταῦτ' ἐποίουν.
13 ἐτύγχανε δὲ κατὰ τοῦτον τὸν χρόνον καὶ Φαρνάβαζος
πρὸς Τισσαφέρνην ἀφιγμένος, ἅμα μὲν ὅτι στρατηγὸς τῶν πάντων ἀπεδέδεικτο Τισσαφέρνης, ἅμα δὲ διαμαρτυρόμενος ὅτι ἕτοιμος εἴη κοινῇ πολεμεῖν καὶ συμμάχεσθαι καὶ συνεκβάλλειν τοὺς Ἕλληνας ἐκ τῆς βασιλέως· ἄλλως τε γὰρ ὑπεφθόνει τῆς στρατηγίας τῷ

Τισσαφέρνει καὶ τῆς Αἰολίδος χαλεπῶς ἔφερεν ἀπε-
στερημένος. ὁ δ᾽ ἀκούων, Πρῶτον μὲν τοίνυν, ἔφη,
διάβηθι σὺν ἐμοὶ ἐπὶ Καρίαν, ἔπειτα δὲ καὶ περὶ τού-
των βουλευσόμεθα. ἐπεὶ δ᾽ ἐκεῖ ἦσαν, ἔδοξεν αὐτοῖς 14
ἱκανὰς φυλακὰς εἰς τὰ ἐρύματα καταστήσαντας δια-
βαίνειν πάλιν ἐπὶ τὴν Ἰωνίαν. ὡς δ᾽ ἤκουσεν ὁ Δερ-
κυλίδας ὅτι πάλιν πεπερακότες εἰσὶ τὸν Μαίανδρον,
εἰπὼν τῷ Φάρακι ὡς ὀκνοίη μὴ ὁ Τισσαφέρνης καὶ
ὁ Φαρνάβαζος ἐρήμην οὖσαν καταθέοντες φέρωσι καὶ
ἄγωσι τὴν χώραν, διέβαινε καὶ αὐτός. πορευόμενοι δὲ
οὗτοι οὐδέν τι συντεταγμένῳ τῷ στρατεύματι, ὡς
προεληλυθότων τῶν πολεμίων εἰς τὴν Ἐφεσίαν, ἐξαί-
φνης ὁρῶσιν ἐκ τοῦ ἀντιπέρας σκοποὺς ἐπὶ τῶν μνημά-
των· καὶ ἀνταναβιβάσαντες εἰς τὰ παρ᾽ ἑαυτοῖς μνη- 15
μεῖα καὶ τύρσεις τινὰς καθορῶσι παρατεταγμένους ᾗ
αὐτοῖς ἦν ἡ ὁδὸς Κᾶράς τε λευκάσπιδας καὶ τὸ Περσι-
κὸν ὅσον ἐτύγχανε παρὸν στράτευμα καὶ τὸ Ἑλληνικὸν
ὅσον εἶχεν ἑκάτερος αὐτῶν καὶ τὸ ἱππικὸν μάλα πολύ,
τὸ μὲν Τισσαφέρνους ἐπὶ τῷ δεξιῷ κέρατι, τὸ δὲ Φαρ-
ναβάζου ἐπὶ τῷ εὐωνύμῳ. ὡς δὲ ταῦτα ᾔσθετο ὁ Δερ- 16
κυλίδας, τοῖς μὲν ταξιάρχοις καὶ τοῖς λοχαγοῖς εἶπε πα-
ρατάττεσθαι τὴν ταχίστην εἰς ὀκτώ, τοὺς δὲ πελτα-
στὰς ἐπὶ τὰ κράσπεδα ἑκατέρωθεν καθίστασθαι καὶ
τοὺς ἱππέας, ὅσους γε δὴ καὶ οἵους ἐτύγχανεν ἔχων·
αὐτὸς δὲ ἐθύετο. ὅσον μὲν δὴ ἦν ἐκ Πελοποννήσου 17
στράτευμα, ἡσυχίαν εἶχε καὶ παρεσκευάζετο ὡς μαχού-
μενον· ὅσοι δὲ ἦσαν ἀπὸ Πριήνης τε καὶ Ἀχιλλείου καὶ
ἀπὸ νήσων καὶ τῶν Ἰωνικῶν πόλεων, οἱ μέν τινες κα-
ταλιπόντες ἐν τῷ σίτῳ τὰ ὅπλα ἀπεδίδρασκον· καὶ γὰρ
ἦν βαθὺς ὁ σῖτος ἐν τῷ Μαιάνδρου πεδίῳ· ὅσοι δὲ καὶ
ἔμενον, δῆλοι ἦσαν οὐ μενοῦντες. τὸν μὲν οὖν Φαρ- 18
νάβαζον ἐξηγγέλλετο μάχεσθαι κελεύειν· ὁ μέντοι Τισ-

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

σαφέρνης τό τε Κύρειον στράτευμα καταλογιζόμενος
ὡς ἐπολέμησεν αὐτοῖς καὶ τούτῳ πάντας νομίζων ὁμοί-
ους εἶναι τοὺς Ἕλληνας, οὐκ ἐβούλετο μάχεσθαι, ἀλλὰ
πέμψας πρὸς Δερκυλίδαν εἶπεν ὅτι εἰς λόγους βούλοιτο
αὐτῷ ἀφικέσθαι. καὶ ὁ Δερκυλίδας λαβὼν τοὺς κρα-
τίστους τὰ εἴδη τῶν περὶ αὐτὸν καὶ ἱππέων καὶ πεζῶν
προῆλθε πρὸς τοὺς ἀγγέλους, καὶ εἶπεν, Ἀλλὰ παρε-
σκευάσμην μὲν ἔγωγε μάχεσθαι, ὡς ὁρᾶτε· ἐπεὶ μέν-
τοι ἐκεῖνος βούλεται εἰς λόγους ἀφικέσθαι, οὐδ' ἐγὼ
ἀντιλέγω. εἰ μέντοι ταῦτα δεῖ ποιεῖν, πιστὰ καὶ ὁμή-
19 ρους δοτέον καὶ ληπτέον. δόξαντα δὲ ταῦτα καὶ πε-
ρανθέντα, τὰ μὲν στρατεύματα ἀπῆλθε, τὸ μὲν βαρ-
βαρικὸν εἰς Τράλλεις τῆς Καρίας, τὸ δ' Ἑλληνικὸν
εἰς Λεύκοφρυν, ἔνθα ἦν Ἀρτέμιδός τε ἱερὸν μάλα
ἅγιον καὶ λίμνη πλέον ἢ σταδίου ὑπόψαμμος ἀέναος
ποτίμου καὶ θερμοῦ ὕδατος. καὶ τότε μὲν ταῦτα
ἐπράχθη· τῇ δ' ὑστεραίᾳ εἰς τὸ συγκείμενον χωρίον
ἦλθον, καὶ ἔδοξεν αὐτοῖς πυθέσθαι ἀλλήλων ἐπὶ τί-
20 σιν ἂν τὴν εἰρήνην ποιήσαιντο. ὁ μὲν δὴ Δερκυλίδας
εἶπεν, εἰ αὐτονόμους ἐῴη βασιλεὺς τὰς Ἑλληνίδας
πόλεις, ὁ δὲ Τισσαφέρνης καὶ Φαρνάβαζος, εἰ ἐξέλθοι
τὸ Ἑλληνικὸν στράτευμα ἐκ τῆς χώρας καὶ οἱ Λακε-
δαιμονίων ἁρμοσταὶ ἐκ τῶν πόλεων. ταῦτα δ' εἰπόν-
τες ἀλλήλοις σπονδὰς ἐποιήσαντο, ἕως ἀπαγγελθείη
τὰ λεχθέντα Δερκυλίδᾳ μὲν εἰς Λακεδαίμονα, Τισ-
σαφέρνει δὲ ἐπὶ βασιλέα.

21 Τούτων δὲ πραττομένων ἐν τῇ Ἀσίᾳ ὑπὸ Δερκυ-
B.C. 401. λίδα, Λακεδαιμόνιοι κατὰ τὸν αὐτὸν χρόνον, πάλαι
ὀργιζόμενοι τοῖς Ἠλείοις καὶ ὅτι ἐποιήσαντο συμμαχίαν
πρὸς Ἀθηναίους καὶ Ἀργείους καὶ Μαντινέας, καὶ ὅτι
δίκην φάσκοντες καταδεδικάσθαι αὐτῶν ἐκώλυον καὶ
τοῦ ἱππικοῦ καὶ τοῦ γυμνικοῦ ἀγῶνος, καὶ οὐ μόνοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτ' ἤρκει, ἀλλὰ καὶ Λίχα παραδόντος Θηβαίοις τὸ
ἅρμα, ἐπεὶ ἐκηρύττοντο νικῶντες, ὅτε εἰσῆλθε Λίχας
στεφανώσων τὸν ἡνίοχον, μαστιγοῦντες αὐτόν, ἄνδρα
γέροντα, ἐξήλασαν· τούτων δ' ὕστερον καὶ Ἄγιδος 22
πεμφθέντος θῦσαι τῷ Διὶ κατὰ μαντείαν τινὰ ἐκώ-
λυον οἱ Ἠλεῖοι μὴ προσεύχεσθαι νίκην πολέμου, λέ-
γοντες ὡς καὶ τὸ ἀρχαῖον εἴη οὕτω νόμιμον, μὴ χρη-
στηριάζεσθαι τοὺς Ἕλληνας ἐφ' Ἑλλήνων πολέμῳ·
ὥστε ἄθυτος ἀπῆλθεν. ἐκ τούτων οὖν πάντων ὀργι- 23
ζομένοις ἔδοξε τοῖς ἐφόροις καὶ τῇ ἐκκλησίᾳ σωφρονί-
σαι αὐτούς. πέμψαντες οὖν πρέσβεις εἰς Ἦλιν εἶπον
ὅτι τοῖς τέλεσι τῶν Λακεδαιμονίων δίκαιον δοκοίη εἶ-
ναι ἀφιέναι αὐτοὺς τὰς περιοικίδας πόλεις αὐτονόμους.
ἀποκριναμένων δὲ τῶν Ἠλείων ὅτι οὐ ποιήσοιεν ταῦ-
τα, ἐπιληίδας γὰρ ἔχοιεν τὰς πόλεις, φρουρὰν ἔφηναν
οἱ ἔφοροι. ἄγων δὲ τὸ στράτευμα Ἆγις ἐνέβαλε διὰ τῆς
Ἀχαΐας εἰς τὴν Ἠλείαν κατὰ Λάρισον. ἄρτι δὲ τοῦ 24
στρατεύματος ὄντος ἐν τῇ πολεμίᾳ καὶ κοπτομένης τῆς
χώρας, σεισμὸς ἐπιγίγνεται· ὁ δ' Ἆγις θεῖον ἡγησάμε-
νος ἐξελθὼν πάλιν ἐκ τῆς χώρας διαφῆκε τὸ στράτευ-
μα. ἐκ δὲ τούτου οἱ Ἠλεῖοι πολὺ θρασύτεροι ἦσαν, καὶ
διεπρεσβεύοντο εἰς τὰς πόλεις, ὅσας ᾔδεσαν δυσμενεῖς
τοῖς Λακεδαιμονίοις οὔσας. περιόντι δὲ τῷ ἐνιαυτῷ φαί- 25
νουσι πάλιν οἱ ἔφοροι φρουρὰν ἐπὶ τὴν Ἦλιν, καὶ συν-
εστρατεύοντο τῷ Ἄγιδι πλὴν Βοιωτῶν καὶ Κορινθίων
οἵ τε ἄλλοι πάντες σύμμαχοι καὶ οἱ Ἀθηναῖοι. ἐμβαλόν-
τος δὲ τοῦ Ἄγιδος δι' Αὐλῶνος, εὐθὺς μὲν Λεπρεᾶται
ἀποστάντες τῶν Ἠλείων προσεχώρησαν αὐτῷ, εὐθὺς
δὲ Μακίστιοι, ἐχόμενοι δ' Ἐπιταλιεῖς. διαβαίνοντι δὲ
τὸν ποταμὸν προσεχώρουν Λετρῖνοι καὶ Ἀμφίδολοι καὶ
Μαργανεῖς. ἐκ δὲ τούτου ἐλθὼν εἰς Ὀλυμπίαν ἔθυε 26
τῷ Διὶ τῷ Ὀλυμπίῳ· κωλύειν δὲ οὐδεὶς ἔτι ἐπειρᾶτο. a. C. υα

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

θύσας δὲ πρὸς τὸ ἄστυ ἐπορεύετο, κόπτων καὶ κάων
τὴν χώραν, καὶ ὑπέρπολλα μὲν κτήνη, ὑπέρπολλα δὲ
ἀνδράποδα ἡλίσκετο ἐκ τῆς χώρας· ὥστε ἀκούοντες
καὶ ἄλλοι πολλοὶ τῶν Ἀρκάδων καὶ Ἀχαιῶν ἑκόντες
ἦσαν συστρατευσόμενοι καὶ μετεῖχον τῆς ἁρπαγῆς.
καὶ ἐγένετο αὕτη ἡ στρατεία ὥσπερ ἐπισιτισμὸς τῇ Πε-
27 λοποννήσῳ. ἐπεὶ δὲ ἀφίκετο πρὸς τὴν πόλιν, τὰ μὲν
προάστεια καὶ τὰ γυμνάσια καλὰ ὄντα ἐλυμαίνετο, τὴν
δὲ πόλιν, ἀτείχιστος γὰρ ἦν, ἐνόμισαν αὐτὸν μὴ βού-
λεσθαι μᾶλλον ἢ μὴ δύνασθαι ἑλεῖν. δῃουμένης δὲ τῆς
χώρας, καὶ οὔσης τῆς στρατιᾶς περὶ Κυλλήνην, βουλό-
μενοι οἱ περὶ Ξενίαν τὸν λεγόμενον μεδίμνῳ ἀπομε-
τρήσασθαι τὸ παρὰ τοῦ πατρὸς ἀργύριον δι' αὐτῶν
προσχωρῆσαι τοῖς Λακεδαιμονίοις, ἐκπεσόντες ἐξ οἰ-
κίας ξίφη ἔχοντες σφαγὰς ποιοῦσι, καὶ ἄλλους τέ
τινας ἀποκτείνουσι καὶ ὅμοιόν τινα Θρασυδαίῳ ἀπο-
κτείναντες τῷ τοῦ δήμου προστάτῃ ᾤοντο Θρασυ-
δαῖον ἀπεκτονέναι, ὥστε ὁ μὲν δῆμος παντελῶς
28 κατηθύμησε καὶ ἡσυχίαν εἶχεν, οἱ δὲ σφαγεῖς πάντ'
ᾤοντο πεπραγμένα εἶναι, καὶ οἱ ὁμογνώμονες αὐ-
τοῖς ἐξεφέροντο τὰ ὅπλα εἰς τὴν ἀγοράν. ὁ δὲ Θρα-
συδαῖος ἔτι καθεύδων ἐτύγχανεν οὗπερ ἐμεθύσθη.
ὡς δὲ ᾔσθετο ὁ δῆμος ὅτι οὐ τέθνηκεν ὁ Θρασυ-
δαῖος, περιεπλήσθη ἡ οἰκία ἔνθεν καὶ ἔνθεν, ὥσπερ
29 ὑπὸ ἑσμοῦ μελιττῶν ὁ ἡγεμών. ἐπειδὴ δὲ ἡγεῖτο ὁ Θρα-
συδαῖος ἀναλαβὼν τὸν δῆμον, γενομένης μάχης ἐκρά-
τησεν ὁ δῆμος, ἐξέπεσον δὲ πρὸς τοὺς Λακεδαιμονίους
οἱ ἐγχειρήσαντες ταῖς σφαγαῖς. ἐπεὶ δ' αὖ ὁ Ἆγις ἀπιὼν
διέβη πάλιν τὸν Ἀλφειόν, φρουροὺς καταλιπὼν ἐν
Ἐπιταλίῳ πλησίον τοῦ Ἀλφειοῦ καὶ Λύσιππον ἁρμο-
στὴν καὶ τοὺς ἐξ Ἤλιδος φυγάδας, τὸ μὲν στράτευμα
30 διῆκεν, αὐτὸς δὲ οἴκαδε ἀπῆλθε. καὶ τὸ μὲν λοιπὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέρος καὶ τὸν ἐπιόντα χειμῶνα ὑπὸ τοῦ Λυσίππου καὶ
τῶν περὶ αὐτὸν ἐφέρετο καὶ ἤγετο ἡ τῶν Ἠλείων χώ-
ρα. τοῦ δ' ἐπιόντος θέρους πέμψας Θρασυδαῖος εἰς a.C. 399.
Λακεδαίμονα συνεχώρησε Φέας τε τὸ τεῖχος περιελεῖν
καὶ Κυλλήνης καὶ τὰς Τριφυλίδας πόλεις ἀφεῖναι Φρί-
ξαν καὶ Ἐπιτάλιον καὶ Λετρίνους καὶ Ἀμφιδόλους καὶ
Μαργανέας, πρὸς δὲ ταύταις καὶ Ἀκρωρείους καὶ Λα-
σιῶνα τὸν ὑπ' Ἀρκάδων ἀντιλεγόμενον. Ἤπειον μέν-
τοι τὴν μεταξὺ πόλιν Ἡραίας καὶ Μακίστου ἠξίουν οἱ
Ἠλεῖοι ἔχειν· πρίασθαι γὰρ ἔφασαν τὴν χώραν ἅπασαν
παρὰ τῶν τότε ἐχόντων τὴν πόλιν τριάκοντα ταλάν-
των, καὶ τὸ ἀργύριον δεδωκέναι. οἱ δὲ Λακεδαιμόνιοι 31
γνόντες μηδὲν δικαιότερον εἶναι βίᾳ πριαμένους ἢ βίᾳ
ἀφελομένους παρὰ τῶν ἡττόνων λαμβάνειν, ἀφιέναι
καὶ ταύτην ἠνάγκασαν· τοῦ μέντοι προεστάναι τοῦ
Διὸς τοῦ Ὀλυμπίου ἱεροῦ, καίπερ οὐκ ἀρχαίου Ἠλείοις
ὄντος, οὐκ ἀπήλασαν αὐτούς, νομίζοντες τοὺς ἀντι-
ποιουμένους χωρίτας εἶναι καὶ οὐχ ἱκανοὺς προεστά-
ναι. τούτων δὲ συγχωρηθέντων εἰρήνη τε γίγνεται καὶ
συμμαχία Ἠλείων πρὸς Λακεδαιμονίους. καὶ οὕτω
μὲν δὴ ὁ Λακεδαιμονίων καὶ Ἠλείων πόλεμος
ἔληξε.

Μετὰ δὲ τοῦτο Ἆγις ἀφικόμενος εἰς Δελφοὺς καὶ III
τὴν δεκάτην ἀποθύσας, πάλιν ἀπιὼν ἔκαμεν ἐν Ἡραίᾳ,
γέρων ἤδη ὤν, καὶ ἀπηνέχθη μὲν εἰς Λακεδαίμονα ἔτι
ζῶν, ἐκεῖ δὲ ταχὺ ἐτελεύτησε· καὶ ἔτυχε σεμνοτέρας ἢ
κατὰ ἄνθρωπον ταφῆς. ἐπεὶ δὲ ὡσιώθησαν αἱ ἡμέραι,
καὶ ἔδει βασιλέα καθίστασθαι, ἀντέλεγον περὶ βασιλείας
Λεωτυχίδης, υἱὸς φάσκων Ἄγιδος εἶναι, Ἀγησίλαος δὲ
ἀδελφός. εἰπόντος δὲ τοῦ Λεωτυχίδου, Ἀλλ' ὁ νόμος, 2
ὦ Ἀγησίλαε, οὐκ ἀδελφὸν ἀλλ' υἱὸν βασιλέως βασιλεύ-
ειν κελεύει· εἰ δὲ υἱὸς ὢν μὴ τυγχάνοι, ὁ ἀδελφὸς κα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς βασιλεύοι. Ἐμὲ ἂν δέοι βασιλεύειν. Πῶς, ἐμοῦ γε
ὄντος; Ὅτι ὃν σὺ καλεῖς πατέρα, οὐκ ἔφη σε εἶναι
ἑαυτοῦ. Ἀλλ' ἡ πολὺ κάλλιον ἐκείνου εἰδυῖα μήτηρ καὶ
νῦν ἔτι φησίν. Ἀλλ' ὁ Ποτειδὰν ὡς μάλα σευ ψευδο-
μένω κατεμάνυσεν ἐκ τῶ θαλάμω ἐξελάσας σεισμῷ εἰς
τὸ φανερὸν τὸν σὸν πατέρα. συνεμαρτύρησε δὲ ταῦτ'
αὐτῷ καὶ ὁ ἀληθέστατος λεγόμενος χρόνος εἶναι· ἀφ'
οὗ γάρ τοι ἔφυγε καὶ οὐκ ἐφάνη ἐν τῷ θαλάμῳ, δεκάτῳ
3 μηνὶ ἐγένου. οἱ μὲν τοιαῦτ' ἔλεγον. Διοπείθης δέ,
μάλα χρησμολόγος ἀνήρ, Λεωτυχίδῃ συναγορεύων εἶ-
πεν ὡς καὶ Ἀπόλλωνος χρησμὸς εἴη φυλάξασθαι τὴν
χωλὴν βασιλείαν. Λύσανδρος δὲ πρὸς αὐτὸν ὑπὲρ Ἀγη-
σιλάου ἀντεῖπεν ὡς οὐκ οἴοιτο τὸν θεὸν τοῦτο κελεύειν
φυλάξασθαι, μὴ προσπταίσας τις χωλεύσαι, ἀλλὰ μᾶλ-
λον μὴ οὐκ ὢν τοῦ γένους βασιλεύσειε. παντάπασι
γὰρ ἂν χωλὴν εἶναι τὴν βασιλείαν ὁπότε μὴ οἱ
4 ἀφ' Ἡρακλέους τῆς πόλεως ἡγοῖντο. τοιαῦτα δὲ
ἀκούσασα ἡ πόλις ἀμφοτέρων Ἀγησίλαον εἵλοντο
βασιλέα.

Οὔπω δ' ἐνιαυτὸν ὄντος ἐν τῇ βασιλείᾳ Ἀγησιλάου,
θύοντος αὐτοῦ τῶν τεταγμένων τινὰ θυσιῶν ὑπὲρ τῆς
πόλεως εἶπεν ὁ μάντις ὅτι ἐπιβουλήν τινα τῶν δεινοτά-
των φαίνοιεν οἱ θεοί. ἐπεὶ δὲ πάλιν ἔθυεν, ἔτι δει-
νότερα ἔφη τὰ ἱερὰ φαίνεσθαι. τὸ τρίτον δὲ θύον-
τος, εἶπεν, Ὦ Ἀγησίλαε, ὥσπερ εἰ ἐν αὐτοῖς εἴημεν
τοῖς πολεμίοις, οὕτω μοι σημαίνεται. ἐκ δὲ τούτου
θύοντες καὶ τοῖς ἀποτροπαίοις καὶ τοῖς σωτῆρσι, καὶ
μόλις καλλιερήσαντες, ἐπαύσαντο. ληγούσης δὲ τῆς
θυσίας ἐντὸς πένθ' ἡμερῶν καταγορεύει τις πρὸς τοὺς
ἐφόρους ἐπιβουλὴν καὶ τὸν ἀρχηγὸν τοῦ πράγματος
5 Κινάδωνα. οὗτος δ' ἦν καὶ τὸ εἶδος νεανίσκος καὶ
τὴν ψυχὴν εὔρωστος, οὐ μέντοι τῶν ὁμοίων. ἐρομέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νων δὲ τῶν ἐφόρων πῶς φαίη τὴν πρᾶξιν ἔσεσθαι, εἶπεν ὁ εἰσαγγείλας ὅτι ὁ Κινάδων ἀγαγὼν αὐτὸν ἐπὶ τὸ ἔσχατον τῆς ἀγορᾶς ἀριθμῆσαι κελεύοι ὁπόσοι εἶεν Σπαρτιᾶται ἐν τῇ ἀγορᾷ. καὶ ἐγώ, ἔφη, ἀριθμήσας βασιλέα τε καὶ ἐφόρους καὶ γέροντας καὶ ἄλλους ὡς τετταράκοντα, ἠρόμην Τί δή με τούτους, ὦ Κινάδων, ἐκέλευσας ἀριθμῆσαι; ὁ δὲ εἶπε, Τούτους, ἔφη, νόμιζέ σοι πολεμίους εἶναι, τοὺς δ' ἄλλους πάντας συμμάχους πλέον ἢ τετρακισχιλίους ὄντας τοὺς ἐν τῇ ἀγορᾷ. ἐπιδεικνύναι δ' αὐτὸν ἔφη ἐν ταῖς ὁδοῖς ἔνθα μὲν ἕνα, ἔνθα δὲ δύο πολεμίους ἀπαντῶντας, τοὺς δ' ἄλλους ἅπαντας συμμάχους· καὶ ὅσοι δὲ ἐν τοῖς χωρίοις Σπαρτιατῶν τύχοιεν ὄντες, ἕνα μὲν πολέμιον τὸν δεσπότην, συμμάχους δ' ἐν ἑκάστῳ πολλούς. ἐρωτών- 6
των δὲ τῶν ἐφόρων πόσους φαίη καὶ τοὺς συνειδότας τὴν πρᾶξιν εἶναι, λέγειν καὶ περὶ τούτου ἔφη αὐτὸν ὡς σφίσι μὲν τοῖς προστατεύουσιν οὐ πάνυ πολλοί, ἀξιόπιστοι δὲ συνειδεῖεν· αὐτοὶ μέντοι πᾶσιν ἔφασαν συνειδέναι καὶ Εἵλωσι καὶ νεοδαμώδεσι καὶ τοῖς ὑπομείοσι καὶ τοῖς περιοίκοις· ὅπου γὰρ ἐν τούτοις τις λόγος γένοιτο περὶ Σπαρτιατῶν, οὐδένα δύνασθαι κρύπτειν τὸ μὴ οὐχ ἡδέως ἂν καὶ ὠμῶν ἐσθίειν αὐτῶν. πάλιν οὖν 7
ἐρωτώντων, Ὅπλα δὲ πόθεν ἔφασαν λήψεσθαι; τὸν δ' εἰπεῖν ὅτι οἱ μὲν δήπου συντεταγμένοι ἡμῶν αὐτοὶ ὅπλα κεκτήμεθα, τῷ δ' ὄχλῳ, ἀγαγόντα εἰς τὸν σίδηρον ἐπιδεῖξαι αὐτὸν ἔφη πολλὰς μὲν μαχαίρας, πολλὰ δὲ ξίφη, πολλοὺς δὲ ὀβελίσκους, πολλοὺς δὲ πελέκεις καὶ ἀξίνας, πολλὰ δὲ δρέπανα. λέγειν δ' αὐτὸν ἔφη ὅτι καὶ ταῦτα ὅπλα πάντ' εἴη ὁπόσοις ἄνθρωποι καὶ γῆν καὶ ξύλα καὶ λίθους ἐργάζονται, καὶ τῶν ἄλλων δὲ τεχνῶν τὰς πλείστας τὰ ὄργανα ὅπλα ἔχειν ἀρκοῦντα, ἄλλως τε καὶ πρὸς ἀόπλους. πά-

λιν αὖ ἐρωτώμενος ἐν τίνι χρόνῳ μέλλοι ταῦτα πράτ-
τεσθαι, εἶπεν ὅτι ἐπιδημεῖν οἱ παρηγγελμένον εἴη.
8 ἀκούσαντες ταῦτα οἱ ἔφοροι ἐσκεμμένα τε λέγειν ἡγή-
σαντο αὐτὸν καὶ ἐξεπλάγησαν, καὶ οὐδὲ τὴν μικρὰν κα-
λουμένην ἐκκλησίαν συλλέξαντες, ἀλλὰ συλλεγόμενοι
τῶν γερόντων ἄλλοι ἄλλοθι ἐβουλεύσαντο πέμψαι τὸν
Κινάδωνα εἰς Αὐλῶνα σὺν ἄλλοις τῶν νεωτέρων καὶ
κελεῦσαι ἥκειν ἄγοντα τῶν Αὐλωνιτῶν τέ τινας καὶ
τῶν Εἱλώτων τοὺς ἐν τῇ σκυτάλῃ γεγραμμένους. ἀγα-
γεῖν δὲ ἐκέλευον καὶ τὴν γυναῖκα, ἣ καλλίστη μὲν αὐ-
τόθι ἐλέγετο εἶναι, λυμαίνεσθαι δ' ἐδόκει τοὺς ἀφικνου-
μένους Λακεδαιμονίων καὶ πρεσβυτέρους καὶ νεωτέ-
9 ρους. ὑπηρετήκει δὲ καὶ ἄλλ' ἤδη ὁ Κινάδων τοῖς ἐφό-
ροις τοιαῦτα. καὶ τότε δὴ ἔδοσαν τὴν σκυτάλην ἐκείνῳ,
ἐν ᾗ γεγραμμένοι ἦσαν οὓς ἔδει συλληφθῆναι. ἐρομέ-
νου δὲ τίνας ἄγοι μεθ' ἑαυτοῦ τῶν νέων, Ἴθι, ἔφασαν,
καὶ τὸν πρεσβύτατον τῶν ἱππαγρετῶν κέλευέ σοι συμ-
πέμψαι ἓξ ἢ ἑπτὰ οἳ ἂν τύχωσι παρόντες. ἐμεμελήκει
δὲ αὐτοῖς ὅπως ὁ ἱππαγρέτης εἰδείη οὓς δέοι πέμπειν,
καὶ οἱ πεμπόμενοι εἰδεῖεν ὅτι Κινάδωνα δέοι συλλαβεῖν.
εἶπον δὲ καὶ τοῦτο τῷ Κινάδωνι, ὅτι πέμψοιεν τρεῖς
ἁμάξας, ἵνα μὴ πεζοὺς ἄγωσι τοὺς ληφθέντας, ἀφανί-
ζοντες ὡς ἐδύναντο μάλιστα ὅτι ἐφ' ἕνα ἐκεῖνον ἔπεμ-
10 πον. ἐν δὲ τῇ πόλει οὐ συνελάμβανον αὐτόν, ὅτι το
πρᾶγμα οὐκ ᾔδεσαν ὁπόσον τὸ μέγεθος εἴη, καὶ ἀκοῦ-
σαι πρῶτον ἐβούλοντο τοῦ Κινάδωνος οἵτινες εἶεν οἱ
συμπράττοντες, πρὶν αἰσθέσθαι αὐτοὺς ὅτι μεμήνυν-
ται, ἵνα μὴ ἀποδρῶσιν. ἔμελλον δὲ οἱ συλλαβόντες αὐ-
τὸν μὲν κατέχειν, τοὺς δὲ συνειδότας πυθόμενοι αὐτοῦ
γράψαντες ἀποπέμπειν τὴν ταχίστην τοῖς ἐφόροις. οὕ-
τω δ' ἔσχον οἱ ἔφοροι πρὸς τὸ πρᾶγμα, ὥστε καὶ μόραν
11 ἱππέων ἔπεμψαν τοῖς ἐπ' Αὐλῶνος. ἐπεὶ δ' εἰλημμένου

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ ἀνδρὸς ἧκεν ἱππεὺς φέρων τὰ ὀνόματα ὧν ὁ Κινάδων ἀπέγραψε, παραχρῆμα τόν τε μάντιν Τισαμενὸν καὶ τοὺς ἄλλους τοὺς ἐπικαιριωτάτους συνελάμβανον. ὡς δ' ἀνήχθη ὁ Κινάδων καὶ ἠλέγχετο, καὶ ὡμολόγει πάντα καὶ τοὺς συνειδότας ἔλεγε, τέλος αὐτὸν ἤροντο τί καὶ βουλόμενος ταῦτα πράττοι. ὁ δ' ἀπεκρίνατο, μηδενὸς ἥττων εἶναι ἐν Λακεδαίμονι. ἐκ τούτου μέντοι ἤδη δεδεμένος καὶ τὼ χεῖρε καὶ τὸν τράχηλον ἐν κλοιῷ μαστιγούμενος καὶ κεντούμενος αὐτός τε καὶ οἱ μετ' αὐτοῦ κατὰ τὴν πόλιν περιήγοντο. καὶ οὗτοι μὲν δὴ τῆς δίκης ἔτυχον.

Μετὰ δὲ ταῦτα Ἡρώδας τις Συρακόσιος ἐν Φοι- IV
νίκῃ ὢν μετὰ ναυκλήρου τινός, καὶ ἰδὼν τριήρεις Φοινίσσας, τὰς μὲν καταπλεούσας ἄλλοθεν, τὰς δὲ καὶ αὐτοῦ πεπληρωμένας, τὰς δὲ καὶ ἔτι κατασκευαζομένας, προσακούσας δὲ καὶ τοῦτο, ὅτι τριακοσίας αὐτὰς δέοι γενέσθαι, ἐπιβὰς ἐπὶ τὸ πρῶτον ἀναγόμενον πλοῖον εἰς τὴν Ἑλλάδα ἐξήγγειλε τοῖς Λακεδαιμονίοις ὡς βασιλέως καὶ Τισσαφέρνους τὸν στόλον τοῦτον παρασκευαζομένων· ὅποι δὲ οὐδὲν ἔφη εἰδέναι. ἀνεπτερωμένων 2
δὲ τῶν Λακεδαιμονίων καὶ τοὺς συμμάχους συναγόντων καὶ βουλευομένων τί χρὴ ποιεῖν, Λύσανδρος νομίζων καὶ τῷ ναυτικῷ πολὺ περιέσεσθαι τοὺς Ἕλληνας καὶ τὸ πεζὸν λογιζόμενος ὡς ἐσώθη τὸ μετὰ Κύρου ἀναβάν, πείθει τὸν Ἀγησίλαον ὑποστῆναι, ἢν αὐτῷ δῶσι τριάκοντα μὲν Σπαρτιατῶν, εἰς δισχιλίους δὲ τῶν νεοδαμωδῶν, εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, στρατεύεσθαι εἰς τὴν Ἀσίαν. πρὸς δὲ τούτῳ τῷ λογισμῷ καὶ αὐτὸς συνεξελθεῖν αὐτῷ ἐβούλετο, ὅπως τὰς δεκαρχίας τὰς κατασταθείσας ὑπ' ἐκείνου ἐν ταῖς πόλεσιν, ἐκπεπτωκυίας δὲ διὰ τοὺς ἐφόρους, οἳ τὰς πατρίους πολιτείας παρήγγειλαν, πάλιν καταστήσειε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

3 μετ' Ἀγησιλάου. ἐπαγγειλαμένου δὲ τοῦ Ἀγησιλάο
τὴν στρατείαν, διδόασί τε οἱ Λακεδαιμόνιοι ὅσαπε
ᾔτησε καὶ ἑξαμήνου σῖτον. ἐπεὶ δὲ θυσάμενος ὅσα ἔδε
καὶ τἆλλα καὶ τὰ διαβατήρια ἐξῆλθε, ταῖς μὲν πόλεσ
διαπέμψας ἀγγέλους προεῖπεν ὅσους τε δέοι ἑκασταχό-
θεν πέμπεσθαι καὶ ὅποι παρεῖναι, αὐτὸς δ' ἐβουλήθη
ἐλθὼν θῦσαι ἐν Αὐλίδι, ἔνθαπερ ὁ Ἀγαμέμνων ὅτ' εἰ
4 Τροίαν ἔπλει ἐθύετο. ὡς δ' ἐκεῖ ἐγένετο, πυθόμενο
οἱ βοιώταρχοι ὅτι θύοι, πέμψαντες ἱππέας τοῦ τε λοι-
ποῦ εἶπον μὴ θύειν καὶ οἷς ἐνέτυχον ἱεροῖς τεθυμένοι
διέρριψαν ἀπὸ τοῦ βωμοῦ. ὁ δ' ἐπιμαρτυράμενος τοὺς
θεοὺς καὶ ὀργιζόμενος, ἀναβὰς ἐπὶ τὴν τριήρη ἀπέπλει.
ἀφικόμενος δὲ ἐπὶ Γεραιστόν, καὶ συλλέξας ἐκεῖ ὅσο
ἐδύνατο τοῦ στρατεύματος πλεῖστον, εἰς Ἔφεσον τὸ
στόλον ἐποιεῖτο.
5 Ἐπεὶ δὲ ἐκεῖσε ἀφίκετο, πρῶτον μὲν Τισσαφέρνης
a.C. 396 πέμψας ἤρετο αὐτὸν τίνος δεόμενος ἥκοι. ὁ δ' εἶπεν
αὐτονόμους καὶ τὰς ἐν τῇ Ἀσίᾳ πόλεις εἶναι, ὥσ-
περ καὶ τὰς ἐν τῇ παρ' ἡμῖν Ἑλλάδι. πρὸς ταῦτ' εἶ-
πεν ὁ Τισσαφέρνης, Εἰ τοίνυν θέλεις σπείσασθαι ἕως
ἂν ἐγὼ πρὸς βασιλέα πέμψω, οἶμαι ἄν σε ταῦτα δια-
πραξάμενον ἀποπλεῖν, εἰ βούλοιο. Ἀλλὰ βουλοίμην
ἄν, ἔφη, εἰ μὴ οἰοίμην γε ὑπὸ σοῦ ἐξαπατᾶσθαι. ἀλλ'
ἔξεστιν, ἔφη, σοι τούτων πίστιν [δόντα καὶ παρ' ἐμοῦ
πίστιν] λαβεῖν ἦ μὴν ἀδόλως σοῦ πράττοντος ταῦτα
ἡμᾶς μηδὲν τῆς σῆς ἀρχῆς ἀδικήσειν ἐν ταῖς σπονδαῖς.
6 ἐπὶ τούτοις ῥηθεῖσι Τισσαφέρνης μὲν ὤμοσε τοῖς πεμ-
φθεῖσι πρὸς αὐτὸν Ἡριππίδᾳ καὶ Δερκυλίδᾳ καὶ Με-
γίλλῳ ἦ μὴν πράξειν ἀδόλως τὴν εἰρήνην, ἐκεῖνοι δὲ
ἀντώμοσαν ὑπὲρ Ἀγησιλάου Τισσαφέρνει ἦ μὴν ταῦτα
πράττοντος αὐτοῦ ἐμπεδώσειν τὰς σπονδάς. ὁ μὲν δὴ
Τισσαφέρνης ἃ ὤμοσεν εὐθὺς ἐψεύσατο· ἀντὶ γὰρ τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰρήνην ἔχειν στράτευμα πολὺ παρὰ βασιλέως πρὸς
ᾧ εἶχε πρόσθεν μετεπέμπετο. Ἀγησίλαος δέ, καίπερ
αἰσθανόμενος ταῦτα, ὅμως ἐπέμενε ταῖς σπονδαῖς.
Ὡς δὲ ἡσυχίαν τε καὶ σχολὴν ἔχων ὁ Ἀγησίλαος 7
διέτριβεν ἐν τῇ Ἐφέσῳ, ἅτε συντεταραγμένων ἐν ταῖς
πόλεσι τῶν πολιτειῶν, καὶ οὔτε δημοκρατίας ἔτι οὔσης,
ὥσπερ ἐπ' Ἀθηναίων, οὔτε δεκαρχίας, ὥσπερ ἐπὶ Λυ-
σάνδρου, ἅτε γιγνώσκοντες πάντες τὸν Λύσανδρον,
προσέκειντο αὐτῷ ἀξιοῦντες διαπράττεσθαι αὐτὸν παρ'
Ἀγησιλάου ὧν ἐδέοντο· καὶ διὰ ταῦτα ἀεὶ παμπληθὴς
ὄχλος θεραπεύων αὐτὸν ἠκολούθει, ὥστε ὁ μὲν Ἀγησί-
λαος ἰδιώτης ἐφαίνετο, ὁ δὲ Λύσανδρος βασιλεύς. ὅτι 8
μὲν οὖν ἔμηνε καὶ τὸν Ἀγησίλαον ταῦτα, ἐδήλωσεν ὕστε-
ρον· οἵ γε μὴν ἄλλοι τριάκοντα ὑπὸ τοῦ φθόνου οὐκ
ἐσίγων, ἀλλ' ἔλεγον πρὸς τὸν Ἀγησίλαον ὡς παράνομα
ποιοίη Λύσανδρος τῆς βασιλείας ὀγκηρότερον διάγων.
ἐπεὶ δὲ καὶ ἤρξατο προσάγειν τινὰς τῷ Ἀγησιλάῳ ὁ
Λύσανδρος, πάντας οἷς γνοίη αὐτὸν συμπράττοντά τι
ἡττωμένους ἀπέπεμπεν. ὡς δ' ἀεὶ τὰ ἐναντία ὧν ἐβού-
λετο ἀπέβαινε τῷ Λυσάνδρῳ, ἔγνω δὴ τὸ γιγνόμενον·
καὶ οὔτε ἕπεσθαι ἑαυτῷ ἔτι εἴα ὄχλον τοῖς τε συμ-
πρᾶξαί τι δεομένοις σαφῶς ἔλεγεν ὅτι ἔλαττον ἕξοιεν,
εἰ αὐτὸς παρείη. βαρέως δὲ φέρων τῇ ἀτιμίᾳ, προσελ- 9
θὼν εἶπεν, Ὦ Ἀγησίλαε, μειοῦν μὲν ἄρα σύγε τοὺς
φίλους ἠπίστω. Ναὶ μὰ Δί', ἔφη, τούς γε βουλομέ-
νους ἐμοῦ μείζους φαίνεσθαι· τοὺς δέ γε αὔξοντας εἰ
μὴ ἐπισταίμην ἀντιτιμᾶν, αἰσχυνοίμην ἄν. καὶ ὁ Λύ-
σανδρος εἶπεν, Ἀλλ' ἴσως καὶ μᾶλλον εἰκότα σὺ ποιεῖς
ἢ ἐγὼ ἔπραττον. τάδε οὖν μοι ἐκ τοῦ λοιποῦ χάρισαι,
ὅπως ἂν μήτ' αἰσχύνωμαι ἀδυνατῶν παρὰ σοὶ μήτ'
ἐμποδών σοι ὦ, ἀπόπεμψόν ποί με. ὅπου γὰρ ἂν ὦ,
πειράσομαι ἐν καιρῷ σοι εἶναι. εἰπόντος δὲ ταῦτα 10

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἔδοξε καὶ τῷ Ἀγησιλάῳ οὕτω ποιῆσαι, καὶ πέμπει αὐτὸν ἐφ' Ἑλλησπόντου. ἐκεῖ δὲ ὁ Λύσανδρος αἰσθόμενος Σπιθριδάτην τὸν Πέρσην ἐλαττούμενόν τι ὑπὸ Φαρναβάζου, διαλέγεται αὐτῷ καὶ πείθει ἀποστῆναι ἔχοντα τούς τε παῖδας καὶ τὰ περὶ αὐτὸν χρήματα καὶ ἱππέας ὡς διακοσίους. καὶ τὰ μὲν ἄλλα κατέλιπεν ἐν Κυζίκῳ, αὐτὸν δὲ καὶ τὸν υἱὸν ἀναβιβασάμενος ἧκεν ἄγων πρὸς Ἀγησίλαον. ἰδὼν δὲ ὁ Ἀγησίλαος ἥσθη τε τῇ πράξει καὶ εὐθὺς ἀνεπυνθάνετο περὶ τῆς Φαρναβάζου χώρας τε καὶ ἀρχῆς.

11 Ἐπεὶ δὲ μέγα φρονήσας ὁ Τισσαφέρνης ἐπὶ τῷ καταβάντι στρατεύματι παρὰ βασιλέως προεῖπεν Ἀγησιλάῳ πόλεμον, εἰ μὴ ἀπίοι ἐκ τῆς Ἀσίας, οἱ μὲν ἄλλοι σύμμαχοι καὶ Λακεδαιμονίων οἱ παρόντες μάλα ἀχθεσθέντες φανεροὶ ἐγένοντο, νομίζοντες ἐλάττω τὴν παροῦσαν εἶναι δύναμιν Ἀγησιλάῳ τῆς βασιλέως παρασκευῆς, Ἀγησίλαος δὲ μάλα φαιδρῷ τῷ προσώπῳ ἀπαγγεῖλαι Τισσαφέρνει τοὺς πρέσβεις ἐκέλευσεν ὡς πολλὴν χάριν αὐτῷ ἔχοι, ὅτι ἐπιορκήσας αὐτὸς μὲν πολεμίους τοὺς θεοὺς ἐκτήσατο, τοῖς δ' Ἕλλησι συμμάχους ἐποίησεν. ἐκ δὲ τούτου εὐθὺς τοῖς μὲν στρατιώταις παρήγγειλε συσκευάζεσθαι ὡς εἰς στρατείαν, ταῖς δὲ πόλεσιν εἰς ἃς ἀνάγκη ἦν ἀφικνεῖσθαι στρατευομένῳ ἐπὶ Καρίαν προεῖπεν ἀγορὰν παρασκευάζειν. ἐπέστειλε δὲ καὶ Ἴωσι καὶ Αἰολεῦσι καὶ Ἑλλησποντίοις πέμπειν πρὸς ἑαυτὸν εἰς Ἔφεσον τοὺς συστρατευσομέ-
12 νους. ὁ δὲ Τισσαφέρνης, καὶ ὅτι ἱππικὸν οὐκ εἶχεν ὁ Ἀγησίλαος, ἡ δὲ Καρία ἄφιππος ἦν, καὶ ὅτι ἡγεῖτο αὐτὸν ὀργίζεσθαι αὐτῷ διὰ τὴν ἀπάτην, τῷ ὄντι νομίσας ἐπὶ τὸν αὐτοῦ οἶκον εἰς Καρίαν αὐτὸν ὁρμήσειν, τὸ μὲν πεζὸν ἅπαν διεβίβασεν ἐκεῖσε, τὸ δ' ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον περιῆγε, νομίζων ἱκανὸς εἶναι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταπατῆσαι τῇ ἵππῳ τοὺς Ἕλληνας, πρὶν εἰς τὰ δύσιππα ἀφικέσθαι. ὁ δ' Ἀγησίλαος ἀντὶ τοῦ ἐπὶ Καρίαν ἰέναι εὐθὺς τἀναντία ἀποστρέψας ἐπὶ Φρυγίας ἐπορεύετο, καὶ τάς τ' ἐν τῇ πορείᾳ ἀπαντώσας δυνάμεις ἀναλαμβάνων ἦγε καὶ τὰς πόλεις κατεστρέφετο καὶ ἐμβαλὼν ἀπροσδοκήτοις παμπληθῆ χρήματα ἐλάμβανε. καὶ 13
τὸν μὲν ἄλλον χρόνον ἀσφαλῶς διεπορεύετο· οὐ πόρρω δ' ὄντος Δασκυλείου, προϊόντες αὐτῷ οἱ ἱππεῖς ἤλαυνον ἐπὶ λόφον τινά, ὡς προΐδοιεν τί τἄμπροσθεν εἴη. κατὰ τύχην δέ τινα καὶ οἱ τοῦ Φαρναβάζου ἱππεῖς οἱ περὶ Ῥαθίνην καὶ Βαγαῖον τὸν νόθον ἀδελφόν, ὄντες παρόμοιοι τοῖς Ἕλλησι τὸν ἀριθμόν, πεμφθέντες ὑπὸ Φαρναβάζου ἤλαυνον καὶ οὗτοι ἐπὶ τὸν αὐτὸν τοῦτον λόφον. ἰδόντες δὲ ἀλλήλους οὐδὲ τέτταρα πλέθρα ἀπέχοντας, τὸ μὲν πρῶτον ἔστησαν ἀμφότεροι, οἱ μὲν Ἕλληνες ἱππεῖς ὥσπερ φάλαγξ ἐπὶ τεττάρων παρατεταγμένοι, οἱ δὲ βάρβαροι τοὺς πρώτους οὐ πλέον ἢ εἰς δώδεκα ποιήσαντες, τὸ βάθος δ' ἐπὶ πολλῶν. ἔπειτα μέντοι πρόσθεν ὥρμησαν οἱ βάρβαροι. ὡς δ' εἰς χεῖ- 14
ρας ἦλθον, ὅσοι μὲν τῶν Ἑλλήνων ἔπαισάν τινας, πάντες συνέτριψαν τὰ δόρατα, οἱ δὲ Πέρσαι κρανέϊνα παλτὰ ἔχοντες ταχὺ δώδεκα μὲν ἱππέας, δύο δ' ἵππους ἀπέκτειναν. ἐκ δὲ τούτου ἐτρέφθησαν οἱ Ἕλληνες ἱππεῖς. βοηθήσαντος δὲ Ἀγησιλάου σὺν τοῖς ὁπλίταις, πάλιν ἀπεχώρουν οἱ βάρβαροι, καὶ εἷς αὐτῶν ἀποθνήσκει. γενομένης δὲ ταύτης τῆς ἱππομαχίας, 15
θυομένῳ τῷ Ἀγησιλάῳ τῇ ὑστεραίᾳ ἐπὶ προόδῳ ἄλοβα γίγνεται τὰ ἱερά. τούτου μέντοι φανέντος στρέψας ἐπορεύετο ἐπὶ θάλατταν. γιγνώσκων δὲ ὅτι εἰ μὴ ἱππικὸν ἱκανὸν κτήσαιτο, οὐ δυνήσοιτο κατὰ τὰ πεδία στρατεύεσθαι, ἔγνω τοῦτο κατασκευαστέον εἶναι, ὡς μὴ δραπετεύοντα πολεμεῖν δέοι. καὶ τοὺς μὲν πλου-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιωτάτους ἐκ πασῶν τῶν ἐκεῖ πόλεων ἱπποτροφεῖ κατέλεξε· προειπὼν δέ, ὅστις παρέχοιτο ἵππον καὶ ὅπλ καὶ ἄνδρα δόκιμον, ὅτι ἐξέσται αὐτῷ μὴ στρατεύεσθαι ἐποίησεν οὕτω ταῦτα συντόμως πράττεσθαι ὥσπερ ἄ τις τὸν ὑπὲρ αὑτοῦ ἀποθανούμενον προθύμως ζητοίη

16 Ἐκ δὲ τούτου, ἐπειδὴ ἔαρ ὑπέφαινε, συνήγαγε μὲ
a.C. 395. ἅπαν τὸ στράτευμα εἰς Ἔφεσον· ἀσκῆσαι δ' αὐτὸ βου λόμενος ἆθλα προὔθηκε ταῖς τε ὁπλιτικαῖς τάξεσι ἥτις ἄριστα σωμάτων ἔχοι, καὶ ταῖς ἱππικαῖς, ἥτις κρά τιστα ἱππεύοι· καὶ πελτασταῖς δὲ καὶ τοξόταις ἆθλ προὔθηκεν, ὅσοι κράτιστοι πρὸς τὰ προσήκοντα ἔργ φανεῖεν. ἐκ τούτου δὲ παρῆν ὁρᾶν τὰ μὲν γυμνάσι πάντα μεστὰ ἀνδρῶν τῶν γυμναζομένων, τὸν δὲ ἱππό δρομον τῶν ἱππαζομένων, τοὺς δὲ ἀκοντιστὰς καὶ τοὺ
17 τοξότας μελετῶντας. ἀξίαν δὲ καὶ ὅλην τὴν πόλιν ἐ ᾗ ἦν θέας ἐποίησεν· ἥ τε γὰρ ἀγορὰ ἦν μεστὴ παντο δαπῶν καὶ ἵππων καὶ ὅπλων ὠνίων, οἵ τε χαλκοτύπο καὶ οἱ τέκτονες καὶ οἱ χαλκεῖς καὶ οἱ σκυτοτόμοι καὶ ο ζωγράφοι πάντες πολεμικὰ ὅπλα κατεσκεύαζον, ὥστ τὴν πόλιν ὄντως οἴεσθαι πολέμου ἐργαστήριον εἶναι
18 ἐπερρώσθη δ' ἄν τις κἀκεῖνο ἰδών, Ἀγησίλαον μὲ πρῶτον, ἔπειτα δὲ καὶ τοὺς ἄλλους στρατιώτας ἐστε φανωμένους ἀπὸ τῶν γυμνασίων ἀπιόντας καὶ ἀνα τιθέντας τοὺς στεφάνους τῇ Ἀρτέμιδι. ὅπου γὰρ ἄν δρες θεοὺς μὲν σέβοιντο, τὰ δὲ πολεμικὰ ἀσκοῖεν, πει θαρχεῖν δὲ μελετῷεν, πῶς οὐκ εἰκὸς ἐνταῦθα πάντ
19 μεστὰ ἐλπίδων ἀγαθῶν εἶναι; ἡγούμενος δὲ καὶ τὸ κα ταφρονεῖν τῶν πολεμίων ῥώμην τινὰ ἐμβάλλειν πρὸ τὸ μάχεσθαι, προεῖπε τοῖς κήρυξι τοὺς ὑπὸ τῶν λῃ στῶν ἁλισκομένους βαρβάρους γυμνοὺς πωλεῖν. ὁρῶν τες οὖν οἱ στρατιῶται λευκοὺς μὲν διὰ τὸ μηδέποτε ἐκ δύεσθαι, μαλακοὺς δὲ καὶ ἀπόνους διὰ τὸ ἀεὶ ἐπ' ὀχη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάτων εἶναι, ἐνόμισαν οὐδὲν διοίσειν τὸν πόλεμον ἢ
εἰ γυναιξὶ δέοι μάχεσθαι.
Ἐν δὲ τούτῳ τῷ χρόνῳ καὶ ὁ ἐνιαυτὸς ἤδη ἀφ' οὗ 20
ἐξέπλευσεν ὁ Ἀγησίλαος διεληλύθει, ὥστε οἱ μὲν περὶ
Λύσανδρον τριάκοντα οἴκαδε ἀπέπλεον, διάδοχοι δ'
αὐτοῖς οἱ περὶ Ἡριππίδαν παρῆσαν. τούτων Ξενοκλέα
μὲν καὶ ἄλλον ἔταξεν ἐπὶ τοὺς ἱππέας, Σκύθην δὲ ἐπὶ
τοὺς νεοδαμώδεις ὁπλίτας, Ἡριππίδαν δ' ἐπὶ τοὺς Κυ-
ρείους, Μίγδωνα δὲ ἐπὶ τοὺς ἀπὸ τῶν πόλεων στρα-
τιώτας, καὶ προεῖπεν αὐτοῖς ὡς εὐθὺς ἡγήσοιτο τὴν
συντομωτάτην ἐπὶ τὰ κράτιστα τῆς χώρας, ὅπως αὐ-
τόθεν οὕτω τὰ σώματα καὶ τὴν γνώμην παρασκευά-
ζοιντο ὡς ἀγωνιούμενοι. ὁ μέντοι Τισσαφέρνης ταῦτα 21
μὲν ἐνόμισε λέγειν αὐτὸν πάλιν βουλόμενον ἐξαπατῆ-
σαι, εἰς Καρίαν δὲ νῦν τῷ ὄντι ἐμβαλεῖν, καὶ τό τε πε-
ζὸν καθάπερ τὸ πρόσθεν εἰς Καρίαν διεβίβασε καὶ τὸ
ἱππικὸν εἰς τὸ Μαιάνδρου πεδίον κατέστησεν. ὁ δ'
Ἀγησίλαος οὐκ ἐψεύσατο, ἀλλ' ὥσπερ προεῖπεν εὐθὺς
εἰς τὸν Σαρδιανὸν τόπον ἐνέβαλε. καὶ τρεῖς μὲν ἡμέ-
ρας δι' ἐρημίας πολεμίων πορευόμενος πολλὰ τὰ ἐπιτή-
δεια τῇ στρατιᾷ εἶχε, τῇ δὲ τετάρτῃ ἧκον οἱ τῶν πολε-
μίων ἱππεῖς. καὶ τῷ μὲν ἄρχοντι τῶν σκευοφόρων εἶ- 22
πεν ὁ ἡγεμὼν διαβάντι τὸν Πακτωλὸν ποταμὸν στρα-
τοπεδεύεσθαι, αὐτοὶ δὲ κατιδόντες τοὺς τῶν Ἑλλήνων
ἀκολούθους ἐσπαρμένους εἰς ἁρπαγὴν πολλοὺς αὐτῶν
ἀπέκτειναν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος, βοηθεῖν ἐκέ-
λευσε τοὺς ἱππέας. οἱ δ' αὖ Πέρσαι ὡς εἶδον τὴν βοή-
θειαν, ἠθροίσθησαν καὶ ἀντιπαρετάξαντο παμπλη-
θέσι τῶν ἱππέων τάξεσιν. ἔνθα δὴ ὁ Ἀγησίλαος γιγνώ- 23
σκων ὅτι τοῖς μὲν πολεμίοις οὔπω παρείη τὸ πεζόν,
αὐτῷ δὲ οὐδὲν ἀπείη τῶν παρεσκευασμένων, καιρὸν
ἡγήσατο μάχην συνάψαι, εἰ δύναιτο. σφαγιασάμενος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν τὴν μὲν φάλαγγα εὐθὺς ἦγεν ἐπὶ τοὺς παρατεταγμένους ἱππέας, ἐκ δὲ τῶν ὁπλιτῶν ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης θεῖν ὁμόσε αὐτοῖς, τοῖς δὲ πελτασταῖς εἶπε δρόμῳ ὑφηγεῖσθαι. παρήγγειλε δὲ καὶ τοῖς ἱππεῦσιν ἐμβάλλειν, ὡς αὐτοῦ τε καὶ παντὸς τοῦ στρατεύματος
24 ἑπομένου. τοὺς μὲν δὴ ἱππέας ἐδέξαντο οἱ Πέρσαι· ἐπεὶ δ' ἅμα πάντα τὰ δεινὰ παρῆν, ἐνέκλιναν, καὶ οἱ μὲν αὐτῶν εὐθὺς ἐν τῷ ποταμῷ ἔπεσον, οἱ δ' ἄλλοι ἔφευγον. οἱ δ' Ἕλληνες ἐπακολουθοῦντες αἱροῦσι καὶ τὸ στρατόπεδον αὐτῶν. καὶ οἱ μὲν πελτασταί, ὥσπερ εἰκός, εἰς ἁρπαγὴν ἐτράποντο· ὁ δ' Ἀγησίλαος κύκλῳ πάντα καὶ φίλια καὶ πολέμια περιεστρατοπεδεύσατο. καὶ ἄλλα τε πολλὰ χρήματα ἐλήφθη, ἃ ηὗρε πλέον ἢ ἑβδομήκοντα τάλαντα, καὶ αἱ κάμηλοι δὲ τότε ἐλήφθησαν, ἃς Ἀγησίλαος εἰς τὴν Ἑλλάδα ἀπήγαγεν.

25 Ὅτε δ' αὕτη ἡ μάχη ἐγένετο, Τισσαφέρνης ἐν Σάρδεσιν ἔτυχεν ὤν· ὥστε ᾐτιῶντο οἱ Πέρσαι προδεδόσθαι ὑπ' αὐτοῦ. γνοὺς δὲ καὶ αὐτὸς ὁ Περσῶν βασιλεὺς Τισσαφέρνην αἴτιον εἶναι τοῦ κακῶς φέρεσθαι τὰ αὑτοῦ, Τιθραύστην καταπέμψας ἀποτέμνει αὐτοῦ τὴν κεφαλήν. τοῦτο δὲ ποιήσας ὁ Τιθραύστης πέμπει πρὸς τὸν Ἀγησίλαον πρέσβεις λέγοντας, Ὦ Ἀγησίλαε, ὁ μὲν αἴτιος τῶν πραγμάτων καὶ ὑμῖν καὶ ἡμῖν ἔχει τὴν δίκην· βασιλεὺς δὲ ἀξιοῖ σὲ μὲν ἀποπλεῖν οἴκαδε, τὰς δ' ἐν τῇ Ἀσίᾳ πόλεις αὐτονόμους οὔσας τὸν ἀρχαῖον
26 δασμὸν αὐτῷ ἀποφέρειν. ἀποκριναμένου δὲ τοῦ Ἀγησιλάου ὅτι οὐκ ἂν ποιήσειε ταῦτα ἄνευ τῶν οἴκοι τελῶν, Σὺ δ' ἀλλά, ἕως ἂν πύθῃ τὰ παρὰ τῆς πόλεως, μεταχώρησον, ἔφη, εἰς τὴν Φαρναβάζου, ἐπειδὴ καὶ ἐγὼ τὸν σὸν ἐχθρὸν τετιμώρημαι. Ἕως ἂν τοίνυν, ἔφη ὁ Ἀγησίλαος, ἐκεῖσε πορεύωμαι, δίδου δὴ τῇ στρατιᾷ τὰ ἐπιτήδεια. ἐκείνῳ μὲν δὴ ὁ Τιθραύστης δίδωσι τριά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κοντα τάλαντα· ὁ δὲ λαβὼν ᾔει ἐπὶ τὴν Φαρναβάζου
Φρυγίαν. ὄντι δ' αὐτῷ ἐν τῷ πεδίῳ τῷ ὑπὲρ Κύμης 27
ἔρχεται ἀπὸ τῶν οἴκοι τελῶν ἄρχειν καὶ τοῦ ναυτικοῦ
ὅπως γιγνώσκοι καὶ καταστήσασθαι ναύαρχον ὅντινα
αὐτὸς βούλοιτο. τοῦτο δ' ἐποίησαν οἱ Λακεδαιμόνιοι
τοιῷδε λογισμῷ, ὡς εἰ ὁ αὐτὸς ἀμφοτέρων ἄρχοι, τό
τε πεζὸν πολὺ ἂν ἰσχυρότερον εἶναι, καθ' ἓν οὔσης
τῆς ἰσχύος ἀμφοτέροις, τό τε ναυτικόν, ἐπιφαινομέ-
νου τοῦ πεζοῦ ἔνθα δέοι. ἀκούσας δὲ ταῦτα ὁ Ἀγησί- 28
λαος, πρῶτον μὲν ταῖς πόλεσι παρήγγειλε ταῖς ἐν ταῖς
νήσοις καὶ ταῖς ἐπιθαλαττιδίοις τριήρεις ποιεῖσθαι
ὁπόσας ἑκάστη βούλοιτο τῶν πόλεων. καὶ ἐγένοντο
καιναί, ἐξ ὧν αἵ τε πόλεις ἐπηγγείλαντο καὶ οἱ ἰδιῶται
ἐποιοῦντο χαρίζεσθαι βουλόμενοι, εἰς εἴκοσι καὶ ἑκα-
τόν. Πείσανδρον δὲ τὸν τῆς γυναικὸς ἀδελφὸν ναύαρ- 29
χον κατέστησε, φιλότιμον μὲν καὶ ἐρρωμένον τὴν ψυ-
χήν, ἀπειρότερον δὲ τοῦ παρασκευάζεσθαι ὡς δεῖ. καὶ
Πείσανδρος μὲν ἀπελθὼν τὰ ναυτικὰ ἔπραττεν· ὁ δ'
Ἀγησίλαος, ὥσπερ ὥρμησεν, ἐπὶ τὴν Φρυγίαν ἐπο-
ρεύετο.

Ὁ μέντοι Τιθραύστης, καταμαθεῖν δοκῶν τὸν V.
Ἀγησίλαον καταφρονοῦντα τῶν βασιλέως πραγμάτων
καὶ οὐδαμῇ διανοούμενον ἀπιέναι ἐκ τῆς Ἀσίας, ἀλλὰ
μᾶλλον ἐλπίδας ἔχοντα μεγάλας αἱρήσειν βασιλέα, ἀπο-
ρῶν τί χρῷτο τοῖς πράγμασι, πέμπει Τιμοκράτη τὸν
Ῥόδιον εἰς Ἑλλάδα, δοὺς χρυσίον εἰς πεντήκοντα τά-
λαντα ἀργυρίου, καὶ κελεύει πειρᾶσθαι πιστὰ τὰ μέ-
γιστα λαμβάνοντα διδόναι τοῖς προεστηκόσιν ἐν ταῖς
πόλεσιν ἐφ' ᾧτε πόλεμον ἐξοίσειν πρὸς Λακεδαιμονίους.
ἐκεῖνος δ' ἐλθὼν δίδωσιν ἐν Θήβαις μὲν Ἀνδροκλείδᾳ
τε καὶ Ἰσμηνίᾳ καὶ Γαλαξιδώρῳ, ἐν Κορίνθῳ δὲ Τιμο-
λάῳ τε καὶ Πολυάνθει, ἐν Ἄργει δὲ Κύλωνί τε καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 τοῖς μετ' αὐτοῦ. Ἀθηναῖοι δὲ καὶ οὐ μεταλαβόντες
τούτου τοῦ χρυσίου ὅμως πρόθυμοι ἦσαν εἰς τὸν πό-
λεμον, * νομίζοντές τε αὐτῶν ἄρχεσθαι. οἱ μὲν δὴ δε-
ξάμενοι τὰ χρήματα εἰς τὰς οἰκείας πόλεις διέβαλλον
τοὺς Λακεδαιμονίους· ἐπεὶ δὲ ταύτας εἰς μῖσος αὐτῶν
προήγαγον, συνίστασαν καὶ τὰς μεγίστας πόλεις πρὸς
ἀλλήλας.
3 Γιγνώσκοντες δὲ οἱ ἐν ταῖς Θήβαις προεστῶτες
ὅτι εἰ μή τις ἄρξει πολέμου, οὐκ ἐθελήσουσιν οἱ Λακε-
δαιμόνιοι λύειν τὰς σπονδὰς πρὸς τοὺς συμμάχους,
πείθουσι Λοκροὺς τοὺς Ὀπουντίους ἐκ τῆς ἀμφισβη-
τησίμου χώρας Φωκεῦσί τε καὶ ἑαυτοῖς χρήματα τελέ-
σαι, νομίζοντες τοὺς Φωκέας τούτου γενομένου ἐμβα-
λεῖν εἰς τὴν Λοκρίδα. καὶ οὐκ ἐψεύσθησαν, ἀλλ' εὐ-
θὺς οἱ Φωκεῖς ἐμβαλόντες εἰς τὴν Λοκρίδα πολλαπλά-
4 σια χρήματα ἔλαβον. οἱ οὖν περὶ τὸν Ἀνδροκλείδαν
ταχὺ ἔπεισαν τοὺς Θηβαίους βοηθεῖν τοῖς Λοκροῖς, ὡς
οὐκ εἰς τὴν ἀμφισβητήσιμον, ἀλλ' εἰς τὴν ὁμολογου-
μένην φίλην τε καὶ σύμμαχον εἶναι Λοκρίδα ἐμβεβλη-
κότων αὐτῶν. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἀντεμβαλόντες εἰς
τὴν Φωκίδα ἐδῄουν τὴν χώραν, εὐθὺς οἱ Φωκεῖς πέμ-
πουσι πρέσβεις εἰς Λακεδαίμονα καὶ ἠξίουν βοηθεῖν
αὐτοῖς, διδάσκοντες ὡς οὐκ ἦρξαν τοῦ πολέμου, ἀλλ'
5 ἀμυνόμενοι ἦλθον ἐπὶ τοὺς Λοκρούς. οἱ μέντοι Λακε-
δαιμόνιοι ἄσμενοι ἔλαβον πρόφασιν στρατεύειν ἐπὶ
τοὺς Θηβαίους, πάλαι ὀργιζόμενοι αὐτοῖς τῆς τε ἀντι-
λήψεως τῆς τοῦ Ἀπόλλωνος δεκάτης ἐν Δεκελείᾳ καὶ
τοῦ ἐπὶ τὸν Πειραιᾶ μὴ ἐθελῆσαι ἀκολουθῆσαι. ᾐτιῶν-
το δ' αὐτοὺς καὶ Κορινθίους πεῖσαι μὴ συστρατεύειν.
ἀνεμιμνῄσκοντο δὲ καὶ ὡς θύειν τ' ἐν Αὐλίδι τὸν Ἀγη-
σίλαον οὐκ εἴων καὶ τὰ τεθυμένα ἱερὰ ὡς ἔρριψαν ἀπὸ
τοῦ βωμοῦ καὶ ὅτι οὐδ' εἰς τὴν Ἀσίαν Ἀγησιλάῳ συνε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στράτευον. ἐλογίζοντο δὲ καὶ καλὸν καιρὸν εἶναι τοῦ ἐξάγειν στρατιὰν ἐπ' αὐτοὺς καὶ παῦσαι τῆς εἰς αὐτοὺς ὕβρεως· τά τε γὰρ ἐν τῇ Ἀσίᾳ καλῶς σφίσιν ἔχειν, κρατοῦντος Ἀγησιλάου, καὶ ἐν τῇ Ἑλλάδι οὐδένα ἄλλον πόλεμον ἐμποδὼν σφίσιν εἶναι. οὕτω δὲ γιγνω- 6
σκούσης τῆς πόλεως τῶν Λακεδαιμονίων φρουρὰν μὲν οἱ ἔφοροι ἔφαινον, Λύσανδρον δ' ἐξέπεμψαν εἰς Φωκέας καὶ ἐκέλευσαν αὐτούς τε τοὺς Φωκέας ἄγοντα παρεῖναι καὶ Οἰταίους καὶ Ἡρακλεώτας καὶ Μηλιέας καὶ Αἰνιᾶνας εἰς Ἁλίαρτον. ἐκεῖσε δὲ καὶ Παυσανίας, ὅσπερ ἔμελλεν ἡγεῖσθαι, συνετίθετο παρέσεσθαι εἰς ῥητὴν ἡμέραν, ἔχων Λακεδαιμονίους τε καὶ τοὺς ἄλλους Πελοποννησίους. καὶ ὁ μὲν Λύσανδρος τά τε ἄλλα τὰ κελευόμενα ἔπραττε καὶ προσέτι Ὀρχομενίους ἀπέστησε Θηβαίων. ὁ δὲ Παυσανίας, ἐπεὶ τὰ 7
διαβατήρια ἐγένετο αὐτῷ, καθεζόμενος ἐν Τεγέᾳ τούς τε ξεναγοὺς διέπεμπε καὶ τοὺς ἐκ τῶν περιοικίδων στρατιώτας περιέμενεν. ἐπεί γε μὴν δῆλον τοῖς Θηβαίοις ἐγένετο ὅτι ἐμβαλοῖεν οἱ Λακεδαιμόνιοι εἰς τὴν χώραν αὐτῶν, πρέσβεις ἔπεμψαν Ἀθήναζε λέγοντας τάδε.

Ὦ ἄνδρες Ἀθηναῖοι, ἃ μὲν μέμφεσθε ἡμῖν ὡς ψη- 8
φισαμένων χαλεπὰ περὶ ὑμῶν ἐν τῇ καταλύσει τοῦ πολέμου, οὐκ ὀρθῶς μέμφεσθε· οὐ γὰρ ἡ πόλις ἐκεῖνα ἐψηφίσατο, ἀλλ' εἷς ἀνὴρ εἶπεν, ὃς ἔτυχε τότε ἐν τοῖς συμμάχοις καθήμενος. ὅτε δὲ παρεκάλουν ἡμᾶς οἱ Λακεδαιμόνιοι ἐπὶ τὸν Πειραιᾶ, τότε ἅπασα ἡ πόλις ἀπεψηφίσατο μὴ συστρατεύειν αὐτοῖς. δι' ὑμᾶς οὖν οὐχ ἥκιστα ὀργιζομένων ἡμῖν τῶν Λακεδαιμονίων, δίκαιον εἶναι νομίζομεν βοηθεῖν ὑμᾶς τῇ πόλει ἡμῶν. πολὺ δ' 9
ἔτι μᾶλλον ἀξιοῦμεν, ὅσοι τῶν ἐν ἄστει ἐγένεσθε, προθύμως ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι. ἐκεῖνοι γὰρ κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταστήσαντες ὑμᾶς εἰς ὀλιγαρχίαν καὶ εἰς ἔχθραν τῷ
δήμῳ, ἀφικόμενοι πολλῇ δυνάμει ὡς ὑμῖν σύμμαχοι
παρέδοσαν ὑμᾶς τῷ πλήθει· ὥστε τὸ μὲν ἐπ' ἐκείνοις
10 εἶναι ἀπωλώλειτε, ὁ δὲ δῆμος οὑτοσὶ ὑμᾶς ἔσωσε. καὶ
μὴν ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, βούλοισθ' ἂν τὴν
ἀρχὴν ἣν πρότερον ἐκέκτησθε ἀναλαβεῖν πάντες ἐπι-
στάμεθα· τοῦτο δὲ πῶς μᾶλλον εἰκὸς γενέσθαι ἢ εἰ
αὐτοὶ τοῖς ὑπ' ἐκείνων ἀδικουμένοις βοηθοῖτε; ὅτι δὲ
πολλῶν ἄρχουσι, μὴ φοβηθῆτε, ἀλλὰ πολὺ μᾶλλον
διὰ τοῦτο θαρρεῖτε, ἐνθυμούμενοι ὅτι καὶ ὑμεῖς ὅτε
πλείστων ἤρχετε, τότε πλείστους ἐχθροὺς ἐκέκτησθε.
ἀλλ' ἕως μὲν οὐκ εἶχον ὅποι ἀποσταῖεν, ἔκρυπτον τὴν
πρὸς ὑμᾶς ἔχθραν· ἐπεὶ δέ γε Λακεδαιμόνιοι προύστη-
11 σαν, τότε ἔφηναν οἷα περὶ ὑμῶν ἐγίγνωσκον. καὶ νῦν
γ', ἐὰν φανεροὶ γενώμεθα ἡμεῖς τε καὶ ὑμεῖς συνασπι-
δοῦντες ἐναντία τοῖς Λακεδαιμονίοις, εὖ ἴστε, ἀνα-
φανήσονται πολλοὶ οἱ μισοῦντες αὐτούς. ὡς δ' ἀληθῆ
λέγομεν, ἐὰν ἀναλογίσησθε, αὐτίκα γνώσεσθε. τίς
γὰρ ἤδη καταλείπεται αὐτοῖς εὐμενής; οὐκ Ἀργεῖοι μὲν
12 ἀεί ποτε δυσμενεῖς αὐτοῖς ὑπάρχουσιν; Ἠλεῖοί γε μὴν
νῦν ἐστερημένοι καὶ χώρας πολλῆς καὶ πόλεων ἐχθροὶ
αὐτοῖς προσγεγένηνται. Κορινθίους δὲ καὶ Ἀρκάδας
καὶ Ἀχαιοὺς τί φῶμεν, οἳ ἐν μὲν τῷ πρὸς ὑμᾶς πολέμῳ
μάλα λιπαρούμενοι ὑπ' ἐκείνων πάντων καὶ πόνων
καὶ κινδύνων καὶ τῶν δαπανημάτων μετεῖχον, ἐπεὶ δ'
ἔπραξαν ἃ ἐβούλοντο οἱ Λακεδαιμόνιοι, ποίας ἢ ἀρχῆς ἢ
τιμῆς ἢ ποίων χρημάτων μεταδεδώκασιν αὐτοῖς; ἀλλὰ
τοὺς μὲν Εἵλωτας ἁρμοστὰς ἀξιοῦσι καθιστάναι, τῶν
δὲ συμμάχων ἐλευθέρων ὄντων, ἐπεὶ εὐτύχησαν, δε-
13 σπόται ἀναπεφήνασιν. ἀλλὰ μὴν καὶ οὓς ὑμῶν ἀπέ-
στησαν φανεροί εἰσιν ἐξηπατηκότες· ἀντὶ γὰρ ἐλευθε-
ρίας διπλῆν αὐτοῖς δουλείαν παρεσχήκασιν· ὑπό τε

γὰρ τῶν ἁρμοστῶν τυραννοῦνται καὶ ὑπὸ δέκα ἀνδρῶν,
οὓς Λύσανδρος κατέστησεν ἐν ἑκάστῃ πόλει. ὅ γε μὴν
τῆς Ἀσίας βασιλεὺς καὶ τὰ μέγιστ' αὐτοῖς συμβαλόμε-
νος εἰς τὸ ὑμῶν κρατῆσαι νῦν τί διάφορον πάσχει ἢ εἰ
μεθ' ὑμῶν κατεπολέμησεν αὐτούς; πῶς οὖν οὐκ εἰκός, 14
ἐὰν ὑμεῖς αὖ προστῆτε τῶν οὕτω φανερῶς ἀδικουμέ-
νων, νῦν ὑμᾶς πολὺ ἤδη μεγίστους τῶν πώποτε γενέ-
σθαι; ὅτε μὲν γὰρ ἤρχετε, τῶν κατὰ θάλατταν μόνον
δήπου ἡγεῖσθε· νῦν δὲ πάντων καὶ ἡμῶν καὶ Πελο-
ποννησίων καὶ ὧν πρόσθεν ἤρχετε καὶ αὐτοῦ βασιλέως
τοῦ μεγίστην δύναμιν ἔχοντος ἡγεμόνες ἂν γένοισθε.
καίτοι ἦμεν πολλοῦ ἄξιοι καὶ ἐκείνοις σύμμαχοι, ὡς
ὑμεῖς ἐπίστασθε· νῦν δέ γε εἰκὸς τῷ παντὶ ὑμῖν ἐρ-
ρωμενεστέρως ἡμᾶς συμμαχεῖν ἢ τότε Λακεδαιμονίοις·
οὐδὲ γὰρ ὑπὲρ νησιωτῶν ἢ Συρακοσίων οὐδ' ὑπὲρ ἀλ-
λοτρίων, ὥσπερ τότε, ἀλλ' ὑπὲρ ἡμῶν αὐτῶν ἀδι-
κουμένων βοηθήσομεν. καὶ τοῦτο μέντοι χρὴ εὖ εἰ- 15
δέναι, ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκα-
ταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς. ὑμεῖς
μὲν γὰρ ἔχοντες ναυτικὸν οὐκ ἐχόντων ἤρχετε, οὗτοι
δὲ ὀλίγοι ὄντες πολλαπλασίων ὄντων καὶ οὐδὲν χεῖρον
ὡπλισμένων πλεονεκτοῦσι. ταῦτ' οὖν λέγομεν ἡμεῖς·
εὖ γε μέντοι ἐπίστασθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι νο-
μίζομεν ἐπὶ πολὺ μείζω ἀγαθὰ παρακαλεῖν ὑμᾶς τῇ
ὑμετέρᾳ πόλει ἢ τῇ ἡμετέρᾳ.

Ὁ μὲν ταῦτ' εἰπὼν ἐπαύσατο. τῶν δ' Ἀθηναίων 16
πάμπολλοι μὲν συνηγόρευον, πάντες δ' ἐψηφίσαντο
βοηθεῖν αὐτοῖς. Θρασύβουλος δὲ ἀποκρινάμενος τὸ
ψήφισμα καὶ τοῦτο ἐνεδείκνυτο, ὅτι ἀτειχίστου τοῦ
Πειραιῶς ὄντος ὅμως παρακινδυνεύσοιεν χάριτας αὐ-
τοῖς ἀποδοῦναι μείζονας ἢ ἔλαβον. ὑμεῖς μὲν γάρ, ἔφη,
οὐ συνεστρατεύσατε ἐφ' ἡμᾶς, ἡμεῖς δέ γε μεθ' ὑμῶν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 μαχούμεθα ἐκείνοις, ἂν ἴωσιν ἐφ' ὑμᾶς. οἱ μὲν δὴ Θηβαῖοι ἀπελθόντες παρεσκευάζοντο ὡς ἀμυνούμενοι, οἱ δ' Ἀθηναῖοι ὡς βοηθήσοντες. καὶ μὴν οἱ Λακεδαιμόνιοι οὐκέτι ἔμελλον, ἀλλὰ Παυσανίας μὲν ὁ βασιλεὺς ἐπορεύετο εἰς τὴν Βοιωτίαν τό τε οἴκοθεν ἔχων στράτευμα καὶ τὸ ἐκ Πελοποννήσου, πλὴν Κορίνθιοι οὐκ ἠκολούθουν αὐτοῖς. ὁ δὲ Λύσανδρος, ἄγων τὸ ἀπὸ Φωκέων καὶ Ὀρχομενοῦ καὶ τῶν κατ' ἐκεῖνα χωρίων στράτευμα, ἔφθη τὸν Παυσανίαν ἐν τῷ Ἁλιάρτῳ
18 γενόμενος. ἥκων δὲ οὐκέτι ἡσυχίαν ἔχων ἀνέμενε τὸ ἀπὸ Λακεδαίμονος στράτευμα, ἀλλὰ σὺν οἷς εἶχεν ᾔει πρὸς τὸ τεῖχος τῶν Ἁλιαρτίων. καὶ τὸ μὲν πρῶτον ἔπειθεν αὐτοὺς ἀφίστασθαι καὶ αὐτονόμους γίγνεσθαι· ἐπεὶ δὲ τῶν Θηβαίων τινὲς ὄντες ἐν τῷ τείχει διε-
19 κώλυον, προσέβαλε πρὸς τὸ τεῖχος. ἀκούσαντες δὲ ταῦτα οἱ Θηβαῖοι, δρόμῳ ἐβοήθουν οἵ τε ὁπλῖται καὶ οἱ ἱππεῖς. ὁπότερα μὲν οὖν, εἴτε λαθόντες τὸν Λύσανδρον ἐπέπεσον αὐτῷ εἴτε καὶ αἰσθόμενος προσιόντας ὡς κρατήσων ὑπέμενεν, ἄδηλον· τοῦτο δ' οὖν σαφές, ὅτι παρὰ τὸ τεῖχος ἡ μάχη ἐγένετο· καὶ τρόπαιον ἕστηκε πρὸς τὰς πύλας τῶν Ἁλιαρτίων. ἐπεὶ δ' ἀποθανόντος Λυσάνδρου ἔφευγον οἱ ἄλλοι πρὸς τὸ ὄρος,
20 ἐδίωκον ἐρρωμένως οἱ Θηβαῖοι. ὡς δὲ ἄνω ἤδη ἦσαν διώκοντες καὶ δυσχωρία τε καὶ στενοπορία ὑπελάμβανεν αὐτούς, ὑποστρέψαντες οἱ ὁπλῖται ἠκόντιζόν τε καὶ ἔβαλλον. ὡς δὲ ἔπεσον αὐτῶν δύο ἢ τρεῖς οἱ πρῶτοι καὶ ἐπὶ τοὺς λοιποὺς ἐπεκύλινδον πέτρους εἰς τὸ κάταντες καὶ πολλῇ προθυμίᾳ ἐνέκειντο, ἐτρέφθησαν οἱ Θηβαῖοι ἀπὸ τοῦ κατάντους καὶ ἀποθνήσκουσιν αὐ-
21 τῶν πλείους ἢ διακόσιοι. ταύτῃ μὲν οὖν τῇ ἡμέρᾳ οἱ Θηβαῖοι ἠθύμουν, νομίζοντες οὐκ ἐλάττω κακὰ πεπονθέναι ἢ πεποιηκέναι· τῇ δ' ὑστεραίᾳ, ἐπεὶ ᾔσθοντο

Δημόσιο Κεντρική Βιβλιοθήκη Βέροιας

ἀπεληλυθότας ἐν νυκτὶ τούς τε Φωκέας καὶ τοὺς ἄλ-
λους ἅπαντας οἴκαδε ἑκάστους, ἐκ τούτου μεῖζον δὴ
ἐφρόνουν ἐπὶ τῷ γεγενημένῳ. ἐπεὶ δ' αὖ ὁ Παυσανίας
ἀνεφαίνετο ἔχων τὸ ἐκ Λακεδαίμονος στράτευμα, πά-
λιν αὖ ἐν μεγάλῳ κινδύνῳ ἡγοῦντο εἶναι, καὶ πολλὴν
ἔφασαν σιωπήν τε καὶ ταπεινότητα ἐν τῷ στρατεύματι
εἶναι αὐτῶν. ὡς δὲ τῇ ὑστεραίᾳ οἵ τε Ἀθηναῖοι ἐλθόν- 22
τες συμπαρετάξαντο ὅ τε Παυσανίας οὐ προσῆγεν οὐδὲ
ἐμάχετο, ἐκ τούτου τὸ μὲν Θηβαίων πολὺ μεῖζον φρό-
νημα ἐγίγνετο· ὁ δὲ Παυσανίας συγκαλέσας πολεμάρ-
χους καὶ πεντηκοντῆρας ἐβουλεύετο πότερον μάχην
συνάπτοι ἢ ὑπόσπονδον τόν τε Λύσανδρον ἀναιροῖτο
καὶ τοὺς μετ' αὐτοῦ πεσόντας. λογιζόμενος δ' ὁ Παυ- 23
σανίας καὶ οἱ ἄλλοι οἱ ἐν τέλει Λακεδαιμονίων ὡς Λύ-
σανδρος τετελευτηκὼς εἴη καὶ τὸ μετ' αὐτοῦ στράτευμα
ἡττημένον ἀποκεχωρήκοι, καὶ Κορίνθιοι μὲν παντά-
πασιν οὐκ ἠκολούθουν αὐτοῖς, οἱ δὲ παρόντες οὐ προ-
θύμως στρατεύοιντο· ἐλογίζοντο δὲ καὶ τὸ ἱππικὸν ὡς
τὸ μὲν ἀντίπαλον πολύ, τὸ δὲ αὐτῶν ὀλίγον εἴη, τὸ δὲ
μέγιστον, ὅτι οἱ νεκροὶ ὑπὸ τῷ τείχει ἔκειντο, ὥστε
οὐδὲ κρείττοσιν οὖσι διὰ τοὺς ἀπὸ τῶν πύργων ῥᾴδιον
εἴη ἀνελέσθαι· διὰ οὖν πάντα ταῦτα ἔδοξεν αὐτοῖς
τοὺς νεκροὺς ὑποσπόνδους ἀναιρεῖσθαι. οἱ μέντοι 24
Θηβαῖοι εἶπον ὅτι οὐκ ἂν ἀποδοῖεν τοὺς νεκρούς, εἰ μὴ
ἐφ' ᾧτε ἀπιέναι ἐκ τῆς χώρας. οἱ δὲ ἄσμενοί τε ταῦτα
ἤκουσαν καὶ ἀνελόμενοι τοὺς νεκροὺς ἀπῆσαν ἐκ τῆς
Βοιωτίας. τούτων δὲ πραχθέντων οἱ μὲν Λακεδαιμό-
νιοι ἀθύμως ἀπῆσαν, οἱ δὲ Θηβαῖοι μάλα ὑβριστικῶς,
εἰ καὶ μικρόν τις τῶν χωρίων του ἐπιβαίη, παίοντες
ἐδίωκον εἰς τὰς ὁδούς. αὕτη μὲν δὴ οὕτως ἡ στρατιὰ
τῶν Λακεδαιμονίων διελύθη. ὁ μέντοι Παυσανίας 25
ἐπεὶ ἀφίκετο οἴκαδε, ἐκρίνετο περὶ θανάτου. κατηγο-



Δημόσια Κεντρική Βιβλιοθήκη

ρουμένου δ' αὐτοῦ καὶ ὅτι ὑστερήσειεν εἰς Ἁλίαρτον τοῦ Λυσάνδρου, συνθέμενος εἰς τὴν αὐτὴν ἡμέραν παρέσεσθαι, καὶ ὅτι ὑποσπόνδους ἀλλ' οὐ μάχῃ ἐπειρᾶτο τοὺς νεκροὺς ἀναιρεῖσθαι, καὶ ὅτι τὸν δῆμον τῶν Ἀθηναίων λαβὼν ἐν τῷ Πειραιεῖ ἀνῆκε, καὶ πρὸς τούτοις οὐ παρόντος ἐν τῇ δίκῃ, θάνατος αὐτοῦ κατεγνώσθη· καὶ ἔφυγεν εἰς Τεγέαν, καὶ ἐτελεύτησε μέντοι ἐκεῖ νόσῳ. κατὰ μὲν οὖν τὴν Ἑλλάδα ταῦτ' ἐπράχθη.

---

## [Δ.]

1 Ὁ δὲ Ἀγησίλαος ἐπεὶ ἀφίκετο ἅμα μετοπώρῳ εἰς τὴν τοῦ Φαρναβάζου Φρυγίαν, τὴν μὲν χώραν ἔκαε καὶ ἐπόρθει, πόλεις δὲ τὰς μὲν βίᾳ, τὰς δ' ἑκούσας προσε-
2 λάμβανε. λέγοντος δὲ τοῦ Σπιθριδάτου ὡς εἰ ἔλθοι εἰς τὴν Παφλαγονίαν σὺν αὐτῷ, τὸν τῶν Παφλαγόνων βασιλέα καὶ εἰς λόγους ἄξοι καὶ σύμμαχον ποιήσοι, προθύμως ἐπορεύετο, πάλαι τούτου ἐπιθυμῶν, τοῦ ἀφιστάναι τι ἔθνος ἀπὸ βασιλέως.

3 Ἐπεὶ δὲ ἀφίκετο εἰς τὴν Παφλαγονίαν, ἦλθεν Ὄτυς καὶ συμμαχίαν ἐποιήσατο· καὶ γὰρ καλούμενος ὑπὸ βασιλέως οὐκ ἀνεβεβήκει. πείσαντος δὲ τοῦ Σπιθριδάτου κατέλιπε τῷ Ἀγησιλάῳ Ὄτυς χιλίους μὲν ἱπ-
4 πέας, δισχιλίους δὲ πελταστάς. χάριν δὲ τούτων εἰδὼς Ἀγησίλαος τῷ Σπιθριδάτῃ, Εἰπέ μοι, ἔφη, ὦ Σπιθριδάτα, οὐκ ἂν δοίης Ὄτυϊ τὴν θυγατέρα; Πολύ γε, ἔφη, μᾶλλον ἢ ἐκεῖνος ἂν λάβοι φυγάδος ἀνδρὸς βασιλεύων πολλῆς καὶ χώρας καὶ δυνάμεως. τότε μὲν
5 οὖν ταῦτα μόνον ἐρρήθη περὶ τοῦ γάμου. ἐπεὶ δ' Ὄτυς ἔμελλεν ἀπιέναι, ἦλθε πρὸς τὸν Ἀγησίλαον ἀσπασό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μενος. ἤρξατο δὲ λόγου ὁ Ἀγησίλαος παρόντων τῶν
τριάκοντα, μεταστησάμενος τὸν Σπιθριδάτην, Λέξον 6
μοι, ἔφη, ὦ Ὄτυ, ποίου τινὸς γένους ἐστὶν ὁ Σπιθρι-
δάτης; ὁ δ' εἶπεν ὅτι Περσῶν οὐδενὸς ἐνδεέστερος.
Τὸν δὲ υἱόν, ἔφη, ἑόρακας αὐτοῦ ὡς καλός ἐστι; Τί
δ' οὐ μέλλω; καὶ γὰρ ἑσπέρας συνεδείπνουν αὐτῷ.
Τούτου μέν φασι τὴν θυγατέρα αὐτοῦ καλλίονα εἶναι.
Νὴ Δί', ἔφη ὁ Ὄτυς, καλὴ γάρ ἐστι. Καὶ ἐγὼ μέν, ἔφη, 7
ἐπεὶ φίλος ἡμῖν γεγένησαι, συμβουλεύοιμ' ἄν σοι τὴν
παῖδα ἄγεσθαι γυναῖκα, καλλίστην μὲν οὖσαν, οὗ τί
ἀνδρὶ ἥδιον; πατρὸς δ' εὐγενεστάτου, δύναμιν δ'
ἔχοντος τοσαύτην, ὃς ὑπὸ Φαρναβάζου ἀδικηθεὶς οὕτω
τιμωρεῖται αὐτὸν ὥστε φυγάδα πάσης τῆς χώρας, ὡς
ὁρᾷς, πεποίηκεν. εὖ ἴσθι μέντοι, ἔφη, ὅτι ὥσπερ 8
ἐκεῖνον ἐχθρὸν ὄντα δύναται τιμωρεῖσθαι, οὕτω καὶ
φίλον ἄνδρα εὐεργετεῖν ἂν δύναιτο. νόμιζε δὲ τούτων
πραχθέντων μὴ κεῖνον ἄν σοι μόνον κηδεστὴν εἶναι,
ἀλλὰ καὶ ἐμὲ καὶ τοὺς ἄλλους Λακεδαιμονίους, ἡμῶν
δ' ἡγουμένων τῆς Ἑλλάδος καὶ τὴν ἄλλην Ἑλλάδα. καὶ 9
μὴν μεγαλειοτέρως γε σοῦ, εἰ ταῦτα πράττοις, τίς ἄν
ποτε γήμειε; ποίαν γὰρ νύμφην πώποτε τοσοῦτοι ἱπ-
πεῖς καὶ πελτασταὶ καὶ ὁπλῖται προὔπεμψαν ὅσοι τὴν
σὴν γυναῖκα εἰς τὸν σὸν οἶκον προπέμψειαν ἄν; καὶ ὁ 10
Ὄτυς ἐπήρετο, Δοκοῦντα δ', ἔφη, ὦ Ἀγησίλαε, ταῦτα
καὶ Σπιθριδάτῃ λέγεις; Μὰ τοὺς θεούς, ἔφη ὁ Ἀγη-
σίλαος, ἐκεῖνος μὲν ἐμέ γε οὐκ ἐκέλευσε ταῦτα λέγειν·
ἐγὼ μέντοι, καίπερ ὑπερχαίρων, ὅταν ἐχθρὸν τιμω-
ρῶμαι, πολὺ μᾶλλόν μοι δοκῶ ἥδεσθαι, ὅταν τι τοῖς
φίλοις ἀγαθὸν ἐξευρίσκω. Τί οὖν, ἔφη, οὐ πυνθά- 11
νει εἰ καὶ ἐκείνῳ βουλομένῳ ταῦτ' ἐστί; καὶ ὁ Ἀγησί-
λαος, Ἴτ', ἔφη, ὑμεῖς, ὦ Ἡριππίδα, καὶ διδάσκετε
αὐτὸν βουληθῆναι ἅπερ ἡμεῖς. οἱ μὲν δὴ ἀναστάντες 12

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐδίδασκον. ἐπεὶ δὲ διέτριβον, Βούλει, ἔφη, ὦ Ὄ
καὶ ἡμεῖς δεῦρο καλέσωμεν αὐτόν; Πολύ γ' ἂν οἰ
μᾶλλον ὑπὸ σοῦ πεισθῆναι αὐτὸν ἢ ὑπὸ τῶν ἄλλ
ἁπάντων. ἐκ τούτου δὴ ἐκάλει ὁ Ἀγησίλαος τὸν Σ
13 θριδάτην τε καὶ τοὺς ἄλλους. προσιόντων δ' εὐ
εἶπεν ὁ Ἡριππίδας, Τὰ μὲν ἄλλα, ὦ Ἀγησίλαε,
ῥηθέντα τί ἄν τις μακρολογοίη; τέλος δὲ λέγει Σπιθ
14 δάτης πᾶν ποιεῖν ἂν ἡδέως ὅ,τι σοι δοκοίη. Ἐμοὶ
τοίνυν, ἔφη, δοκεῖ, ὁ Ἀγησίλαος σὲ μέν, ὦ Σπιθ
δάτα, τύχῃ ἀγαθῇ διδόναι Ὄτυϊ τὴν θυγατέρα, σὲ
λαμβάνειν. τὴν μέντοι παῖδα πρὸ ἦρος οὐκ ἂν δυν
μεθα πεζῇ ἀγαγεῖν. Ἀλλὰ ναὶ μὰ Δί', ἔφη ὁ Ὄτ
15 κατὰ θάλατταν ἤδη ἂν πέμποιτο, εἰ σὺ βούλοιο.
τούτου δεξιὰς δόντες καὶ λαβόντες ἐπὶ τούτοις ἀπέπ
πον τὸν Ὄτυν.

Καὶ εὐθὺς ὁ Ἀγησίλαος, ἐπεὶ ἔγνω αὐτὸν σπ
δοντα, τριήρη πληρώσας καὶ Καλλίαν Λακεδαιμό
κελεύσας ἀπαγαγεῖν τὴν παῖδα, αὐτὸς ἐπὶ Δασκυλ
ἀπεπορεύετο, ἔνθα καὶ τὰ βασίλεια ἦν Φαρναβάζῳ,
κῶμαι περὶ αὐτὰ πολλαὶ καὶ μεγάλαι καὶ ἄφθονα ἔχ
σαι τὰ ἐπιτήδεια, καὶ θῆραι αἱ μὲν καὶ ἐν περιειργμέν
παραδείσοις, αἱ δὲ καὶ ἐν ἀναπεπταμένοις τόποις,
16 γκαλαι. περιέρρει δὲ καὶ ποταμὸς παντοδαπῶν ἰχθύ
πλήρης. ἦν δὲ καὶ τὰ πτηνὰ ἄφθονα τοῖς ὀρνιθεύ
δυναμένοις. ἐνταῦθα μὲν δὴ διεχείμαζε, καὶ αὐτό
καὶ σὺν προνομαῖς τὰ ἐπιτήδεια τῇ στρατιᾷ λαμβάν
17 καταφρονητικῶς δέ ποτε καὶ ἀφυλάκτως διὰ τὸ μη
πρότερον ἐσφάλθαι λαμβανόντων τῶν στρατιωτῶν
ἐπιτήδεια, ἐπέτυχεν αὐτοῖς ὁ Φαρνάβαζος κατὰ τὸ
δίον ἐσπαρμένοις, ἅρματα μὲν ἔχων δύο δρεπανηφ
18 ἱππέας δὲ ὡς τετρακοσίους. οἱ δ' Ἕλληνες ὡς εἶδον
τὸν προσελαύνοντα, συνέδραμον ὡς εἰς ἑπτακοσίο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ δ᾽ οὐκ ἐμέλλησεν, ἀλλὰ προστησάμενος τὰ ἅρματα,
αὐτὸς δὲ σὺν τοῖς ἱππεῦσιν ὄπισθεν γενόμενος, ἐλαύ-
νειν εἰς αὐτοὺς ἐκέλευσεν. ὡς δὲ τὰ ἅρματα ἐμβα- 19
λόντα διεσκέδασε τὸ ἀθρόον, ταχὺ οἱ ἱππεῖς κατέβα-
λον ὡς εἰς ἑκατὸν ἀνθρώπους, οἱ δ᾽ ἄλλοι κατέφυγον
πρὸς Ἀγησίλαον· ἐγγὺς γὰρ ἔτυχε σὺν τοῖς ὁπλίταις
ὤν. ἐκ δὲ τούτου τρίτῃ ἢ τετάρτῃ ἡμέρᾳ αἰσθάνεται ὁ 20
Σπιθριδάτης τὸν Φαρνάβαζον ἐν Καυῇ κώμῃ μεγάλῃ
στρατοπεδευόμενον, ἀπέχοντα στάδια ὡς ἑξήκοντα καὶ
ἑκατόν, καὶ εὐθὺς λέγει πρὸς τὸν Ἡριππίδαν. καὶ ὁ 21
Ἡριππίδας ἐπιθυμῶν λαμπρόν τι ἐργάσασθαι, αἰτεῖ
τὸν Ἀγησίλαον ὁπλίτας τε εἰς δισχιλίους καὶ πελταστὰς
ἄλλους τοσούτους καὶ ἱππέας τούς τε Σπιθριδάτου καὶ
τοὺς Παφλαγόνας καὶ τῶν Ἑλλήνων ὁπόσους πείσειεν.
ἐπεὶ δὲ ὑπέσχετο αὐτῷ, ἐθύετο· καὶ ἅμα δείλῃ καλ- 22
λιερησάμενος κατέλυσε τὴν θυσίαν. ἐκ δὲ τούτου δει-
πνήσαντας παρήγγειλε παρεῖναι πρόσθεν τοῦ στρατο-
πέδου. σκότους δὲ γενομένου οὐδ᾽ οἱ ἡμίσεις ἑκάστων
ἐξῆλθον. ὅπως δὲ μή, εἰ ἀποτρέποιτο, καταγελῷεν αὐ- 23
τοῦ οἱ ἄλλοι τριάκοντα, ἐπορεύετο σὺν ᾗ εἶχε δυνάμει.
ἅμα δὲ τῇ ἡμέρᾳ ἐπιπεσὼν τῇ Φαρναβάζου στρατοπε- 24
δείᾳ, τῆς μὲν προφυλακῆς αὐτοῦ Μυσῶν ὄντων πολ-
λοὶ ἔπεσον, αὐτοὶ δὲ διαφεύγουσι, τὸ δὲ στρατόπεδον
ἁλίσκεται, καὶ πολλὰ μὲν ἐκπώματα καὶ ἄλλα δὴ οἷα
Φαρναβάζου κτήματα, πρὸς δὲ τούτοις σκεύη πολλὰ
καὶ ὑποζύγια σκευοφόρα. διὰ γὰρ τὸ φοβεῖσθαι μὴ εἴ 25
που κατασταίη, κυκλωθεὶς πολιορκοῖτο, ἄλλοτε ἄλλῃ
τῆς χώρας ἐπῄει, ὥσπερ οἱ νομάδες, καὶ μάλα ἀφανί-
ζων τὰς στρατοπεδεύσεις. ἐπεὶ δὲ τὰ ληφθέντα χρή- 26
ματα ἀπήγαγον οἵ τε Παφλαγόνες καὶ ὁ Σπιθριδάτης,
ὑποστήσας Ἡριππίδας ταξιάρχους καὶ λοχαγοὺς ἀφεί-
λετο ἅπαντα τόν τε Σπιθριδάτην καὶ τοὺς Παφλαγό-

Αριάδνη Κεντρική Βιβλιοθήκη Κρήτης

νας, ἵνα δὴ πολλὰ ἀπαγάγοι τὰ αἰχμάλωτα τοῖς λαφυ-
27 ροπώλαις. ἐκεῖνοι μέντοι ταῦτα παθόντες οὐκ ἤνεγκαν,
ἀλλ' ὡς ἀδικηθέντες καὶ ἀτιμασθέντες νυκτὸς συσκευ-
ασάμενοι ᾤχοντο ἀπιόντες εἰς Σάρδεις πρὸς Ἀριαῖον,
πιστεύσαντες, ὅτι καὶ ὁ Ἀριαῖος ἀποστὰς βασιλέως
28 ἐπολέμησεν αὐτῷ. Ἀγησιλάῳ μὲν δὴ τῆς ἀπολείψεως
τοῦ Σπιθριδάτου καὶ τοῦ Μεγαβάτου καὶ τῶν Παφλα-
γόνων οὐδὲν ἐγένετο βαρύτερον ἐν τῇ στρατείᾳ.
29 Ἦν δέ τις Ἀπολλοφάνης Κυζικηνός, ὃς καὶ Φαρ-
ναβάζῳ ἐτύγχανεν ἐκ παλαιοῦ ξένος ὢν καὶ Ἀγησιλάῳ
κατ' ἐκεῖνον τὸν χρόνον ἐξενώθη. οὗτος οὖν εἶπε πρὸς
τὸν Ἀγησίλαον ὡς οἴοιτο συναγαγεῖν αὐτῷ ἂν εἰς λό-
γους περὶ φιλίας Φαρνάβαζον. ὡς δ' ἤκουσεν αὐτοῦ,
σπονδὰς λαβὼν καὶ δεξιὰν παρῆν ἄγων τὸν Φαρνάβα-
30 ζον εἰς συγκείμενον χωρίον, ἔνθα δὴ Ἀγησίλαος καὶ
οἱ περὶ αὐτὸν τριάκοντα χαμαὶ ἐν πόᾳ τινὶ κατακείμε-
νοι ἀνέμενον· ὁ δὲ Φαρνάβαζος ἧκεν ἔχων στολὴν πολ-
λοῦ χρυσοῦ ἀξίαν. ὑποτιθέντων δὲ αὐτῷ τῶν θερα-
πόντων ῥαπτά, ἐφ' ὧν καθίζουσιν οἱ Πέρσαι μαλα-
κῶς, ᾐσχύνθη ἐντρυφῆσαι, ὁρῶν τοῦ Ἀγησιλάου τὴν
φαυλότητα· κατεκλίνη οὖν καὶ αὐτὸς ὥσπερ εἶχε χα-
31 μαί. καὶ πρῶτα μὲν ἀλλήλους χαίρειν προσεῖπον, ἔπει-
τα τὴν δεξιὰν προτείναντος τοῦ Φαρναβάζου ἀντι-
προύτεινε καὶ ὁ Ἀγησίλαος. μετὰ δὲ τοῦτο ἤρξατο λό-
32 γου ὁ Φαρνάβαζος· καὶ γὰρ ἦν πρεσβύτερος· Ὦ Ἀγη-
σίλαε καὶ πάντες οἱ παρόντες Λακεδαιμόνιοι, ἐγὼ ὑμῖν,
ὅτε τοῖς Ἀθηναίοις ἐπολεμεῖτε, φίλος καὶ σύμμαχος
ἐγενόμην, καὶ τὸ μὲν ναυτικὸν τὸ ὑμέτερον χρήματα
παρέχων ἰσχυρὸν ἐποίουν, ἐν δὲ τῇ γῇ αὐτὸς ἀπὸ τοῦ
ἵππου μαχόμενος μεθ' ὑμῶν εἰς τὴν θάλατταν κατε-
δίωκον τοὺς πολεμίους. καὶ διπλοῦν ὥσπερ Τισσα-
φέρνους οὐδὲν πώποτέ μου οὔτε ποιήσαντος οὔτ' εἰ-

δημόσια κεντρική βιβλιοθήκη βέροιας

πόντος πρὸς ὑμᾶς ἔχοιτ' ἂν κατηγορῆσαι. τοιοῦτος δὲ 33
γενόμενος νῦν οὕτω διάκειμαι ὑφ' ὑμῶν ὡς οὐδὲ δεῖ-
πνον ἔχω ἐν τῇ ἐμαυτοῦ χώρᾳ, εἰ μή τι ὧν ἂν ὑμεῖς
λίπητε συλλέξομαι, ὥσπερ τὰ θηρία. ἃ δέ μοι ὁ πατὴρ
καὶ οἰκήματα καλὰ καὶ παραδείσους καὶ δένδρων καὶ
θηρίων μεστοὺς κατέλιπεν, ἐφ' οἷς εὐφραινόμην, ταῦ-
τα πάντα ὁρῶ τὰ μὲν κατακεκομμένα τὰ δὲ κατακεκαυ-
μένα. εἰ οὖν ἐγὼ μὴ γιγνώσκω μήτε τὰ ὅσια μήτε τὰ
δίκαια, ὑμεῖς δὲ διδάξατέ με ὅπως ταῦτ' ἐστὶν ἀνδρῶν
ἐπισταμένων χάριτας ἀποδιδόναι. ὁ μὲν ταῦτ' εἶπεν. 34
οἱ δὲ τριάκοντα πάντες μὲν ἐπῃσχύνθησαν αὐτὸν καὶ
ἐσιώπησαν· ὁ δὲ Ἀγησίλαος χρόνῳ ποτὲ εἶπεν, Ἀλλ'
οἶμαι μέν σε, ὦ Φαρνάβαζε, εἰδέναι ὅτι καὶ ἐν ταῖς Ἑλ-
ληνικαῖς πόλεσι ξένοι ἀλλήλοις γίγνονται ἄνθρωποι.
οὗτοι δέ, ὅταν αἱ πόλεις πολέμιαι γένωνται, σὺν ταῖς
πατρίσι καὶ τοῖς ἐξενωμένοις πολεμοῦσι καὶ ἂν οὕτω
τύχωσιν, ἔστιν ὅτε καὶ ἀπέκτειναν ἀλλήλους. καὶ ἡμεῖς
οὖν νῦν βασιλεῖ τῷ ὑμετέρῳ πολεμοῦντες πάντα ἠνα-
γκάσμεθα τὰ ἐκείνου πολέμια νομίζειν· σοί γε μέντοι
φίλοι γενέσθαι περὶ παντὸς ἂν ποιησαίμεθα. καὶ εἰ 35
μὲν ἀλλάξασθαί σε ἔδει ἀντὶ δεσπότου βασιλέως ἡμᾶς
δεσπότας, οὐκ ἂν ἔγωγέ σοι συνεβούλευον· νῦν δὲ
ἔξεστί σοι μεθ' ἡμῶν γενομένῳ μηδένα προσκυνοῦντα
μηδὲ δεσπότην ἔχοντα ζῆν καρπούμενον τὰ σαυτοῦ.
καίτοι ἐλεύθερον εἶναι ἐγὼ μὲν οἶμαι ἀντάξιον εἶναι 36
τῶν πάντων χρημάτων. οὐδὲ μέντοι τοῦτό σε κελεύο-
μεν, πένητα μὲν ἐλεύθερον δ' εἶναι, ἀλλ' ἡμῖν συμμάχοις
χρώμενον αὔξειν μὴ τὴν βασιλέως ἀλλὰ τὴν σαυτοῦ
ἀρχήν, τοὺς νῦν ὁμοδούλους σοι καταστρεφόμενον,
ὥστε σοὺς ὑπηκόους εἶναι. καίτοι εἰ ἅμα ἐλεύθερός τ'
εἴης καὶ πλούσιος γένοιο, τίνος ἂν δέοις μὴ οὐχὶ πάμ-
παν εὐδαίμων εἶναι; Οὐκοῦν, ἔφη ὁ Φαρνάβαζος, 37

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἁπλῶς ὑμῖν ἀποκρίνωμαι ἅπερ ποιήσω; Πρέπει
σοι. Ἐγὼ τοίνυν, ἔφη, ἐὰν βασιλεὺς ἄλλον μὲν
τηγὸν πέμπῃ, ἐμὲ δὲ ὑπήκοον ἐκείνου τάττῃ, β
σομαι ὑμῖν καὶ φίλος καὶ σύμμαχος εἶναι· ἐὰν
μοι τὴν ἀρχὴν προστάττῃ, τοιοῦτόν τι, ὡς ἔοικε
λοτιμία ἐστίν, εὖ χρὴ εἰδέναι ὅτι πολεμήσω ὑμ
38 ἂν δύνωμαι ἄριστα. ἀκούσας ταῦτα ὁ Ἀγησίλαο
βετο τῆς χειρὸς αὐτοῦ καὶ εἶπεν, Εἴθ', ὦ λῷστ
τοιοῦτος ὢν φίλος ἡμῖν γένοιο. ἓν δ' οὖν, ἔφη, ἐπ
ὅτι νῦν τε ἄπειμι ὡς ἂν δύνωμαι τάχιστα ἐκ τῆ
χώρας, τοῦ τε λοιποῦ, κἂν πόλεμος ᾖ, ἕως ἂ
ἄλλον ἔχωμεν στρατεύεσθαι, σοῦ τε καὶ τῶν σῶν
ξόμεθα.
39 Τούτων δὲ λεχθέντων διέλυσε τὴν σύνοδον
ὁ μὲν Φαρνάβαζος ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει, ὁ
τῆς Παραπίτας υἱὸς αὐτοῦ, καλὸς ἔτι ὤν, ὑπολει
καὶ προσδραμὼν Ξένον σε, ἔφη, ὦ Ἀγησίλαε, π
μαι. Ἐγὼ δέ γε δέχομαι. Μέμνησό νυν, ἔφη. κ
θὺς τὸ παλτόν, εἶχε δὲ καλόν, ἔδωκε τῷ Ἀγησιλά
δὲ δεξάμενος, φάλαρα ἔχοντος περὶ τῷ ἵππῳ Ἰ
τοῦ γραφέως πάγκαλα, περιελὼν ἀντέδωκεν
τότε μὲν οὖν ὁ παῖς ἀναπηδήσας ἐπὶ τὸν ἵππον
40 δίωκε τὸν πατέρα. ὡς δ' ἐν τῇ τοῦ Φαρναβάζου
δημίᾳ ἀποστερῶν ἀδελφὸς τὴν ἀρχὴν φυγάδα
ησε τὸν τῆς Παραπίτας υἱόν, τά τ' ἄλλα ὁ Ἀγησ
ἐπεμελεῖτο αὐτοῦ, καὶ ἐρασθέντος αὐτοῦ τοῦ Εὐά
υἱέος Ἀθηναίου, πάντ' ἐποίησεν ὅπως ἂν δι' ἐκ
ἐγκριθείη τὸ στάδιον ἐν Ὀλυμπίᾳ, μέγιστος ὢν
παίδων.
41 Καὶ τότε δή, ὥσπερ εἶπε πρὸς τὸν Φαρνάβ
a.C. 394. εὐθὺς ἀπεπορεύετο ἐκ τῆς χώρας· σχεδὸν δὲ κα
ἤδη ὑπέφαινεν. ἀφικόμενος δ' εἰς Θήβης πεδίον

στρατοπεδεύσατο περὶ τὸ τῆς Ἀστυρηνῆς Ἀρτέμιδος ἱερόν, καὶ ἐκεῖ πρὸς ᾧ εἶχε συνέλεγε πανταχόθεν παμπληθὲς στράτευμα. παρεσκευάζετο γὰρ πορευσόμενος ὡς δύναιτο ἀνωτάτω, νομίζων ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη πάντα ἀποστήσειν βασιλέως.

Ἀγησίλαος μὲν δὴ ἐν τούτοις ἦν. οἱ δὲ Λακεδαι- II.
μόνιοι ἐπεὶ σαφῶς ᾔσθοντο τά τε χρήματα ἐληλυθότα εἰς τὴν Ἑλλάδα καὶ τὰς μεγίστας πόλεις συνεστηκυίας ἐπὶ πολέμῳ πρὸς ἑαυτούς, ἐν κινδύνῳ τε τὴν πόλιν ἐνόμισαν καὶ στρατεύειν ἀναγκαῖον ἡγήσαντο εἶναι.
καὶ αὐτοὶ μὲν ταῦτα παρεσκευάζοντο, εὐθὺς δὲ καὶ ἐπὶ 2
τὸν Ἀγησίλαον πέμπουσιν Ἐπικυδίδαν. ὁ δ' ἐπεὶ ἀφίκετο, τά τε ἄλλα διηγεῖτο ὡς ἔχοι καὶ ὅτι ἡ πόλις ἐπι-
στέλλοι αὐτῷ βοηθεῖν ὡς τάχιστα τῇ πατρίδι. ὁ δὲ 3
Ἀγησίλαος ἐπεὶ ἤκουσε, χαλεπῶς μὲν ἤνεγκεν, ἐνθυμούμενος καὶ οἵων τιμῶν καὶ οἵων ἐλπίδων ἀποστεροῖτο, ὅμως δὲ συγκαλέσας τοὺς συμμάχους ἐδήλωσε τὰ ὑπὸ τῆς πόλεως παραγγελλόμενα, καὶ εἶπεν ὅτι ἀναγκαῖον εἴη βοηθεῖν τῇ πατρίδι· ἐὰν μέντοι ἐκεῖνα καλῶς γένηται, εὖ ἐπίστασθε, ἔφη, ὦ ἄνδρες σύμμαχοι, ὅτι οὐ μὴ ἐπιλάθωμαι ὑμῶν, ἀλλὰ πάλιν παρέσομαι πράξων ὧν
ὑμεῖς δεῖσθε. ἀκούσαντες δὲ ταῦτα πολλοὶ μὲν ἐδά- 4
κρυσαν, πάντες δ' ἐψηφίσαντο βοηθεῖν μετ' Ἀγησιλάου τῇ Λακεδαίμονι· εἰ δὲ καλῶς τἀκεῖ γένοιτο, λα-
βόντες αὐτὸν πάλιν ἥκειν εἰς τὴν Ἀσίαν. καὶ οἱ μὲν δὴ 5
συνεσκευάζοντο ὡς ἀκολουθήσοντες. ὁ δ' Ἀγησίλαος ἐν μὲν τῇ Ἀσίᾳ κατέλιπεν Εὔξενον ἁρμοστὴν καὶ φρουροὺς παρ' αὐτῷ οὐκ ἔλαττον τετρακισχιλίων, ἵνα δύναιτο διασῴζειν τὰς πόλεις· αὐτὸς δὲ ὁρῶν ὅτι οἱ πολλοὶ τῶν στρατιωτῶν μένειν ἐπεθύμουν μᾶλλον ἢ ἐφ' Ἕλληνας στρατεύεσθαι, βουλόμενος ὡς βελτίστους καὶ πλείστους ἄγειν μεθ' ἑαυτοῦ, ἆθλα προὔθηκε ταῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πόλεσιν, ἥτις ἄριστον στράτευμα πέμποι, καὶ τῶν
σθοφόρων τοῖς λοχαγοῖς, ὅστις εὐοπλότατον λό
ἔχων συστρατεύοιτο καὶ ὁπλιτῶν καὶ τοξοτῶν καὶ π
ταστῶν. προεῖπε δὲ καὶ τοῖς ἱππάρχοις, ὅστις εὐ
ποτάτην καὶ εὐοπλοτάτην τάξιν παρέχοιτο, ὡς
6 τούτοις νικητήριον δώσων. τὴν δὲ κρίσιν ἔφη πο
σειν, ἐπεὶ διαβαίησαν ἐκ τῆς Ἀσίας εἰς τὴν Εὐρώπ
ἐν Χερρονήσῳ, ὅπως εὖ εἰδείησαν ὅτι τοὺς στρατευ
7 μένους δεῖ εὐκρινεῖν. ἦν δὲ τὰ ἆθλα τὰ μὲν πλεῖ
ὅπλα ἐκπεπονημένα εἰς κόσμον καὶ ὁπλιτικὰ καὶ ἱπ
κά· ἦσαν δὲ καὶ στέφανοι χρυσοῖ· τὰ δὲ πάντα ἆ
οὐκ ἔλαττον ἐγένοντο ἢ ἀπὸ τεττάρων ταλάντων.
σούτων μέντοι ἀναλωθέντων, παμπόλλων χρημάτ
8 ὅπλα εἰς τὴν στρατιὰν κατεσκευάσθη. ἐπεὶ δὲ δι
τὸν Ἑλλήσποντον, κριταὶ κατέστησαν Λακεδαιμον
μὲν Μένασκος καὶ Ἡριππίδας καὶ Ὄρσιππος, τῶν
συμμάχων εἷς ἀπὸ πόλεως. καὶ Ἀγησίλαος μέν,
τὴν κρίσιν ἐποίησεν, ἔχων τὸ στράτευμα ἐπορεύ
τὴν αὐτὴν ὁδὸν ἥνπερ βασιλεὺς ὅτε ἐπὶ τὴν Ἑλλ
ἐστράτευεν.

9 Ἐν δὲ τούτῳ οἱ μὲν ἔφοροι φρουρὰν ἔφηναν· ἡ
πόλις, ἐπεὶ Ἀγησίπολις παῖς ἔτι ἦν, Ἀριστόδημον
γένους ὄντα καὶ πρόδικον τοῦ παιδός, ἡγεῖσθαι
10 στρατιᾷ ἐκέλευον. ἐπεὶ δ' ἐξῇσαν μὲν οἱ Λακεδαι
νιοι, συνειλεγμένοι δ' ἦσαν οἱ ἐναντίοι, συνελθόν
ἐβουλεύοντο πῶς ἂν τὴν μάχην συμφορώτατα σφί
11 αὐτοῖς ποιήσαιντο. Τιμόλαος μὲν δὴ Κορίνθιος ἔ
ξεν, Ἀλλ' ἐμοὶ δοκεῖ, ἔφη, ὦ ἄνδρες σύμμαχοι, ὅμο
εἶναι τὸ τῶν Λακεδαιμονίων πρᾶγμα οἷόνπερ τὸ
ποταμῶν. οἵ τε γὰρ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς
μεγάλοι εἰσὶν ἀλλ' εὐδιάβατοι, ὅσῳ δ' ἂν πορρωτ
γένωνται, ἐπεμβάλλοντες ἕτεροι ποταμοὶ ἰσχυρότε

αὐτῶν τὸ ῥεῦμα ποιοῦσι, καὶ οἱ Λακεδαιμόνιοι ὡσαύτως, ἔνθεν μὲν ἐξέρχονται, αὐτοὶ μόνοι εἰσί, προϊόντες δὲ καὶ παραλαμβάνοντες τὰς πόλεις πλείονές τε καὶ δυσμαχώτεροι γίγνονται. ὁρῶ δ' ἔγωγε, ἔφη, καὶ ὁπόσοι σφῆκας ἐξαιρεῖν βούλονται, ἐὰν μὲν ἐκθέοντας τοὺς σφῆκας πειρῶνται θηρᾶν, ὑπὸ πολλῶν τυπτομένους· ἐὰν δ' ἔτι ἔνδον ὄντων τὸ πῦρ προσφέρωσι, πάσχοντας μὲν οὐδέν, χειρουμένους δὲ τοὺς σφῆκας. ταῦτ' οὖν ἐνθυμούμενος ἡγοῦμαι κράτιστον εἶναι μάλιστα μὲν ἐν αὐτῇ, εἰ δὲ μή, ὅτι ἐγγύτατα τῆς Λακεδαίμονος τὴν μάχην ποιεῖσθαι. δόξαντος δ' εὖ λέγειν αὐτοῦ ἐψηφίσαντο ταῦτα. ἐν ᾧ δὲ περὶ ἡγεμονίας τε διεπράττοντο καὶ διωμολογοῦντο εἰς ὁπόσους δέοι τάττεσθαι πᾶν τὸ στράτευμα, ὅπως μὴ λίαν βαθείας τὰς φάλαγγας ποιούμεναι αἱ πόλεις κύκλωσιν τοῖς πολεμίοις παρέχοιεν, ἐν τούτῳ οἱ Λακεδαιμόνιοι καὶ δὴ Τεγεάτας παρειληφότες καὶ Μαντινέας ἐξῆσαν τὴν ἀμφίαλον. καὶ πορευόμενοι, σχεδόν τι ἅμα οἱ μὲν περὶ τοὺς Κορινθίους ἐν τῇ Νεμέᾳ ἦσαν, οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι ἐν τῷ Σικυῶνι. ἐμβαλόντων δὲ αὐτῶν κατὰ τὴν Ἐπιεικίαν, τὸ μὲν πρῶτον ἐκ τῶν ὑπερδεξίων βάλλοντες αὐτοὺς καὶ τοξεύοντες μάλα κακῶς ἐποίουν οἱ γυμνῆτες τῶν ἀντιπάλων· ὡς δὲ κατέβησαν ἐπὶ θάλατταν, ταύτῃ προῆσαν διὰ τοῦ πεδίου, τέμνοντες καὶ κάοντες τὴν χώραν· καὶ οἱ ἕτεροι μέντοι ἐπελθόντες κατεστρατοπεδεύσαντο, ἔμπροσθεν ποιησάμενοι τὴν Χαράδραν· ἐπεὶ δὲ προϊόντες οἱ Λακεδαιμόνιοι οὐκέτι δέκα στάδια ἀπεῖχον τῶν πολεμίων, κἀκεῖνοι αὐτοῦ στρατοπεδευσάμενοι ἡσυχίαν εἶχον.

12 … 13 … 14 … 15 (section numbers: see below)

Φράσω δὲ καὶ τὸ πλῆθος ἑκατέρων. συνελέγησαν 16
γὰρ ὁπλῖται Λακεδαιμονίων μὲν εἰς ἑξακισχιλίους, Ἠλείων δὲ καὶ Τριφυλίων καὶ Ἀκρωρείων καὶ Λασιω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νίων ἐγγυς τρισχίλιοι καὶ Σικυωνίων πεντακόσιοι καὶ χίλιοι, Ἐπιδαυρίων δὲ καὶ Τροιζηνίων καὶ Ἑρμιονέων καὶ Ἁλιέων ἐγένοντο οὐκ ἐλάττους τρισχιλίων. πρὸς δὲ τούτοις ἱππεῖς μὲν Λακεδαιμονίων περὶ ἑξακοσίους, Κρῆτες δὲ τοξόται ἠκολούθουν ὡς τριακόσιοι, καὶ μὴν σφενδονῆται Μαργανέων καὶ Λετρίνων καὶ Ἀμφιδόλων οὐκ ἐλάττους τετρακοσίων. Φλιάσιοι μέντοι οὐκ ἠκολούθουν· ἐκεχειρίαν γὰρ ἔφασαν ἔχειν. αὕτη μὲν
17 δὴ ἡ μετὰ Λακεδαιμονίων δύναμις ἦν. ἥ γε μὴν τῶν πολεμίων ἠθροίσθη Ἀθηναίων μὲν εἰς ἑξακισχιλίους ὁπλίτας, Ἀργείων δ' ἐλέγοντο περὶ ἑπτακισχιλίους, Βοιωτῶν δ', ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, περὶ πεντακισχιλίους, Κορινθίων γε μὴν εἰς τρισχιλίους, καὶ μὴν ἐξ Εὐβοίας ἁπάσης οὐκ ἐλάττους τρισχιλίων. ὁπλιτικὸν μὲν δὴ τοσοῦτον· ἱππεῖς δὲ Βοιωτῶν μέν, ἐπεὶ Ὀρχομένιοι οὐ παρῆσαν, εἰς ὀκτακοσίους, Ἀθηναίων δ' εἰς ἑξακοσίους, καὶ Χαλκιδέων τῶν ἐξ Εὐβοίας εἰς ἑκατόν, Λοκρῶν δὲ τῶν Ὀπουντίων εἰς πεντήκοντα. καὶ ψιλῶν δὲ σὺν τοῖς τῶν Κορινθίων πλέον ἦν*· καὶ γὰρ Λοκροὶ οἱ Ὀζόλαι καὶ Μηλιεῖς καὶ Ἀκαρνᾶνες παρῆσαν αὐτοῖς.
18 Αὕτη μὲν δὴ ἑκατέρων ἡ δύναμις ἐγένετο. οἱ δὲ Βοιωτοὶ ἕως μὲν τὸ εὐώνυμον εἶχον, οὐδέν τι κατήπειγον τὴν μάχην συνάπτειν· ἐπεὶ δὲ οἱ μὲν Ἀθηναῖοι κατὰ Λακεδαιμονίους ἐγένοντο, αὐτοὶ δὲ τὸ δεξιὸν ἔσχον καὶ κατ' Ἀχαιοὺς ἀντετάχθησαν, εὐθὺς τά τε ἱερὰ καλὰ ἔφασαν εἶναι καὶ παρήγγειλαν παρασκευάζεσθαι ὡς μάχης ἐσομένης. καὶ πρῶτον μὲν ἀμελήσαντες τοῦ εἰς ἑκκαίδεκα βαθεῖαν παντελῶς ἐποιήσαντο τὴν φάλαγγα, ἔτι δὲ καὶ ἦγον ἐπὶ τὰ δεξιά, ὅπως ὑπερέχοιεν τῷ κέρατι τῶν πολεμίων· οἱ δ' Ἀθηναῖοι, ἵνα μὴ διασπασθείησαν, ἐπηκολούθουν, καίπερ γιγνώσκοντες ὅτι
19 κίνδυνος εἴη κυκλωθῆναι. τέως μὲν οὖν οἱ Λακεδαι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνιοι οὐκ ᾐσθάνοντο προσιόντων τῶν πολεμίων· καὶ
γὰρ ἦν λάσιον τὸ χωρίον· ἐπεὶ δ' ἐπαιάνισαν, τότε δὴ
ἔγνωσαν, καὶ εὐθὺς ἀντιπαρήγγειλαν ἅπαντας δια-
σκευάζεσθαι ὡς εἰς μάχην. ἐπεὶ δὲ συνετάχθησαν ὡς
ἑκάστους οἱ ξεναγοὶ ἔταξαν, παρηγγύησαν μὲν ἀκο-
λουθεῖν τῷ ἡγουμένῳ, ἦγον δὲ καὶ οἱ Λακεδαιμόνιοι
ἐπὶ τὰ δεξιά, καὶ οὕτω πολὺ ὑπερέτεινον τὸ κέρας
ὥστε τῶν Ἀθηναίων αἱ μὲν ἓξ φυλαὶ κατὰ τοὺς Λακε-
δαιμονίους ἐγένοντο, αἱ δὲ τέτταρες κατὰ Τεγεάτας.
οὐκέτι δὲ στάδιον ἀπεχόντων, σφαγιασάμενοι οἱ Λα- 20
κεδαιμόνιοι τῇ Ἀγροτέρᾳ, ὥσπερ νομίζεται, τὴν χί-
μαιραν, ἡγοῦντο ἐπὶ τοὺς ἐναντίους, τὸ ὑπερέχον ἐπι-
κάμψαντες εἰς κύκλωσιν. ἐπεὶ δὲ συνέμιξαν, οἱ μὲν
ἄλλοι σύμμαχοι πάντες οἱ τῶν Λακεδαιμονίων ἐκρατή-
θησαν ὑπὸ τῶν ἐναντίων, Πελληνεῖς δὲ κατὰ Θεσπιέας
γενόμενοι ἐμάχοντό τε καὶ ἐν χώρᾳ ἔπιπτον ἑκατέρων.
αὐτοὶ δὲ οἱ Λακεδαιμόνιοι ὅσον τε κατέσχον τῶν Ἀθη- 21
ναίων ἐκράτησαν, καὶ κυκλωσάμενοι τῷ ὑπερέχοντι
πολλοὺς ἀπέκτειναν αὐτῶν, καὶ ἅτε δὴ ἀπαθεῖς ὄντες,
συντεταγμένοι ἐπορεύοντο· καὶ τὰς μὲν τέτταρας φυ-
λὰς τῶν Ἀθηναίων πρὶν ἐκ τῆς διώξεως ἐπαναχωρῆσαι
παρῆλθον, ὥστε οὐκ ἀπέθανον αὐτῶν πλὴν εἴ τις ἐν
τῇ συμβολῇ ὑπὸ Τεγεατῶν· τοῖς δ' Ἀργείοις ἐπιτυγ- 22
χάνουσιν οἱ Λακεδαιμόνιοι ἀναχωροῦσι, καὶ μέλλον-
τος τοῦ πρώτου πολεμάρχου ἐκ τοῦ ἐναντίου συμβάλ-
λειν αὐτοῖς, λέγεται ἄρα τις ἀναβοῆσαι παρεῖναι τοὺς
πρώτους. ὡς δὲ τοῦτ' ἐγένετο, παραθέοντας δὴ παί-
οντες εἰς τὰ γυμνὰ πολλοὺς ἀπέκτειναν αὐτῶν. ἐπε-
λάβοντο δὲ καὶ Κορινθίων ἀναχωρούντων. ἔτι δ' ἐπέ-
τυχον οἱ Λακεδαιμόνιοι καὶ τῶν Θηβαίων τισὶν ἀνα-
χωροῦσιν ἐκ τῆς διώξεως, καὶ ἀπέκτειναν συχνοὺς αὐ-
τῶν. τούτων δὲ γενομένων, οἱ ἡττώμενοι τὸ μὲν 23

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

πρῶτον ἔφευγον πρὸς τὰ τείχη· ἔπειτα δ' εἰρξάντ
Κορινθίων πάλιν κατεσκήνησαν εἰς τὸ ἀρχαῖον στρ
τόπεδον. Λακεδαιμόνιοι δ' αὖ ἐπαναχωρήσαντες, ἐν
τὸ πρῶτον τοῖς πολεμίοις συνέμιξαν, ἐστήσαντο τ
παιον. καὶ αὕτη μὲν δὴ ἡ μάχη οὕτως ἐγένετο.
III. Ὁ δ' Ἀγησίλαος σπεύδων μὲν ἐκ τῆς Ἀσίας ἐβ
θει· ὄντι δ' αὐτῷ ἐν Ἀμφιπόλει ἀγγέλλει Δερκυλί
ὅτι νικῷέν τε αὖ Λακεδαιμόνιοι, καὶ αὐτῶν μὲν
θνάναι ὀκτώ, τῶν δὲ πολεμίων παμπληθεῖς· ἐδήλου
ὅτι καὶ τῶν συμμάχων οὐκ ὀλίγοι πεπτωκότες εἰ
2 ἐρομένου δὲ τοῦ Ἀγησιλάου, Ἆρ' ἄν, ὦ Δερκυλί
ἐν καιρῷ γένοιτο, εἰ αἱ συμπέμπουσαι πόλεις ἡμῖν τ
στρατιώτας τὴν νίκην ὡς τάχιστα πύθοιντο; ἀπεκ
νατο δὴ ὁ Δερκυλίδας, Εὐθυμοτέρους γοῦν εἰ
ταῦτ' ἀκούσαντας εἶναι. Οὐκοῦν σύ, ἐπεὶ παρεγέν
κάλλιστ' ἂν ἀπαγγείλαις; ὁ δὲ ἄσμενος ἀκούσας,
γὰρ ἀεὶ φιλαπόδημος ἦν, εἶπεν, Εἰ σὺ τάττοις. Ἀλ
τάττω, ἔφη, καὶ προσαπαγγέλλειν κελεύω ὅτι ἐὰν
τάδε εὖ γένηται, πάλιν παρεσόμεθα, ὥσπερ καὶ ἔφ
3 μεν. ὁ μὲν δὴ Δερκυλίδας ἐφ' Ἑλλησπόντου πρῶ
ἐπορεύετο· ὁ δ' Ἀγησίλαος διαλλάξας Μακεδονίαν
Θετταλίαν ἀφίκετο. Λαρισαῖοι μὲν οὖν καὶ Κραν
νιοι καὶ Σκοτουσσαῖοι καὶ Φαρσάλιοι, σύμμαχοι ὄν
Βοιωτοῖς, καὶ πάντες δὲ Θετταλοί, πλὴν ὅσοι αὐτ
φυγάδες τότ' ἐτύγχανον, ἐκακούργουν αὐτὸν ἐπα
4 κολουθοῦντες. ὁ δὲ τέως μὲν ἦγεν ἐν πλαισίῳ τὸ στρ
τευμα, τοὺς ἡμίσεις μὲν ἔμπροσθεν, τοὺς ἡμίσεις
ἐπ' οὐρᾷ ἔχων τῶν ἱππέων· ἐπεὶ δ' ἐκώλυον τῆς π
ρείας οἱ Θετταλοὶ ἐπελαύνοντες τοῖς ὄπισθεν, παρ
πέμπει ἐπ' οὐρὰν καὶ τὸ ἀπὸ τοῦ στόματος ἱππικ
5 πλὴν τῶν περὶ αὐτόν. ὡς δὲ παρετάξαντο ἀλλήλοις
μὲν Θετταλοὶ νομίσαντες οὐκ ἐν καλῷ εἶναι πρὸς τ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁπλίτας ἱππομαχεῖν, στρέψαντες βάδην ἀπεχώρουν, οἱ δὲ μάλα σωφρόνως ἐπηκολούθουν. γνοὺς δὲ ὁ Ἀγη- 6
σίλαος ἃ ἑκάτεροι ἡμάρτανον, πέμπει τοὺς περὶ αὑτὸν μάλα εὐρώστους ἱππέας, καὶ κελεύει τοῖς τε ἄλλοις παραγγέλλειν καὶ αὐτοὺς διώκειν ὡς τάχιστα καὶ μηκέτι δοῦναι αὐτοῖς ἀναστροφήν. οἱ δὲ Θετταλοὶ ὡς 7
εἶδον παρὰ δόξαν ἐλαύνοντας, οἱ μὲν αὐτῶν οὐδ' ἀνέστρεψαν, οἱ δὲ πειρώμενοι τοῦτο ποιεῖν, πλαγίους ἔχοντες τοὺς ἵππους ἡλίσκοντο. Πολύχαρμος μέντοι ὁ Φαρ- 8
σάλιος ἱππαρχῶν ἀνέστρεψέ τε καὶ μαχόμενος σὺν τοῖς περὶ αὐτὸν ἀποθνήσκει. ὡς δὲ τοῦτ' ἐγένετο, φυγὴ τῶν Θετταλῶν ἐξαισία γίγνεται· ὥστε οἱ μὲν ἀπέθνησκον αὐτῶν, οἱ δὲ καὶ ἡλίσκοντο. ἔστησαν δ' οὖν οὐ πρόσθεν, πρὶν ἐν τῷ ὄρει τῷ Ναρθακίῳ ἐγένοντο. καὶ τότε μὲν δὴ ὁ Ἀγησίλαος τρόπαιόν τ' ἐστήσατο με- 9
ταξὺ Πραντὸς καὶ Ναρθακίου, καὶ αὐτοῦ ἔμεινε, μάλα ἡδόμενος τῷ ἔργῳ, ὅτι τοὺς μέγιστον φρονοῦντας ἐπὶ ἱππικῇ ἐνενικήκει σὺν ᾧ αὐτὸς συνέλεξεν ἱππικῷ. τῇ δ' ὑστεραίᾳ ὑπερβαλὼν τὰ Ἀχαϊκὰ τῆς Φθίας ὄρη τὴν λοιπὴν πᾶσαν διὰ φιλίας ἐπορεύετο μέχρι πρὸς τὰ Βοιωτῶν ὅρια.

Ὄντος δ' αὐτοῦ ἐπὶ τῇ ἐμβολῇ ὁ ἥλιος μηνοειδὴς 10
ἔδοξε φανῆναι, καὶ ἠγγέλθη ὅτι ἡττημένοι εἶεν Λακεδαιμόνιοι τῇ ναυμαχίᾳ καὶ ὁ ναύαρχος Πείσανδρος τεθναίη. ἐλέγετο δὲ καὶ ᾧ τρόπῳ ἡ ναυμαχία ἐγένετο. εἶναι μὲν γὰρ περὶ Κνίδον τὸν ἐπίπλουν ἀλλήλοις, 11
Φαρνάβαζον δὲ ναύαρχον ὄντα σὺν ταῖς Φοινίσσαις εἶναι, Κόνωνα δὲ τὸ Ἑλληνικὸν ἔχοντα τετάχθαι ἔμπροσθεν αὐτοῦ. ἀντιπαραταξαμένου δὲ τοῦ Πεισάν- 12
δρου, καὶ πολὺ ἐλαττόνων αὐτῷ τῶν νεῶν φανεισῶν τῶν αὐτοῦ τοῦ μετὰ Κόνωνος Ἑλληνικοῦ, τοὺς μὲν ἀπὸ τοῦ εὐωνύμου συμμάχους εὐθὺς αὐτῷ φεύγειν,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν δὲ συμμίξαντα τοῖς πολεμίοις ἐμβολὰς ἐχούσῃ τῇ
τριήρει πρὸς τὴν γῆν ἐξωσθῆναι· καὶ τοὺς μὲν ἄλλους
ὅσοι εἰς τὴν γῆν ἐξεώσθησαν ἀπολιπόντας τὰς ναῦς
σώζεσθαι ὅπῃ δύναιντο εἰς τὴν Κνίδον, αὐτὸν δ' ἐπὶ
13 τῇ νηὶ μαχόμενον ἀποθανεῖν. ὁ οὖν Ἀγησίλαος
πυθόμενος ταῦτα τὸ μὲν πρῶτον χαλεπῶς ἤνεγκεν·
ἐπεὶ μέντοι ἐνεθυμήθη ὅτι τοῦ στρατεύματος τὸ πλεῖ-
στον εἴη αὐτῷ οἷον ἀγαθῶν μὲν γιγνομένων ἡδέως
μετέχειν, εἰ δέ τι χαλεπὸν ὁρῷεν, οὐκ ἀνάγκην εἶναι
κοινωνεῖν αὐτοῖς, ἐκ τούτου μεταβαλὼν ἔλεγεν ὡς ἀγ-
γέλλοιτο ὁ μὲν Πείσανδρος τετελευτηκώς, νικῴη δὲ τῇ
14 ναυμαχίᾳ. ἅμα δὲ ταῦτα λέγων καὶ ἐβουθύτει ὡς εὐ-
αγγέλια καὶ πολλοῖς διέπεμπε τῶν τεθυμένων· ὥστε
ἀκροβολισμοῦ ὄντος πρὸς τοὺς πολεμίους ἐκράτησαν
οἱ τοῦ Ἀγησιλάου τῷ λόγῳ ὡς Λακεδαιμονίων νι-
κώντων τῇ ναυμαχίᾳ.

15 Ἦσαν δ' οἱ μὲν ἀντιτεταγμένοι τῷ Ἀγησιλάῳ
Βοιωτοί, Ἀθηναῖοι, Ἀργεῖοι, Κορίνθιοι, Αἰνιᾶνες, Εὐ-
βοεῖς, Λοκροὶ ἀμφότεροι· σὺν Ἀγησιλάῳ δὲ Λακεδαι-
μονίων μὲν μόρα ἡ ἐκ Κορίνθου διαβᾶσα, ἥμισυ δὲ
μόρας τῆς ἐξ Ὀρχομενοῦ, ἔτι δ' οἱ ἐκ Λακεδαίμονος
νεοδαμώδεις συστρατευσάμενοι αὐτῷ, πρὸς δὲ τούτοις
οὗ Ἡριππίδας ἐξενάγει ξενικοῦ, ἔτι δὲ οἱ ἀπὸ τῶν ἐν
τῇ Ἀσίᾳ πόλεων Ἑλληνίδων, καὶ ἀπὸ τῶν ἐν τῇ Εὐρώ-
πῃ ὅσας διιὼν παρέλαβεν· αὐτόθεν δὲ προσεγένοντο
ὁπλῖται Ὀρχομένιοι καὶ Φωκεῖς. πελτασταί γε μὴν
πολὺ πλείονες οἱ μετ' Ἀγησιλάου· ἱππεῖς δ' αὖ παραπλή-
16 σιοι ἀμφοτέροις τὸ πλῆθος. ἡ μὲν δὴ δύναμις αὕτη ἀμ-
φοτέρων· διηγήσομαι δὲ καὶ τὴν μάχην, καὶ πῶς ἐγέ-
νετο οἵα οὐκ ἄλλη τῶν γ' ἐφ' ἡμῶν. συνῆσαν μὲν γὰρ
εἰς τὸ κατὰ Κορώνειαν πεδίον οἱ μὲν σὺν Ἀγησιλάῳ ἀπὸ
τοῦ Κηφισοῦ, οἱ δὲ σὺν Θηβαίοις ἀπὸ τοῦ Ἑλικῶνος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶχε δ' Ἀγησίλαος μὲν δεξιὸν τοῦ μετ' αὐτοῦ, Ὀρχομέ-
νιοι δ' αὐτῷ ἔσχατοι ἦσαν τοῦ εὐωνύμου. οἱ δ' αὖ Θη-
βαῖοι αὐτοὶ μὲν δεξιοὶ ἦσαν, Ἀργεῖοι δ' αὐτοῖς τὸ εὐώ-
νυμον εἶχον. συνιόντων δὲ τέως μὲν σιγὴ πολλὴ ἀπ' ἀμ- 17
φοτέρων ἦν· ἡνίκα δ' ἀπεῖχον ἀλλήλων ὅσον στάδιον,
ἀλαλάξαντες οἱ Θηβαῖοι δρόμῳ ὁμόσε ἐφέροντο. ὡς δὲ
τριῶν ἔτι πλέθρων ἐν μέσῳ ὄντων ἀντεξέδραμον ἀπὸ
τῆς Ἀγησιλάου φάλαγγος ὧν Ἡριππίδας ἐξενάγει καὶ
σὺν αὐτοῖς Ἴωνες καὶ Αἰολεῖς καὶ Ἑλλησπόντιοι, καὶ
πάντες οὗτοι τῶν συνεκδραμόντων τε ἐγένοντο καὶ
εἰς δόρυ ἀφικόμενοι ἔτρεψαν τὸ καθ' αὐτούς. Ἀργεῖοι
μέντοι οὐκ ἐδέξαντο τοὺς περὶ Ἀγησίλαον, ἀλλ' ἔφυ-
γον ἐπὶ τὸν Ἑλικῶνα. κἀνταῦθα οἱ μέν τινες τῶν ξέ- 18
νων ἐστεφάνουν ἤδη τὸν Ἀγησίλαον, ἀγγέλλει δέ τις
αὐτῷ ὅτι οἱ Θηβαῖοι τοὺς Ὀρχομενίους διακόψαντες ἐν
τοῖς σκευοφόροις εἴησαν. καὶ ὁ μὲν εὐθὺς ἐξελίξας
τὴν φάλαγγα ἦγεν ἐπ' αὐτούς· οἱ δ' αὖ Θηβαῖοι ὡς εἶ-
δον τοὺς συμμάχους πρὸς Ἑλικῶνι πεφευγότας, δια-
πεσεῖν βουλόμενοι πρὸς τοὺς ἑαυτῶν, συσπειραθέντες
ἐχώρουν ἐρρωμένως. ἐνταῦθα δὴ Ἀγησίλαον ἀνδρεῖον 19
μὲν ἔξεστιν εἰπεῖν ἀναμφισβητήτως· οὐ μέντοι εἵλετό
γε τὰ ἀσφαλέστατα. ἐξὸν γὰρ αὐτῷ παρέντι τοὺς δια-
πίπτοντας ἀκολουθοῦντι χειροῦσθαι τοὺς ὄπισθεν,
οὐκ ἐποίησε τοῦτο, ἀλλ' ἀντιμέτωπος συνέρραξε τοῖς
Θηβαίοις· καὶ συμβαλόντες τὰς ἀσπίδας ἐωθοῦντο,
ἐμάχοντο, ἀπέκτεινον, ἀπέθνησκον. τέλος δὲ τῶν
Θηβαίων οἱ μὲν διαπίπτουσι πρὸς τὸν Ἑλικῶνα, πολ-
λοὶ δὲ ἀποχωροῦντες ἀπέθανον. ἐπεὶ δ' ἡ μὲν νίκη 20
Ἀγησιλάου ἐγεγένητο, τετρωμένος δ' αὐτὸς προσενή-
νεκτο πρὸς τὴν φάλαγγα, προσελάσαντές τινες τῶν ἱπ-
πέων λέγουσιν αὐτῷ ὅτι τῶν πολεμίων ὡς ὀγδοήκοντα
σὺν ὅπλοις ὑπὸ τῷ νεῷ εἰσι, καὶ ἠρώτων τί χρὴ ποιεῖν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ δέ, καίπερ πολλὰ τραύματα ἔχων, ὅμως οὐκ ἐπελά-
θετο τοῦ θείου, ἀλλ' ἐᾶν τε ἀπιέναι ᾗ βούλοιντο ἐκέ-
21 λευε καὶ ἀδικεῖν οὐκ εἴα. τότε μὲν οὖν, καὶ γὰρ ἦ
ἤδη ὀψέ, δειπνοποιησάμενοι ἐκοιμήθησαν. πρῷ δ
Γῦλιν τὸν πολέμαρχον παρατάξαι τε ἐκέλευε τὸ στρά-
τευμα καὶ τρόπαιον ἵστασθαι καὶ στεφανοῦσθαι πάν-
ἑας τῷ θεῷ καὶ τοὺς αὐλητὰς πάντας αὐλεῖν. καὶ ο
μὲν ταῦτ' ἐποίουν. οἱ δὲ Θηβαῖοι ἔπεμψαν κήρυκας
ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι. καὶ οὕ
τω δὴ αἵ τε σπονδαὶ γίγνονται καὶ Ἀγησίλαος μὲν εἰ
Δελφοὺς ἀφικόμενος δεκάτην τῶν ἐκ τῆς λείας τῷ θε
ἀπέθυσεν οὐκ ἐλάττω ἑκατὸν ταλάντων· Γῦλις δὲ
πολέμαρχος ἔχων τὸ στράτευμα ἀπεχώρησεν εἰς Φω
22 κέας, ἐκεῖθεν δ' εἰς τὴν Λοκρίδα ἐμβάλλει. καὶ τὴ
μὲν ἄλλην ἡμέραν οἱ στρατιῶται καὶ σκεύη ἐκ τῶν κω
μῶν καὶ σῖτον ἥρπαζον· ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, τε
λευταίων ἀποχωρούντων τῶν Λακεδαιμονίων ἐπηκο
λούθουν αὐτοῖς οἱ Λοκροὶ βάλλοντες καὶ ἀκοντίζοντε
ὡς δ' αὐτῶν οἱ Λακεδαιμόνιοι ὑποστρέψαντες καὶ διώ
ξαντες κατέβαλόν τινας, ἐκ τούτου ὄπισθεν μὲν οὐκ
ἔτι ἐπηκολούθουν, ἐκ δὲ τῶν ὑπερδεξίων ἔβαλλο
23 οἱ δ' ἐπεχείρησαν μὲν καὶ πρὸς τὸ σιμὸν διώκειν· ἐπ
δὲ σκότος τε ἐγίγνετο καὶ ἀποχωροῦντες οἱ μὲν δι
τὴν δυσχωρίαν ἔπιπτον, οἱ δὲ καὶ διὰ τὸ μὴ προορᾶ
τὰ ἔμπροσθεν, οἱ δὲ καὶ ὑπὸ τῶν βελῶν, ἐνταῦθ
ἀποθνήσκουσι Γῦλίς τε ὁ πολέμαρχος καὶ τῶν παρα
στατῶν Πελλῆς, καὶ οἱ πάντες ὡς ὀκτωκαίδεκα τῶ
Σπαρτιατῶν, οἱ μὲν καταλευσθέντες, οἱ δὲ καὶ τραυ
ματισθέντες. εἰ δὲ μὴ ἐβοήθησαν αὐτοῖς ἐκ τ
στρατοπέδου δειπνοῦντες, ἐκινδύνευσαν ἂν ἅπαντ
ἀπολέσθαι.

IV. Μετὰ τοῦτό γε μὴν ἀφείθη μὲν κατὰ πόλεις τ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλο στράτευμα, ἀπέπλευσε δὲ καὶ ὁ Ἀγησίλαος ἐπ' οἴκου. ἐκ δὲ τούτου ἐπολέμουν Ἀθηναῖοι μὲν καὶ Βοιωτοὶ καὶ Ἀργεῖοι καὶ οἱ σύμμαχοι αὐτῶν ἐκ Κορίνθου ὁρμώμενοι, Λακεδαιμόνιοι δὲ καὶ οἱ σύμμαχοι ἐκ Σικυῶνος. ὁρῶντες δ' οἱ Κορίνθιοι ἑαυτῶν μὲν καὶ τὴν χώραν δῃουμένην καὶ ἀποθνήσκοντας διὰ τὸ ἀεὶ τῶν πολεμίων ἐγγὺς εἶναι, τοὺς δ' ἄλλους συμμάχους καὶ αὐτοὺς ἐν εἰρήνῃ ὄντας καὶ τὰς χώρας αὐτῶν ἐνεργοὺς οὔσας, οἱ πλεῖστοι καὶ βέλτιστοι αὐτῶν εἰρήνης ἐπεθύμησαν, καὶ συνιστάμενοι ἐδίδασκον ταῦτα ἀλλήλους. a.C. 393

2 γνόντες δ' οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ Κορινθίων οἵ τε τῶν παρὰ βασιλέως χρημάτων μετεσχηκότες καὶ οἱ τοῦ πολέμου αἰτιώτατοι γεγενημένοι ὡς εἰ μὴ ἐκποδὼν ποιήσοιντο τοὺς ἐπὶ τὴν εἰρήνην τετραμμένους, κινδυνεύσει πάλιν ἡ πόλις λακωνίσαι, οὕτω δὴ σφαγὰς ἐπεχείρουν ποιεῖσθαι. καὶ πρῶτον μὲν τὸ πάντων ἀνοσιώτατον ἐβουλεύσαντο· οἱ μὲν γὰρ ἄλλοι, κἂν νόμῳ τις καταγνωσθῇ, οὐκ ἀποκτιννύασιν ἐν ἑορτῇ· ἐκεῖνοι δ' Εὐκλείων τὴν τελευταίαν προείλοντο, ὅτι πλείονας ἂν ᾤοντο λαβεῖν ἐν τῇ ἀγορᾷ, ὥστε ἀποκτεῖναι.

3 ὡς δ' ἐσημάνθη οἷς εἴρητο οὓς ἔδει ἀποκτεῖναι, σπασάμενοι τὰ ξίφη ἔπαιον τὸν μέν τινα συνεστηκότα ἐν κύκλῳ, τὸν δὲ καθήμενον, τὸν δέ τινα ἐν θεάτρῳ, ἔστι δ' ὃν καὶ κριτὴν καθήμενον. ὡς δ' ἐγνώσθη τὸ πρᾶγμα, εὐθὺς ἔφευγον οἱ βέλτιστοι, οἱ μὲν πρὸς τὰ ἀγάλματα τῶν ἐν τῇ ἀγορᾷ θεῶν, οἱ δ' ἐπὶ τοὺς βωμούς· ἔνθα δὴ οἱ ἀνοσιώτατοι καὶ παντάπασιν οὐδὲν νόμιμον φρονοῦντες, οἵ τε κελεύοντες καὶ οἱ πειθόμενοι, ἔσφαττον καὶ πρὸς τοῖς ἱεροῖς· ὥστ' ἐνίους καὶ τῶν οὐ τυπτομένων, νομίμων δ' ἀνθρώπων, ἀδημονῆσαι τὰς ψυχὰς ἰδόντας τὴν ἀσέβειαν.

4 ἀποθνήσκουσι δ' οὕτω τῶν μὲν πρεσβυτέρων πολλοί· μᾶλλον γὰρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔτυχον ἐν τῇ ἀγορᾷ ὄντες· οἱ δὲ νεώτεροι, ὑποπτεύσαν-
τος Πασιμήλου τὸ μέλλον ἔσεσθαι, ἡσυχίαν ἔσχον ἐν
τῷ Κρανείῳ. ὡς δὲ τῆς κραυγῆς ᾔσθοντο, καὶ φεύ-
γοντές τινες ἐκ τοῦ πράγματος ἀφίκοντο πρὸς αὐτούς,
ἐκ τούτου ἀναδραμόντες κατὰ τὸν Ἀκροκόρινθον,
προσβαλόντας μὲν Ἀργείους καὶ τοὺς ἄλλους ἀπεκρού-
5 σαντο· βουλευομένων δὲ τί χρὴ ποιεῖν, πίπτει τὸ κιό-
κρανον ἀπὸ τοῦ κίονος οὔτε σεισμοῦ οὔτε ἀνέμου γε-
νομένου. καὶ θυομένοις δὲ τοιαῦτα ἦν τὰ ἱερὰ ὥστε οἱ
μάντεις ἔφασαν ἄμεινον εἶναι καταβαίνειν ἐκ τοῦ χω-
ρίου. καὶ τὸ μὲν πρῶτον ὡς φευξόμενοι ἔξω τῆς Κοριν-
θίας ἀπεχώρησαν· ἐπεὶ δὲ καὶ οἱ φίλοι αὐτοὺς ἔπειθον
καὶ μητέρες ἰοῦσαι καὶ ἀδελφαί, καὶ αὐτῶν δὲ τῶν ἐν
δυνάμει ὄντων ἦσαν οἳ ὀμνύντες ὑπισχνοῦντο μηδὲν
χαλεπὸν αὐτοὺς πείσεσθαι, οὕτω δὴ ἀπῆλθόν τινες οἴ-
6 καδε αὐτῶν. ὁρῶντες δὲ τοὺς τυραννεύοντας, αἰσθα-
νόμενοι δὲ ἀφανιζομένην τὴν πόλιν διὰ τὸ καὶ ὅρους
ἀνεσπάσθαι καὶ Ἄργος ἀντὶ Κορίνθου τὴν πατρίδα
αὐτοῖς ὀνομάζεσθαι, καὶ πολιτείας μὲν ἀναγκαζόμενοι
τῆς ἐν Ἄργει μετέχειν, ἧς οὐδὲν ἐδέοντο, ἐν δὲ τῇ πόλει
μετοίκων ἔλαττον δυνάμενοι, ἐγένοντό τινες αὐτῶν οἳ
ἐνόμισαν οὕτω μὲν ἀβίωτον εἶναι· πειρωμένους δὲ
τὴν πατρίδα, ὥσπερ ἦν καὶ ἐξ ἀρχῆς, Κόρινθον ποιῆ-
σαι καὶ ἐλευθέραν ἀποδεῖξαι καὶ τῶν μὲν μιαιφόνων
καθαράν, εὐνομίᾳ δὲ χρωμένην, ἄξιον εἶναι, εἰ μὲν
δύναιντο καταπρᾶξαι ταῦτα, σωτῆρας γενέσθαι τῆς πα-
τρίδος, εἰ δὲ μὴ δύναιντο, τῶν γε καλλίστων καὶ με-
γίστων ἀγαθῶν ὀρεγομένους ἀξιεπαινοτάτης τελευτῆς
7 τυχεῖν. οὕτω δὴ ἐπιχειρεῖτον ἄνδρε δύο, Πασίμηλός τε
καὶ Ἀλκιμένης, διαδύντε διὰ χειμάρρου συγγενέσθαι
Πραξίτᾳ τῷ Λακεδαιμονίων πολεμάρχῳ, ὃς ἐτύγχανε
μετὰ τῆς ἑαυτοῦ μόρας φρουρῶν ἐν Σικυῶνι, καὶ εἶπον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι δύναιντ' ἂν παρασχεῖν αὐτῷ εἴσοδον εἰς τὰ κατα-
τείνοντα ἐπὶ Λέχαιον τείχη. ὁ δὲ καὶ πρόσθεν γιγνώ-
σκων τὼ ἄνδρε ἀξιοπίστω ὄντε, ἐπίστευσε, καὶ διαπρα-
ξάμενος ὥστε καὶ τὴν ἀπιέναι μέλλουσαν ἐκ Σικυῶνος
μόραν καταμεῖναι, ἔπραττε τὴν εἴσοδον. ἐπεὶ δὲ τὼ 8
ἄνδρε καὶ κατὰ τύχην καὶ κατ' ἐπιμέλειαν ἐγενέσθην
φύλακε κατὰ τὰς πύλας ταύτας ἔνθαπερ τὸ τρόπαιον
ἕστηκεν, οὕτω δὴ ἔχων ὁ Πραξίτας ἔρχεται τήν τε μό-
ραν καὶ Σικυωνίους καὶ Κορινθίων ὅσοι φυγάδες ὄντες
ἐτύγχανον. ἐπεὶ δ' ἦν πρὸς ταῖς πύλαις, φοβούμε-
νος τὴν εἴσοδον, ἐβουλήθη τῶν πιστῶν ἄνδρα εἰσπέμ-
ψαι σκεψόμενον τὰ ἔνδον. τὼ δὲ εἰσηγαγέτην καὶ οὕ-
τως ἁπλῶς ἀπεδειξάτην ὥστε ὁ εἰσελθὼν ἐξήγγειλε
πάντα εἶναι ἀδόλως οἷάπερ ἐλεγέτην. ἐκ τούτου δ' 9
εἰσέρχεται. ὡς δὲ πολὺ διεχόντων τῶν τειχῶν ἀπ' ἀλ-
λήλων παρατάττόμενοι ὀλίγοι ἑαυτοῖς ἔδοξαν εἶναι,
σταύρωμά τ' ἐποιήσαντο καὶ τάφρον οἵαν ἐδύναντο
πρὸ αὐτῶν, ἕως δὴ οἱ σύμμαχοι βοηθήσοιεν αὐτοῖς. ἦν
δὲ καὶ ὄπισθεν αὐτῶν ἐν τῷ λιμένι Βοιωτῶν φυλακή.
τὴν μὲν οὖν ἐπὶ τῇ νυκτὶ ᾗ εἰσῆλθον ἡμέραν ἄμαχοι
διήγαγον· τῇ δ' ὑστεραίᾳ ἧκον οἱ Ἀργεῖοι πασσυδίᾳ
βοηθοῦντες· καὶ εὑρόντες τεταγμένους Λακεδαιμονίους
μὲν ἐπὶ τῷ δεξιῷ ἑαυτῶν, Σικυωνίους δὲ ἐχομένους,
Κορινθίων δὲ τοὺς φυγάδας ὡς πεντήκοντα καὶ
ἑκατὸν πρὸς τῷ ἑῴῳ τείχει, ἀντιτάττονται ἐχόμενοι
τοῦ ἑῴου τείχους οἱ περὶ Ἰφικράτη μισθοφόροι, πρὸς
δὲ τούτοις Ἀργεῖοι· εὐώνυμον δ' εἶχον αὐτοῖς Κορίν-
θιοι οἱ ἐκ τῆς πόλεως. καταφρονήσαντες δὲ τῷ πλήθει 10
εὐθὺς ἐχώρουν· καὶ τοὺς μὲν Σικυωνίους ἐκράτησαν
καὶ διασπάσαντες τὸ σταύρωμα ἐδίωκον ἐπὶ θάλατταν,
καὶ ἐκεῖ πολλοὺς αὐτῶν ἀπέκτειναν. Πασίμαχος δὲ ὁ
ἱππαρμοστής, ἔχων ἱππέας οὐ πολλούς, ὡς ἑώρα τοὺς

Σικυωνίους πιεζομένους, καταδήσας ἀπὸ δένδρων τοὺς ἵππους, καὶ ἀφελόμενος τὰς ἀσπίδας αὐτῶν, μετὰ τῶν ἐθελοντῶν ἤει ἐναντίον τοῖς Ἀργείοις. οἱ δὲ Ἀργεῖοι ὁρῶντες τὰ σίγμα τὰ ἐπὶ τῶν ἀσπίδων, ὡς Σικυωνίους οὐδὲν ἐφοβοῦντο. ἔνθα δὴ λέγεται εἰπὼν ὁ Πασίμαχος Ναὶ τὼ σιώ, Ἀργεῖοι, ψευσεῖ ὑμὲ τὰ σίγμα ταῦτα, χωρεῖν ὁμόσε· καὶ οὕτω μαχόμενος μετ' ὀλίγων πρὸς πολλοὺς ἀποθνήσκει καὶ ἄλλοι τῶν περὶ αὐτόν. οἱ μέντοι φυγάδες τῶν Κορινθίων νικῶντες τοὺς καθ' αὑτοὺς διέδυσαν ἄνω, καὶ ἐγένοντο ἐγγὺς τοῦ περὶ τὸ ἄστυ κύκλου· οἱ δ' αὖ Λακεδαιμόνιοι ὡς ᾔσθοντο κρατούμενα τὰ κατὰ τοὺς Σικυωνίους, βοηθοῦσιν ἐξελθόντες ἐν ἀριστερᾷ ἔχοντες τὸ σταύρωμα. οἵ γε μὴν Ἀργεῖοι ἐπεὶ ἤκουσαν ὄπισθεν ὄντας τοὺς Λακεδαιμονίους στραφέντες δρόμῳ πάλιν ἐκ τοῦ σταυρώματος ἐξέπιπτον. καὶ οἱ μὲν ἐν δεξιᾷ ἔσχατοι αὐτῶν παιόμενοι εἰς τὰ γυμνὰ ὑπὸ τῶν Λακεδαιμονίων ἀπέθνησκον, οἱ δὲ πρὸς τῷ τείχει ἀθρόοι σὺν πολλῷ ὄχλῳ πρὸς τὴν πόλιν ἀπεχώρουν. ὡς δ' ἐνέτυχον τοῖς φυγάσι τῶν Κορινθίων, καὶ ἔγνωσαν πολεμίους ὄντας, ἀπέκλιναν πάλιν. ἐνταῦθα μέντοι οἱ μὲν κατὰ τὰς κλίμακας ἀναβαίνοντες ἥλλοντο κατὰ τοῦ τείχους καὶ διεφθείροντο, οἱ δὲ περὶ τὰς κλίμακας ὠθούμενοι καὶ παιόμενοι ἀπέθνησκον, οἱ δὲ καὶ καταπατούμενοι ὑπ' ἀλλήλων ἀπεπνίγοντο. οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἠπόρουν τίνα ἀποκτείνοιεν· ἔδωκε γὰρ τότε γε ὁ θεὸς αὐτοῖς ἔργον οἷον οὐδ' ηὔξαντό ποτ' ἄν. τὸ γὰρ ἐγχειρισθῆναι αὐτοῖς πολεμίων πλῆθος πεφοβημένον, ἐκπεπληγμένον, τὰ γυμνὰ παρέχον, ἐπὶ τὸ μάχεσθαι οὐδένα τρεπόμενον, εἰς δὲ τὸ ἀπόλλυσθαι πάντας πάντα ὑπηρετοῦντας, πῶς οὐκ ἄν τις θεῖον ἡγήσαιτο; τότε γοῦν οὕτως ἐν ὀλίγῳ πολλοὶ ἔπεσον ὥστε εἰθισμένοι ὁρᾶν οἱ ἄνθρωποι σωροὺς

σίτου, ξύλων, λίθων, τότε ἐθεάσαντο σωροὺς νεκρῶν. ἀπέθανον δὲ καὶ οἱ ἐν τῷ λιμένι τῶν Βοιωτῶν φύλακες, οἱ μὲν ἐπὶ τῶν τειχῶν, οἱ δὲ ἐπὶ τὰ τέγη τῶν νεωσοίκων ἀναβάντες. μετὰ μὲν τοίνυν τοῦτο οἱ μὲν Κορίνθιοι 1
καὶ Ἀργεῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἀπήγοντο, οἱ δὲ σύμμαχοι τῶν Λακεδαιμονίων ἐβοήθουν. ἐπεὶ δὲ ἡθροίσθησαν, ἔγνω Πραξίτας πρῶτον μὲν τῶν τειχῶν καθελεῖν ὥστε δίοδον στρατοπέδῳ ἱκανὴν εἶναι, ἔπειτα δ᾽ ἀναλαβὼν τὸ στράτευμα ἦγε τὴν ἐπὶ Μέγαρα, καὶ αἱρεῖ προσβαλὼν πρῶτον μὲν Σιδοῦντα, ἔπειτα δὲ Κρομμυῶνα. καὶ ἐν τούτοις τοῖς τείχεσι καταστήσας φρουροὺς τοὔμπαλιν ἐπορεύετο· καὶ τειχίσας Ἐπιεικίαν, ἵνα φρούριον εἴη πρὸ τῆς φιλίας τοῖς συμμάχοις, οὕτω διαφῆκε τὸ στράτευμα, καὶ αὐτὸς τὴν ἐπὶ Λακεδαίμονα ἀπεχώρει.

Ἐκ δὲ τούτου στρατιαὶ μὲν μεγάλαι ἑκατέρων διε- 14
πέπαυντο, φρουροὺς δὲ πέμπουσαι αἱ πόλεις, αἱ μὲν εἰς Κόρινθον, αἱ δὲ εἰς Σικυῶνα, ἐφύλαττον τὰ τείχη· μισθοφόρους γε μὴν ἑκάτεροι ἔχοντες διὰ τούτων ἐρρωμένως ἐπολέμουν.

Ἔνθα δὴ καὶ Ἰφικράτης εἰς Φλιοῦντα ἐμβαλὼν καὶ 15
ἐνεδρευσάμενος, ὀλίγοις δὲ λεηλατῶν, βοηθησάντων τῶν ἐκ τῆς πόλεως ἀφυλάκτως, ἀπέκτεινε τοσούτους ὥστε καὶ τοὺς Λακεδαιμονίους πρόσθεν οὐ δεχόμενοι εἰς τὸ τεῖχος οἱ Φλιάσιοι, φοβούμενοι μὴ τοὺς φάσκοντας ἐπὶ λακωνισμῷ φεύγειν κατάγοιεν, τότε οὕτω κατεπλάγησαν τοὺς ἐκ Κορίνθου ὥστε μετεπέμψαντό τε τοὺς Λακεδαιμονίους, καὶ τὴν πόλιν καὶ τὴν ἄκραν φυλάττειν αὐτοῖς παρέδωκαν. οἱ μέντοι Λακεδαιμόνιοι, καίπερ εὐνοϊκῶς ἔχοντες τοῖς φυγάσιν, ὅσον χρόνον εἶχον αὐτῶν τὴν πόλιν, οὐδ᾽ ἐμνήσθησαν παντάπασι περὶ καθόδου φυγάδων, ἀλλ᾽ ἐπεὶ ἀναθαρρῆσαι

Δημόσια Κεντρική Βιβλιοθήκη Μεσολογγίου

ἐδόκει ἡ πόλις, ἐξῆλθον καὶ τὴν πόλιν καὶ τοὺς νόμους
16 παραδόντες οἵανπερ καὶ παρέλαβον. οἱ δ' αὖ περὶ τὸν Ἰφικράτη πολλαχόσε καὶ τῆς Ἀρκαδίας ἐμβαλόντες ἐλεηλάτουν τε καὶ προσέβαλλον πρὸς τὰ τείχη· ἔξω γὰρ οἱ τῶν Ἀρκάδων ὁπλῖται παντάπασιν οὐκ ἀντεξῇσαν· οὕτω τοὺς πελταστὰς ἐπεφόβηντο. τοὺς μέντοι Λακεδαιμονίους οὕτως αὖ οἱ πελτασταὶ ὤκνουν ὡς ἐντὸς ἀκοντίσματος οὐ προσῇσαν τοῖς ὁπλίταις· ἤδη γάρ ποτε καὶ ἐκ τοσούτου διώξαντες οἱ νεώτεροι τῶν Λακε-
17 δαιμονίων ἑλόντες ἀπέκτεινάν τινας αὐτῶν. καταφρονοῦντες δὲ οἱ Λακεδαιμόνιοι τῶν πελταστῶν, ἔτι μᾶλλον τῶν ἑαυτῶν συμμάχων κατεφρόνουν· καὶ γὰρ οἱ Μαντινεῖς βοηθήσαντές ποτε ἐπεκδραμόντες πελτασταῖς ἐκ τοῦ ἐπὶ Λέχαιον τείνοντος τείχους, ἀκοντιζόμενοι ἐνέκλινάν τε καὶ ἀπέθανόν τινες αὐτῶν φεύγοντες· ὥστε οἱ μὲν Λακεδαιμόνιοι καὶ ἐπισκώπτειν ἐτόλμων ὡς οἱ σύμμαχοι φοβοῖντο τοὺς πελταστὰς ὥσπερ μορμόνας παιδάρια. αὐτοὶ δὲ ἐκ τοῦ Λεχαίου ὁρμώμενοι σὺν μόρᾳ καὶ τοῖς Κορινθίων φυγάσι κύκλῳ περὶ
18 τὸ ἄστυ τῶν Κορινθίων ἐστρατοπεδεύοντο· οἱ δ' αὖ Ἀθηναῖοι φοβούμενοι τὴν ῥώμην τῶν Λακεδαιμονίων, μὴ ἐπεὶ τὰ μακρὰ τείχη τῶν Κορινθίων διῄρητο, ἔλθοιεν ἐπὶ σφᾶς, ἡγήσαντο κράτιστον εἶναι ἀνατειχίσαι τὰ διῃρημένα ὑπὸ Πραξίτα τείχη. καὶ ἐλθόντες πανδημεὶ μετὰ λιθολόγων καὶ τεκτόνων τὸ μὲν πρὸς Σικυῶνος καὶ πρὸς ἑσπέρας ἐν ὀλίγαις ἡμέραις πάνυ καλὸν ἐξετείχισαν, τὸ δὲ ἑῷον μᾶλλον καθ' ἡσυχίαν ἐτείχιζον.

19 Οἱ δ' αὖ Λακεδαιμόνιοι ἐνθυμηθέντες τοὺς Ἀργείους τὰ μὲν οἴκοι καρπουμένους, ἡδομένους δὲ τῷ πολέμῳ, στρατεύουσιν ἐπ' αὐτούς. Ἀγησίλαος δ' ἡγεῖτο, καὶ δῃώσας πᾶσαν αὐτῶν τὴν χώραν, εὐθὺς ἐκεῖθεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

ὑπερβαλὼν κατὰ Τενέαν εἰς Κόρινθον αἱρεῖ τὰ ἀνοικοδομηθέντα ὑπὸ τῶν Ἀθηναίων τείχη. παρεγένετο δὲ αὐτῷ καὶ ἀδελφὸς Τελευτίας κατὰ θάλατταν, ἔχων τριήρεις περὶ δώδεκα· ὥστε μακαρίζεσθαι αὐτῶν τὴν μητέρα, ὅτι τῇ αὐτῇ ἡμέρᾳ ὧν ἔτεκεν ὁ μὲν κατὰ γῆν τὰ τείχη τῶν πολεμίων, ὁ δὲ κατὰ θάλατταν τὰς ναῦς καὶ τὰ νεώρια ᾕρηκε. καὶ τότε μὲν ταῦτα πράξας ὁ Ἀγησίλαος τό τε τῶν συμμάχων στράτευμα διῆκε καὶ τὸ πολιτικὸν οἴκαδε ἀπήγαγεν.

Ἐκ δὲ τούτου Λακεδαιμόνιοι ἀκούοντες τῶν φευ- V.
γόντων ὅτι οἱ ἐν τῇ πόλει πάντα μὲν τὰ βοσκήματα a.C. 392.
ἔχοιεν καὶ σῴζοιντο ἐν τῷ Πειραίῳ, πολλοὶ δὲ τρέφοιντο αὐτόθεν, στρατεύουσι πάλιν εἰς τὴν Κόρινθον, Ἀγησιλάου καὶ τότε ἡγουμένου. καὶ πρῶτον μὲν ἦλθεν εἰς Ἰσθμόν· καὶ γὰρ ἦν ὁ μὴν ἐν ᾧ Ἴσθμια γίγνεται, καὶ οἱ Ἀργεῖοι αὐτοῦ ἐτύγχανον τότε ποιοῦντες τὴν θυσίαν τῷ Ποσειδῶνι, ὡς Ἄργους τῆς Κορίνθου ὄντος. ὡς δ' ᾔσθοντο προσιόντα τὸν Ἀγησίλαον, καταλιπόντες καὶ τὰ τεθυμένα καὶ τὰ ἀριστοποιούμενα μάλα σὺν πολλῷ φόβῳ ἀπεχώρουν εἰς τὸ ἄστυ κατὰ
τὴν ἐπὶ Κεγχρείας ὁδόν. ὁ μέντοι Ἀγησίλαος ἐκείνους 2
μὲν καίπερ ὁρῶν οὐκ ἐδίωκε, κατασκηνήσας δὲ ἐν τῷ ἱερῷ αὐτός τε τῷ θεῷ ἔθυε καὶ περιέμενεν, ἕως οἱ φυγάδες τῶν Κορινθίων ἐποίησαν τῷ Ποσειδῶνι τὴν θυσίαν καὶ τὸν ἀγῶνα. ἐποίησαν δὲ καὶ οἱ Ἀργεῖοι ἀπελθόντος Ἀγησιλάου ἐξ ἀρχῆς πάλιν Ἴσθμια. καὶ ἐκείνῳ τῷ ἔτει ἔστι μὲν ἃ τῶν ἄθλων δὶς ἕκαστος ἐνικήθη,
ἔστι δὲ ἃ δὶς οἱ αὐτοὶ ἐκηρύχθησαν. τῇ δὲ τετάρτῃ 3
ἡμέρᾳ ὁ Ἀγησίλαος ἦγε πρὸς τὸ Πείραιον τὸ στράτευμα. ἰδὼν δὲ ὑπὸ πολλῶν φυλαττόμενον, ἀπεχώρησε μετ' ἄριστον πρὸς τὸ ἄστυ, ὡς προδιδομένης τῆς πόλεως· ὥστε οἱ Κορίνθιοι δείσαντες μὴ προδιδοῖτο ὑπό τινων ἡ

πόλις, μετεπέμψαντο τὸν Ἰφικράτη σὺν τοῖς πλείστοις τῶν πελταστῶν. αἰσθόμενος δὲ ὁ Ἀγησίλαος τῆς νυκτὸς παρεληλυθότας αὐτούς, ὑποστρέψας ἅμα τῇ ἡμέρᾳ εἰς τὸ Πείραιον ἦγε. καὶ αὐτὸς μὲν κατὰ τὰ θερμὰ προῄει, μόραν δὲ κατὰ τὸ ἀκρότατον ἀνεβίβασε. καὶ ταύτην μὲν τὴν νύκτα ὁ μὲν πρὸς ταῖς θερμαῖς ἐστρατοπεδεύετο, ἡ δὲ μόρα τὰ ἄκρα κατέχουσα ἐνυ-
4 κτέρευσεν. ἔνθα δὴ καὶ ὁ Ἀγησίλαος μικρῷ καιρίῳ δ' ἐνθυμήματι εὐδοκίμησε. τῶν γὰρ τῇ μόρᾳ φερόντων τὰ σιτία οὐδενὸς πῦρ εἰσενεγκόντος, ψύχους δὲ ὄντος διά τε τὸ πάνυ ἐφ' ὑψηλοῦ εἶναι καὶ διὰ τὸ γενέσθαι ὕδωρ καὶ χάλαζαν πρὸς τὴν ἑσπέραν, καὶ ἀνεβεβήκεσαν δὲ ἔχοντες οἷα δὴ θέρους σπειρία, ῥιγώντων δ' αὐτῶν καὶ ἐν σκότῳ ἀθύμως πρὸς τὸ δεῖπνον ἐχόντων, πέμπει ὁ Ἀγησίλαος οὐκ ἔλαττον δέκα φέροντας πῦρ ἐν χύτραις. ἐπεὶ δὲ ἀνέβησαν ἄλλος ἄλλῃ, καὶ πολλὰ καὶ μεγάλα πυρὰ ἐγένετο, ἅτε πολλῆς ὕλης παρούσης, πάντες μὲν ἠλείφοντο, πολλοὶ δὲ καὶ ἐδείπνησαν ἐξ ἀρχῆς. φανερὸς δὲ ἐγένετο καὶ ὁ νεὼς τοῦ Ποσειδῶνος ταύτῃ τῇ νυκτὶ καόμενος· ὑφ' ὅτου δ'
5 ἐνεπρήσθη οὐδεὶς οἶδεν. ἐπεὶ δὲ ᾔσθοντο οἱ ἐν τῷ Πειραίῳ τὰ ἄκρα ἐχόμενα, ἐπὶ μὲν τὸ ἀμύνασθαι οὐκέτι ἐτράποντο, εἰς δὲ τὸ Ἥραιον κατέφυγον καὶ ἄνδρες καὶ γυναῖκες καὶ δοῦλοι καὶ ἐλεύθεροι καὶ τῶν βοσκημάτων τὰ πλεῖστα. καὶ Ἀγησίλαος μὲν δὴ σὺν τῷ στρατεύματι παρὰ θάλατταν ἐπορεύετο· ἡ δὲ μόρα ἅμα καταβαίνουσα ἀπὸ τῶν ἄκρων Οἰνόην τὸ ἐντετειχισμένον τεῖχος αἱρεῖ, καὶ τὰ ἐνόντα ἔλαβε, καὶ πάντες δὴ οἱ στρατιῶται ἐν ταύτῃ τῇ ἡμέρᾳ πολλὰ τὰ ἐπιτήδεια ἐκ τῶν χωρίων ἐλάμβανον. οἱ δ' ἐν τῷ Ἡραίῳ καταπεφευγότες ἐξῇσαν, ἐπιτρέψαντες Ἀγησιλάῳ γνῶναι ὅ,τι βούλοιτο περὶ σφῶν. ὁ δ' ἔγνω, ὅσοι

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

μὲν τῶν σφαγέων ἦσαν, παραδοῦναι αὐτοὺς τοῖς φυ-
γάσι, τὰ δ' ἄλλα πάντα πραθῆναι. ἐκ τούτου δὲ ἐξῄει 6
μὲν ἐκ τοῦ Ἡραίου πάμπολλα τὰ αἰχμάλωτα· πρεσβεῖαι
δὲ ἄλλοθέν τε πολλαὶ παρῆσαν καὶ ἐκ Βοιωτῶν ἧκον
ἐρησόμενοι τί ἂν ποιοῦντες εἰρήνης τύχοιεν. ὁ δὲ Ἀγη-
σίλαος μάλα μεγαλοφρόνως τούτους μὲν οὐδ' ὁρᾶν
ἐδόκει, καίπερ Φάρακος τοῦ προξένου παρεστηκότος
αὐτοῖς, ὅπως προσαγάγοι· καθήμενος δ' ἐπὶ τοῦ περὶ
τὴν λίμνην κυκλοτεροῦς οἰκοδομήματος ἐθεώρει πολλὰ
τὰ ἐξαγόμενα. τῶν δὲ Λακεδαιμονίων ἀπὸ τῶν ὅπλων
σὺν τοῖς δόρασι παρηκολούθουν φύλακες τῶν αἰχμα-
λώτων, μάλα ὑπὸ τῶν παρόντων θεωρούμενοι· οἱ γὰρ
εὐτυχοῦντες καὶ κρατοῦντες ἀεί πως ἀξιοθέατοι δοκοῦ-
σιν εἶναι. ἔτι δὲ καθημένου Ἀγησιλάου καὶ ἐοικότος 7
ἀγαλλομένῳ τοῖς πεπραγμένοις, ἱππεύς τις προσήλαυνε
καὶ μάλα ἰσχυρῶς ἱδρῶντι τῷ ἵππῳ. ὑπὸ πολλῶν δὲ
ἐρωτώμενος ὅ,τι ἀγγέλλοι, οὐδενὶ ἀπεκρίνατο, ἀλλ'
ἐπειδὴ ἐγγὺς ἦν τοῦ Ἀγησιλάου, καθαλόμενος ἀπὸ τοῦ
ἵππου καὶ προσδραμὼν αὐτῷ μάλα σκυθρωπὸς ὢν λέ-
γει τὸ τῆς ἐν Λεχαίῳ μόρας πάθος. ὁ δ' ὡς ἤκου-
σεν, εὐθύς τε ἐκ τῆς ἕδρας ἀνεπήδησε καὶ τὸ δόρυ
ἔλαβε καὶ πολεμάρχους καὶ πεντηκοντῆρας καὶ ξενα-
γοὺς καλεῖν τὸν κήρυκα ἐκέλευεν. ὡς δὲ συνέδραμον 8
οὗτοι, τοῖς μὲν ἄλλοις εἶπεν, οὐ γάρ πω ἠριστοποίην-
το, ἐμφαγοῦσιν ὅ,τι δύναιντο ἥκειν τὴν ταχίστην, αὐ-
τὸς δὲ σὺν τοῖς περὶ δαμοσίαν ὑφηγεῖτο ἀνάριστος. καὶ
οἱ δορυφόροι τε ὅπλα χοντες παρηκολούθουν σπου-
δῇ, τοῦ μὲν ὑφηγουμένου, τῶν δὲ μετιόντων. ἤδη δ'
ἐκπεπερακότος αὐτοῦ τὰ θερμὰ εἰς τὸ πλατὺ τοῦ Λε-
χαίου, προσελάσαντες ἱππεῖς τρεῖς ἀγγέλλουσιν ὅτι οἱ
νεκροὶ ἀνῃρημένοι εἴησαν. ὁ δ' ἐπεὶ τοῦτο ἤκουσε, θέ-
σθαι κελεύσας τὰ ὅπλα καὶ ὀλίγον χρόνον ἀναπαύσας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἀπῆγε πάλιν τὸ στράτευμα ἐπὶ τὸ Ἥραιον· τῇ δ' ὑστεραίᾳ τὰ αἰχμάλωτα διετίθετο.

9 Οἱ δὲ πρέσβεις τῶν Βοιωτῶν προσκληθέντες καὶ ἐρωτώμενοι ὅ,τι ἥκοιεν, περὶ μὲν τῆς εἰρήνης οὐκέτι ἐμέμνηντο, εἶπον δὲ ὅτι εἰ μή τι κωλύοι, βούλοιντο εἰς ἄστυ πρὸς τοὺς σφετέρους στρατιώτας παρελθεῖν. ὁ δ' ἐπιγελάσας, Ἀλλ' οἶδα μέν, ἔφη, ὅτι οὐ τοὺς στρατιώτας ἰδεῖν βούλεσθε, ἀλλὰ τὸ εὐτύχημα τῶν φίλων ὑμῶν θεάσασθαι πόσον τι γεγένηται. περιμείνατε οὖν, ἔφη· ἐγὼ γὰρ ὑμᾶς αὐτὸς ἄξω, καὶ μᾶλλον μετ' ἐμοῦ ὄντες γνώσεσθε ποῖόν τι τὸ γεγενη-
10 μένον ἐστί. καὶ οὐκ ἐψεύσατο, ἀλλὰ τῇ ὑστεραίᾳ θυσάμενος ἦγε πρὸς τὴν πόλιν τὸ στράτευμα. καὶ τὸ μὲν τρόπαιον οὐ κατέβαλεν, εἰ δέ τι ἦν λοιπὸν δένδρον, κόπτων καὶ κάων ἐπεδείκνυ ὡς οὐδεὶς ἀντεξῄει. ταῦτα δὲ ποιήσας ἐστρατοπεδεύσατο περὶ τὸ Λέχαιον· καὶ τοὺς Θηβαίων μέντοι πρέσβεις εἰς μὲν τὸ ἄστυ οὐκ ἀνῆκε, κατὰ θάλατταν δὲ εἰς Κρεῦσιν ἀπέπεμψεν. ἅτε δὲ ἀήθους τοῖς Λακεδαιμονίοις γεγενημένης τῆς τοιαύτης συμφορᾶς, πολὺ πένθος ἦν κατὰ τὸ Λακωνικὸν στράτευμα, πλὴν ὅσων ἐτέθνασαν ἐν χώρᾳ ἢ υἱοὶ ἢ πατέρες ἢ ἀδελφοί· οὗτοι δ' ὥσπερ νικηφόροι λαμπροὶ
11 καὶ ἀγαλλόμενοι τῷ οἰκείῳ πάθει περιῆσαν. ἐγένετο δὲ τὸ τῆς μόρας πάθος τοιῷδε τρόπῳ. οἱ Ἀμυκλαῖοι ἀεί ποτε ἀπέρχονται εἰς τὰ Ὑακίνθια ἐπὶ τὸν παιᾶνα, ἐάν τε στρατοπεδευόμενοι τυγχάνωσιν ἐάν τε ἄλλως πως ἀποδημοῦντες. καὶ τότε δὴ τοὺς ἐκ πάσης τῆς στρατιᾶς Ἀμυκλαίους κατέλιπε μὲν Ἀγησίλαος ἐν Λεχαίῳ. ὁ δ' ἐκεῖ φρουρῶν πολέμαρχος τοὺς μὲν ἀπὸ τῶν συμμάχων φρουροὺς ἔταξε φυλάττειν τὸ τεῖχος, αὐτὸς δὲ σὺν τῇ τῶν ὁπλιτῶν καὶ τῇ τῶν ἱππέων μόρᾳ παρὰ τὴν πόλιν τῶν Κορινθίων τοὺς Ἀμυκλαίους παρῆ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γεν. ἐπεὶ δὲ ἀπεῖχον ὅσον εἴκοσιν ἢ τριάκοντα σταδίους 12
τοῦ Σικυῶνος, ὁ μὲν πολέμαρχος σὺν τοῖς ὁπλίταις οὖσιν ὡς ἑξακοσίοις ἀπῄει πάλιν ἐπὶ τὸ Λέχαιον, τὸν δ' ἱππαρμοστὴν ἐκέλευσε σὺν τῇ τῶν ἱππέων μόρᾳ, ἐπεὶ προπέμψειαν τοὺς Ἀμυκλαίους μέχρι ὁπόσου αὐτοὶ κελεύοιεν, μεταδιώκειν. καὶ ὅτι μὲν πολλοὶ ἦσαν ἐν τῇ Κορίνθῳ καὶ πελτασταὶ καὶ ὁπλῖται οὐδὲν ἠγνόουν· κατεφρόνουν δὲ διὰ τὰς ἔμπροσθεν τύχας μηδένα ἂν ἐπιχειρῆσαι σφίσιν. οἱ δ' ἐκ τῶν Κορινθίων τοῦ ἄστε- 13
ως, Καλλίας τε ὁ Ἱππονίκου, τῶν Ἀθηναίων ὁπλιτῶν στρατηγῶν, καὶ Ἰφικράτης, τῶν πελταστῶν ἄρχων, καθορῶντες αὐτοὺς καὶ οὐ πολλοὺς ὄντας καὶ ἐρήμους καὶ πελταστῶν καὶ ἱππέων, ἐνόμισαν ἀσφαλὲς εἶναι ἐπιθέσθαι αὐτοῖς τῷ πελταστικῷ. εἰ μὲν γὰρ πορεύοιντο τῇ ὁδῷ, ἀκοντιζομένους ἂν αὐτοὺς εἰς τὰ γυμνὰ ἀπόλλυσθαι· εἰ δ' ἐπιχειροῖεν διώκειν, ῥᾳδίως ἂν ἀποφυγεῖν πελτασταῖς τοῖς ἐλαφροτάτοις τοὺς ὁπλίτας. γνόντες δὲ ταῦτα ἐξάγουσι. καὶ ὁ μὲν Καλλίας παρέ- 14
ταξε τοὺς ὁπλίτας οὐ πόρρω τῆς πόλεως, ὁ δὲ Ἰφικράτης λαβὼν τοὺς πελταστὰς ἐπέθετο τῇ μόρᾳ. οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ ἠκοντίζοντο καὶ ὁ μέν τις ἐτέτρωτο, ὁ δὲ καὶ ἐπεπτώκει, τούτους μὲν ἐκέλευον τοὺς ὑπασπιστὰς ἀραμένους ἀποφέρειν εἰς Λέχαιον· καὶ οὗτοι μόνοι τῆς μόρας τῇ ἀληθείᾳ ἐσώθησαν· ὁ δὲ πολέμαρχος ἐκέλευσε τὰ δέκα ἀφ' ἥβης ἀποδιῶξαι τοὺς προειρημένους. ὡς δὲ ἐδίωκον, ᾕρουν τε οὐδένα ἐξ ἀκον- 15
τίου βολῆς ὁπλῖται ὄντες πελταστάς· καὶ γὰρ ἀναχωρεῖν αὐτοὺς ἐκέλευε, πρὶν τοὺς ὁπλίτας ὁμοῦ γίγνεσθαι· ἐπεὶ δὲ ἀνεχώρουν ἐσπαρμένοι, ἅτε διώξαντες ὡς τάχους ἕκαστος εἶχεν, ἀναστρέφοντες οἱ περὶ τὸν Ἰφικράτη, οἵ τε ἐκ τοῦ ἐναντίου πάλιν ἠκόντιζον καὶ ἄλλοι ἐκ πλαγίου παραθέοντες εἰς τὰ γυμνά. καὶ εὐθὺς μὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπὶ τῇ πρώτῃ διώξει κατηκόντιξον ἐννέα ἢ δέκα αὐ-
τῶν. ὡς δὲ τοῦτο ἐγένετο, πολὺ ἤδη θρασύτερον ἐπέ-
16 κειντο. ἐπεὶ δὲ κακῶς ἔπασχον, πάλιν ἐκέλευσεν ὁ πο-
λέμαρχος διώκειν τὰ πεντεκαίδεκα ἀφ' ἥβης. ἀναχω-
ροῦντες δὲ ἔτι πλείονες αὐτῶν ἢ τὸ πρῶτον ἔπεσον,
ἤδη δὲ τῶν βελτίστων ἀπολωλότων, οἱ ἱππεῖς αὐτοῖς
παραγίγνονται καὶ σὺν τούτοις αὖθις δίωξιν ἐποιή-
σαντο. ὡς δ' ἐνέκλιναν οἱ πελτασταί, ἐν τούτῳ κακῶς
οἱ ἱππεῖς ἐπέθεντο· οὐ γὰρ ἕως ἀπέκτεινάν τινας αὐ-
τῶν, ἐδίωξαν, ἀλλὰ σὺν τοῖς ἐκδρόμοις ἰσομέτωποι κα
ἐδίωκον καὶ ἐπέστρεφον. ποιοῦντες δὲ καὶ πάσχοντε
τὰ ὅμοια τούτοις καὶ αὖθις, αὐτοὶ μὲν ἀεὶ ἐλάττους τ
καὶ μαλακώτεροι ἐγίγνοντο, οἱ δὲ πολέμιοι θρασύτερο
17 τε καὶ ἀεὶ πλείους οἱ ἐγχειροῦντες. ἀποροῦντες δὴ συν-
ίστανται ἐπὶ βραχύν τινα γήλοφον, ἀπέχοντα τῆς μὲ
θαλάττης ὡς δύο στάδια, τοῦ δὲ Λεχαίου ὡς ἓξ
ἑπτακαίδεκα. αἰσθόμενοι δ' οἱ ἀπὸ τοῦ Λεχαίου, εἰσ
βάντες εἰς πλοιάρια παρέπλεον, ἕως ἐγένοντο κατὰ τὸ
γήλοφον. οἱ δ' ἀποροῦντες ἤδη, ὅτι ἔπασχον μὲν κα
κῶς καὶ ἀπέθνησκον, ποιεῖν δὲ οὐδὲν ἐδύναντο, πρὸ
τούτοις δὲ ὁρῶντες καὶ τοὺς ὁπλίτας ἐπιόντας, ἐγκλί
νουσι. καὶ οἱ μὲν ἐμπίπτουσιν αὐτῶν εἰς τὴν θάλατ
ταν, ὀλίγοι δέ τινες μετὰ τῶν ἱππέων εἰς Λέχαιον ἐσώ
θησαν. ἐν πάσαις δὲ ταῖς μάχαις καὶ τῇ φυγῇ ἀπέθα
18 νον περὶ πεντήκοντα καὶ διακοσίους. καὶ ταῦτα μὲ
οὕτως ἐπέπρακτο.

Ἐκ δὲ τούτου ὁ Ἀγησίλαος τὴν μὲν σφαλεῖσαν μό
ραν ἔχων ἀπῄει, ἄλλην δὲ κατέλιπεν ἐν τῷ Λεχαίῳ
διιὼν δὲ ἐπ' οἶκου ὡς μὲν ἐδύνατο ὀψιαίτατα κατήγετ
εἰς τὰς πόλεις, ὡς δ' ἐδύνατο πρῳαίτατα ἐξωρμᾶτ
παρὰ δὲ Μαντίνειαν ἐξ Ὀρχομενοῦ ὄρθρου ἀναστὰ
ἔτι σκοταῖος παρῆλθεν. οὕτω χαλεπῶς ἂν ἐδόκουν

στρατιῶται τοὺς Μαντινέας ἐφηδομένους τῷ δυστυχή-
ματι θεάσασθαι. ἐκ τούτου δὲ μάλα καὶ τἆλλα ἐπετύγ- 19
χανεν Ἰφικράτης. καθεστηκότων γὰρ φρουρῶν ἐν Σι-
δοῦντι μὲν καὶ Κρομμυῶνι ὑπὸ Πραξίτα, ὅτε ἐκεῖνος
εἷλε ταῦτα τὰ τείχη, ἐν Οἰνόῃ δὲ ὑπὸ Ἀγησιλάου, ὅτε-
περ τὸ Πείραιον ἑάλω, πάνθ' εἷλε ταῦτα τὰ χωρία. τὸ
μέντοι Λέχαιον ἐφρούρουν οἱ Λακεδαιμόνιοι καὶ οἱ
σύμμαχοι. οἱ φυγάδες δὲ τῶν Κορινθίων, οὐκέτι πεζῇ
παριόντες ἐκ Σικυῶνος διὰ τὴν τῆς μόρας δυστυχίαν,
ἀλλὰ παραπλέοντες καὶ ἐντεῦθεν ὁρμώμενοι πρά-
γματα εἶχόν τε καὶ παρεῖχον τοῖς ἐν τῷ ἄστει.

Μετὰ δὲ τοῦτο οἱ Ἀχαιοὶ ἔχοντες Καλυδῶνα, ἣ τὸ VI
παλαιὸν Αἰτωλίας ἦν, καὶ πολίτας πεποιημένοι τοὺς a.C. 391
Καλυδωνίους, φρουρεῖν ἠναγκάζοντο ἐν αὐτῇ. οἱ γὰρ
Ἀκαρνᾶνες ἐπεστράτευον, καὶ τῶν Ἀθηναίων δὲ καὶ
Βοιωτῶν συμπαρῆσάν τινες αὐτοῖς διὰ τὸ συμμάχους
εἶναι. πιεζόμενοι οὖν ὑπ' αὐτῶν οἱ Ἀχαιοὶ πρέσβεις
πέμπουσιν εἰς τὴν Λακεδαίμονα. οἱ δ' ἐλθόντες ἔλε-
γον ὅτι οὐ δίκαια πάσχοιεν ὑπὸ τῶν Λακεδαιμονίων.
Ἡμεῖς μὲν γάρ, ἔφασαν, ὑμῖν, ὦ ἄνδρες, ὅπως ἂν 2
ὑμεῖς παραγγέλλητε συστρατευόμεθα καὶ ἑπόμεθα ὅποι
ἂν ἡγῆσθε· ὑμεῖς δὲ πολιορκουμένων ἡμῶν ὑπὸ Ἀκαρ-
νάνων καὶ τῶν συμμάχων αὐτοῖς Ἀθηναίων καὶ Βοιω-
τῶν οὐδεμίαν ἐπιμέλειαν ποιεῖσθε. οὐκ ἂν οὖν δυναί-
μεθα ἡμεῖς τούτων οὕτω γιγνομένων ἀντέχειν, ἀλλ' ἢ
ἐάσαντες τὸν ἐν Πελοποννήσῳ πόλεμον διαβάντες πάν-
τες πολεμήσομεν Ἀκαρνᾶσί τε καὶ τοῖς συμμάχοις αὐ-
τῶν, ἢ εἰρήνην ποιησόμεθα ὁποίαν ἄν τινα δυνώμεθα.
ταῦτα δ' ἔλεγον ὑπαπειλοῦντες τοῖς Λακεδαιμονίοις 3
ἀπαλλαγήσεσθαι τῆς συμμαχίας, εἰ μὴ αὐτοῖς ἀντεπι-
κουρήσουσι. τούτων δὲ λεγομένων ἔδοξε τοῖς τ' ἐφό-
ροις καὶ τῇ ἐκκλησίᾳ ἀναγκαῖον εἶναι στρατεύεσθαι



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τῶν Ἀχαιῶν ἐπὶ τοὺς Ἀκαρνᾶνας. καὶ ἐκπέμπου-
σιν Ἀγησίλαον, δύο μόρας ἔχοντα καὶ τῶν συμμάχων
τὸ μέρος. οἱ μέντοι Ἀχαιοὶ πανδημεὶ συνεστρατεύοντο.
4 ἐπεὶ δὲ διέβη ὁ Ἀγησίλαος, πάντες μὲν οἱ ἐκ τῶν ἀγρῶν
Ἀκαρνᾶνες ἔφυγον εἰς τὰ ἄστη, πάντα δὲ τὰ βοσκήμα-
τα ἀπεχώρησε πόρρω, ὅπως μὴ ἁλίσκηται ὑπὸ τοῦ
στρατεύματος. ὁ δ' Ἀγησίλαος ἐπειδὴ ἐγένετο ἐν τοῖς
ὁρίοις τῆς πολεμίας, πέμψας εἰς Στράτον πρὸς τὸ κοι-
νὸν τῶν Ἀκαρνάνων εἶπεν ὡς εἰ μὴ παυσάμενοι τῆς
πρὸς Βοιωτοὺς καὶ Ἀθηναίους συμμαχίας ἑαυτοὺς καὶ
τοὺς συμμάχους αἱρήσονται, δῃώσει πᾶσαν τὴν γῆν αὐ-
5 τῶν ἐφεξῆς καὶ παραλείψει οὐδέν. ἐπεὶ δὲ οὐκ ἐπεί-
θοντο, οὕτως ἐποίει, καὶ κόπτων συνεχῶς τὴν χώραν
οὐ προῄει πλέον τῆς ἡμέρας ἢ δέκα ἢ δώδεκα σταδίων.
οἱ μὲν οὖν Ἀκαρνᾶνες, ἡγησάμενοι ἀσφαλὲς εἶναι διὰ
τὴν βραδυτῆτα τοῦ στρατεύματος, τά τε βοσκήματα
κατεβίβαζον ἐκ τῶν ὀρῶν καὶ τῆς χώρας τὰ πλεῖστα
6 εἰργάζοντο. ἐπεὶ δὲ ἐδόκουν τῷ Ἀγησιλάῳ πάνυ ἤδη
θαρρεῖν, ἡμέρᾳ πέμπτῃ ἢ ἕκτῃ καὶ δεκάτῃ ἀφ' ἧς εἰσ-
έβαλε, θυσάμενος πρῴ διεπορεύθη πρὸ δείλης ἑξή-
κοντα καὶ ἑκατὸν στάδια ἐπὶ τὴν λίμνην περὶ ἣν τὰ βο-
σκήματα τῶν Ἀκαρνάνων σχεδὸν πάντα ἦν, καὶ ἔλαβε
παμπληθῆ καὶ βουκόλια καὶ ἱπποφόρβια καὶ ἄλλα παν-
τοδαπὰ βοσκήματα καὶ ἀνδράποδα πολλά. λαβὼν δὲ
καὶ μείνας αὐτοῦ τὴν ἐπιοῦσαν ἡμέραν διεπώλει τὰ αἰ-
7 χμάλωτα. τῶν μέντοι Ἀκαρνάνων πολλοὶ πελτασταὶ
ἦλθον, καὶ πρὸς τῷ ὄρει σκηνοῦντος τοῦ Ἀγησιλάου
βάλλοντες καὶ σφενδονῶντες ἀπὸ τῆς ἀκρωνυχίας τοῦ
ὄρους ἔπασχον μὲν οὐδέν, κατεβίβασαν δὲ εἰς τὸ ὁμα-
λὲς τὸ στρατόπεδον, καίπερ ἤδη περὶ δεῖπνον παρα-
σκευαζόμενον. εἰς δὲ τὴν νύκτα οἱ μὲν Ἀκαρνᾶνες
ἀπῆλθον, οἱ δὲ στρατιῶται φυλακὰς καταστησάμενοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκάθευδον. τῇ δ᾽ ὑστεραίᾳ ἀπῆγεν ὁ Ἀγησίλαος τὸ 8
στράτευμα. καὶ ἦν μὲν ἡ ἔξοδος ἐκ τοῦ περὶ τὴν λί-
μνην λειμῶνός τε καὶ πεδίου στενὴ διὰ τὰ κύκλῳ πε-
ριέχοντα ὄρη· καταλαβόντες δὲ οἱ Ἀκαρνᾶνες ἐκ τῶν
ὑπερδεξίων ἔβαλλόν τε καὶ ἠκόντιζον, καὶ ὑποκαταβαί-
νοντες εἰς τὰ κράσπεδα τῶν ὀρῶν προσέκειντο καὶ
πράγματα παρεῖχον, ὥστε οὐκέτι ἐδύνατο τὸ στράτευ-
μα πορεύεσθαι. ἐπιδιώκοντες δὲ ἀπὸ τῆς φάλαγγος οἵ 9
τε ὁπλῖται καὶ οἱ ἱππεῖς τοὺς ἐπιθεμένους οὐδὲν
ἔβλαπτον· ταχὺ γὰρ ἦσαν, ὁπότε ἀποχωροῖεν, πρὸς
τοῖς ἰσχυροῖς οἱ Ἀκαρνᾶνες. χαλεπὸν δ᾽ ἡγησάμενος
ὁ Ἀγησίλαος διὰ τοῦ στενοπόρου ἐξελθεῖν ταῦτα πάσ-
χοντας, ἔγνω διώκειν τοὺς ἐκ τῶν εὐωνύμων προσ-
κειμένους, μάλα πολλοὺς ὄντας· εὐβατώτερον γὰρ ἦν
τοῦτο τὸ ὄρος καὶ ὁπλίταις καὶ ἵπποις. καὶ ἐν ᾧ μὲν 10
ἐσφαγιάζετο, μάλα κατεῖχον βάλλοντες καὶ ἀκοντίζον-
τες οἱ Ἀκαρνᾶνες, καὶ ἐγγὺς προσιόντες πολλοὺς ἐτι-
τρωσκον. ἐπεὶ δὲ παρήγγειλεν, ἔθει μὲν ἐκ τῶν ὁπλι-
τῶν τὰ πεντεκαίδεκα ἀφ᾽ ἥβης, ἤλαυνον δὲ οἱ ἱππεῖς,
αὐτὸς δὲ σὺν τοῖς ἄλλοις ἠκολούθει. οἱ μὲν οὖν ὑπο- 11
καταβεβηκότες τῶν Ἀκαρνάνων καὶ ἀκροβολιζόμενοι
ταχὺ ἐνέκλιναν καὶ ἀπέθνησκον φεύγοντες πρὸς τὸ
ἄναντες· ἐπὶ μέντοι τοῦ ἀκροτάτου οἱ ὁπλῖται ἦσαν
τῶν Ἀκαρνάνων παρατεταγμένοι καὶ τῶν πελταστῶν
τὸ πολύ, καὶ ἐνταῦθα ἐπέμενον, καὶ τά τε ἄλλα βέλη
ἠφίεσαν καὶ τοῖς δόρασιν ἐξακοντίζοντες ἱππέας τε
κατέτρωσαν καὶ ἵππους τινας ἀπέκτειναν. ἐπεὶ μέντοι
μικροῦ ἔδεον ἤδη ἐν χερσὶ τῶν Λακεδαιμονίων ὁπλι-
τῶν εἶναι, ἐνέκλιναν, καὶ ἀπέθανον αὐτῶν ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ περὶ τριακοσίους. τούτων δὲ γενομένων ὁ 12
Ἀγησίλαος τρόπαιον ἐστήσατο. καὶ τὸ ἀπὸ τούτου πε-
ριιὼν κατὰ τὴν χώραν ἔκοπτε καὶ ἔκαε· πρὸς ἐνίας δὲ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν πόλεων καὶ προσέβαλλεν, ὑπὸ τῶν Ἀχαιῶν ἀναγκα-
ζόμενος, οὐ μὴν εἷλέ γε οὐδεμίαν. ἡνίκα δὲ ἤδη ἐπε-
13 γίγνετο τὸ μετόπωρον, ἀπῄει ἐκ τῆς χώρας. οἱ δὲ Ἀχαιοὶ
πεποιηκέναι τε οὐδὲν ἐνόμιζον αὐτόν, ὅτι πόλιν οὐδε-
μίαν προσειλήφει οὔτε ἑκοῦσαν οὔτε ἄκουσαν, ἐδέ-
οντό τε, εἰ μή τι ἄλλο, ἀλλὰ τοσοῦτόν γε χρόνον κατα-
μεῖναι αὐτόν, ἕως ἂν τὸν σπορητὸν διακωλύσῃ τοῖς
Ἀκαρνᾶσιν. ὁ δὲ ἀπεκρίνατο ὅτι τὰ ἐναντία λέγοιεν
τοῦ συμφέροντος. ἐγὼ μὲν γάρ, ἔφη, στρατεύσομαι πά-
λιν δεῦρο εἰς τὸ ἐπιὸν θέρος· οὗτοι δὲ ὅσῳ ἂν πλείω
σπείρωσι, τοσούτῳ μᾶλλον τῆς εἰρήνης ἐπιθυμήσουσι.
14 ταῦτα δὲ εἰπὼν ἀπῄει πεζῇ δι' Αἰτωλίας τοιαύτας ὁδοὺς
ἃς οὔτε πολλοὶ οὔτε ὀλίγοι δύναιντ' ἂν ἀκόντων Αἰτω-
λῶν πορεύεσθαι· ἐκεῖνον μέντοι εἴασαν διελθεῖν· ἤλ-
πιζον γὰρ Ναύπακτον αὐτοῖς συμπράξειν ὥστ' ἀπολα-
βεῖν. ἐπειδὴ δὲ ἐγένετο κατὰ τὸ Ῥίον, ταύτῃ διαβὰς
οἴκαδε ἀπῆλθε· καὶ γὰρ τὸν ἐκ Καλυδῶνος ἔκπλουν
εἰς Πελοπόννησον οἱ Ἀθηναῖοι ἐκώλυον τριήρεσιν ὁρ-
μώμενοι ἐξ Οἰνιαδῶν.

VII. Παρελθόντος δὲ τοῦ χειμῶνος, ὥσπερ ὑπέσχετο
a.C. 390. τοῖς Ἀχαιοῖς, εὐθὺς ἀρχομένου τοῦ ἦρος πάλιν φρου-
ρὰν ἔφαινεν ἐπὶ τοὺς Ἀκαρνᾶνας. οἱ δὲ αἰσθόμενοι, καὶ
νομίσαντες διὰ τὸ ἐν μεσογείᾳ σφίσι τὰς πόλεις εἶναι
ὁμοίως ἂν πολιορκεῖσθαι ὑπὸ τῶν τὸν σῖτον φθειρόν-
των ὥσπερ εἰ περιεστρατοπεδευμένοι πολιορκοῖντο,
ἔπεμψαν πρέσβεις εἰς τὴν Λακεδαίμονα, καὶ εἰρήνην
μὲν πρὸς τοὺς Ἀχαιούς, συμμαχίαν δὲ πρὸς τοὺς Λακε-
δαιμονίους ἐποιήσαντο. καὶ τὰ μὲν περὶ Ἀκαρνᾶνας
οὕτω διεπέπρακτο.

2 Ἐκ δὲ τούτου τοῖς Λακεδαιμονίοις τὸ μὲν ἐπ' Ἀθη-
ναίους ἢ ἐπὶ Βοιωτοὺς στρατεύειν οὐκ ἐδόκει ἀσφαλὲς
εἶναι ὄπισθεν καταλιπόντας ὅμορον τῇ Λακεδαίμονι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολεμίαν καὶ οὕτω μεγάλην τὴν τῶν Ἀργείων πόλιν,
εἰς δὲ τὸ Ἄργος φρουρὰν φαίνουσιν. ὁ δὲ Ἀγησίπολις
ἐπεὶ ἔγνω ὅτι εἴη αὐτῷ ἡγητέον τῆς φρουρᾶς καὶ τὰ
διαβατήρια θυομένῳ ἐγένετο, ἐλθὼν εἰς Ὀλυμπίαν καὶ
χρηστηριαζόμενος ἐπηρώτα τὸν θεὸν εἰ ὁσίως ἂν ἔχοι
αὐτῷ μὴ δεχομένῳ τὰς σπονδὰς τῶν Ἀργείων, ὅτι οὐχ
ὁπότε καθήκοι ὁ χρόνος, ἀλλ' ὁπότε ἐμβάλλειν μέλ-
λοιεν Λακεδαιμόνιοι, τότε ὑπέφερον τοὺς μῆνας. ὁ δὲ
θεὸς ἐπεσήμαινεν αὐτῷ ὅσιον εἶναι μὴ δεχομένῳ σπον-
δὰς ἀδίκως ὑποφερομένας. ἐκεῖθεν δ' εὐθὺς πορευθεὶς
εἰς Δελφοὺς ἐπήρετο αὖ τὸν Ἀπόλλω εἰ κἀκείνῳ δο-
κοίη περὶ τῶν σπονδῶν καθάπερ τῷ πατρί. ὁ δὲ ἀπε-
κρίνατο καὶ μάλα κατὰ ταὐτά. καὶ οὕτω δὴ Ἀγησίπο- 3
λις ἀναλαβὼν ἐκ Φλιοῦντος τὸ στράτευμα, ἐκεῖσε γὰρ
αὐτῷ συνελέγετο, ἕως πρὸς τὰ ἱερὰ ἀπεδήμει, ἐνέβαλε
διὰ Νεμέας. οἱ δ' Ἀργεῖοι ἐπεὶ ἔγνωσαν οὐ δυνησόμε-
νοι κωλύειν, ἔπεμψαν, ὥσπερ εἰώθεσαν, ἐστεφανωμέ-
νους δύο κήρυκας ὑποφέροντας σπονδάς. ὁ δὲ Ἀγησί-
πολις ἀποκρινάμενος ὅτι οὐ δοκοῖεν τοῖς θεοῖς δικαίως
ὑποφέρειν, οὐκ ἐδέχετο τὰς σπονδάς, ἀλλ' ἐνέβαλε καὶ
πολλὴν ἀπορίαν καὶ ἔκπληξιν κατά τε τοὺς ἀγροὺς καὶ
ἐν τῇ πόλει ἐποίησε. δειπνοποιουμένου δ' αὐτοῦ ἐν τῇ 4
Ἀργείᾳ τῇ πρώτῃ ἑσπέρᾳ, καὶ σπονδῶν τῶν μετὰ τὸ
δεῖπνον ἤδη γιγνομένων, ἔσεισεν ὁ θεός. καὶ οἱ μὲν Λα-
κεδαιμόνιοι ἀρξάμενοι ἀπὸ τῶν περὶ δαμοσίαν πάντες
ὕμνησαν τὸν περὶ τὸν Ποσειδῶ παιᾶνα· οἱ δ' ἄλλοι
στρατιῶται ᾤοντο ἀπιέναι, ὅτι καὶ Ἆγις σεισμοῦ ποτε
γενομένου ἀπήγαγεν ἐξ Ἤλιδος. ὁ δὲ Ἀγησίπολις εἰ-
πὼν ὅτι εἰ μὲν μέλλοντος αὐτοῦ ἐμβάλλειν σείσειε, κω-
λύειν ἂν αὐτὸν ἡγεῖτο· ἐπεὶ δὲ ἐμβεβληκότος, ἐπικε-
λεύειν νομίζει· καὶ οὕτω τῇ ὑστεραίᾳ θυσάμενος τῷ 5
Ποσειδῶνι ἡγεῖτο οὐ πόρρω εἰς τὴν χώραν. ἅτε δὲ νεω

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΡΕΘΥΜΝΟΥ

στὶ τοῦ Ἀγησιλάου ἐστρατευμένου εἰς τὸ Ἄργος, πυν-
θανόμενος ὁ Ἀγησίπολις τῶν στρατιωτῶν μέχρι μὲν
ποῖ πρὸς τὸ τεῖχος ἤγαγεν ὁ Ἀγησίλαος, μέχρι δὲ ποῖ
τὴν χώραν ἐδῄωσεν, ὥσπερ πένταθλος πάντῃ ἐπὶ τὸ
6 πλέον ὑπερβάλλειν ἐπειρᾶτο. καὶ ἤδη μέν ποτε βαλλό-
μενος ἀπὸ τῶν τύρσεων τὰς περὶ τὸ τεῖχος τάφρους
πάλιν διέβη· ἦν δ' ὅτε οἰχομένων τῶν πλείστων Ἀρ-
γείων εἰς τὴν Λακωνικὴν οὕτως ἐγγὺς πυλῶν προσῆλ-
θεν ὥστε οἱ πρὸς ταῖς πύλαις ὄντες τῶν Ἀργείων ἀπέ-
κλεισαν τοὺς τῶν Βοιωτῶν ἱππέας εἰσελθεῖν βουλομέ-
νους, δείσαντες μὴ συνεισπέσοιεν κατὰ τὰς πύλας οἱ
Λακεδαιμόνιοι· ὥστ' ἠναγκάσθησαν οἱ ἱππεῖς ὥσπερ
νυκτερίδες πρὸς τοῖς τείχεσιν ὑπὸ ταῖς ἐπάλξεσι προσ-
αραρέναι. καὶ εἰ μὴ ἔτυχον τότε οἱ Κρῆτες εἰς Ναυ-
πλίαν καταδεδραμηκότες, πολλοὶ ἂν καὶ ἄνδρες καὶ
7 ἵπποι κατετοξεύθησαν. ἐκ δὲ τούτου περὶ τὰς εἱρκτὰς
στρατοπεδευομένου αὐτοῦ πίπτει κεραυνὸς εἰς τὸ
στρατόπεδον· καὶ οἱ μέν τινες πληγέντες, οἱ δὲ καὶ
ἐμβροντηθέντες ἀπέθανον. ἐκ δὲ τούτου βουλόμενος
τειχίσαι φρούριόν τι ἐπὶ ταῖς παρὰ Κηλοῦσαν ἐμβολαῖς,
ἐθύετο· καὶ ἐφάνη αὐτῷ τὰ ἱερὰ ἄλοβα. ὡς δὲ τοῦτο
ἐγένετο, ἀπήγαγε τὸ στράτευμα καὶ διέλυσε, μάλα
πολλὰ βλάψας τοὺς Ἀργείους, ἅτε ἀπροσδοκήτως αὐ-
τοῖς ἐμβαλών.

VIII. Καὶ ὁ μὲν δὴ κατὰ γῆν πόλεμος οὕτως ἐπολεμεῖτο.
ἐν ᾧ δὲ πάντα ταῦτα ἐπράττετο, τὰ κατὰ θάλατταν αὖ
καὶ τὰς πρὸς θαλάττῃ πόλεις γενόμενα διηγήσομαι, καὶ
τῶν πράξεων τὰς μὲν ἀξιομνημονεύτους γράψω, τὰς
a.C. 394. δὲ μὴ ἀξίας λόγου παρήσω. πρῶτον μὲν τοίνυν Φαρνά-
βαζος καὶ Κόνων, ἐπεὶ ἐνίκησαν τοὺς Λακεδαιμονίους
τῇ ναυμαχίᾳ, περιπλέοντες καὶ τὰς νήσους καὶ πρὸς τὰς
ἐπιθαλαττιδίας πόλεις τούς τε Λακωνικοὺς ἁρμοστὰς

ἐξήλαυνον καὶ παρεμυθοῦντο τὰς πόλεις ὡς οὔτε ἀκροπόλεις ἐντειχιοῖεν ἐάσοιέν τε αὐτονόμους. οἱ δ' ἀκού- 2
οντες ταῦτα ἥδοντό τε καὶ ἐπῄνουν καὶ ξένια προθύμως ἔπεμπον τῷ Φαρναβάζῳ. καὶ γὰρ ὁ Κόνων τὸν Φαρνάβαζον ἐδίδασκεν ὡς οὕτω μὲν ποιοῦντι πᾶσαι αὐτῷ αἱ πόλεις φίλιαι ἔσοιντο, εἰ δὲ δουλοῦσθαι βουλόμενος φανερὸς ἔσοιτο, ἔλεγεν ὡς μία ἑκάστη πολλὰ πράγματα ἱκανὴ εἴη παρέχειν καὶ κίνδυνος εἴη μὴ καὶ οἱ Ἕλληνες, εἰ ταῦτα αἴσθοιντο, συσταῖεν. ταῦτα μὲν 3
οὖν ἐπείθετο ὁ Φαρνάβαζος. ἀποβὰς δ' εἰς Ἔφεσον τῷ μὲν Κόνωνι δοὺς τετταράκοντα τριήρεις εἰς Σηστὸν εἶπεν ἀπαντᾶν, αὐτὸς δὲ πεζῇ παρῄει ἐπὶ τὴν αὑτοῦ ἀρχήν. καὶ γὰρ ὁ Δερκυλίδας, ὅσπερ καὶ πάλαι πολέμιος ἦν αὐτῷ, ἔτυχεν ἐν Ἀβύδῳ ὤν, ὅτε ἡ ναυμαχία ἐγένετο, καὶ οὐχ ὥσπερ οἱ ἄλλοι ἁρμοσταὶ ἐξέλιπεν, ἀλλὰ κατέσχε τὴν Ἄβυδον καὶ διέσωζε φίλην τοῖς Λακεδαιμονίοις. καὶ γὰρ συγκαλέσας τοὺς Ἀβυδηνοὺς ἔλεξε τοιάδε. Ὦ ἄνδρες, νῦν ἔξεστιν ὑμῖν καὶ πρό- 4
σθεν φίλοις οὖσι τῇ πόλει ἡμῶν εὐεργέτας φανῆναι τῶν Λακεδαιμονίων. καὶ γὰρ τὸ μὲν ἐν ταῖς εὐπραξίαις πιστοὺς φαίνεσθαι οὐδὲν θαυμαστόν· ὅταν δέ τινες ἐν συμφοραῖς γενομένων φίλων βέβαιοι φανῶσι, τοῦτ' εἰς τὸν ἅπαντα χρόνον μνημονεύεται. ἔστι δὲ οὐχ οὕτως ἔχον ὡς εἰ τῇ ναυμαχίᾳ ἐκρατήθημεν, οὐδὲν ἄρα ἔτι ἐσμέν· ἀλλὰ καὶ τὸ πρόσθεν δήπου, Ἀθηναίων ἀρχόντων τῆς θαλάττης, ἱκανὴ ἦν ἡ ἡμετέρα πόλις καὶ εὖ φίλους καὶ κακῶς ἐχθροὺς ποιεῖν. ὅσῳ δὲ μᾶλλον αἱ ἄλλαι πόλεις σὺν τῇ τύχῃ ἀπεστράφησαν ἡμῶν, τοσούτῳ ὄντως ἡ ὑμετέρα πιστότης μείζων φανείη ἄν. εἰ δέ τις τοῦτο φοβεῖται, μὴ καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐνθάδε πολιορκώμεθα, ἐννοείτω ὅτι Ἑλληνικὸν μὲν οὔπω ναυτικόν ἐστιν ἐν τῇ θαλάττῃ, οἱ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βάρβαροι εἰ ἐπιχειρήσουσι τῆς θαλάττης ἄρχειν, οὐκ
ἀνέξεται ταῦτα ἡ Ἑλλάς· ὥσθ᾽ ἑαυτῇ ἐπικουροῦσα καὶ
5 ὑμῖν σύμμαχος γενήσεται. οἱ μὲν δὴ ταῦτα ἀκούοντες
οὐκ ἀκόντως ἀλλὰ προθύμως ἐπείσθησαν· καὶ τοὺς
μὲν ἰόντας ἁρμοστὰς φίλως ἐδέχοντο, τοὺς δὲ ἀπόντας
μετεπέμποντο. ὁ δὲ Δερκυλίδας, ὡς συνελέγησαν πολ-
λοὶ καὶ χρήσιμοι ἄνδρες εἰς τὴν πόλιν, διαβὰς καὶ εἰς
Σηστόν, κατ᾽ ἀντικρὺ ὄντα Ἀβύδου καὶ ἀπέχοντα οὐ
πλεῖον ὀκτὼ σταδίων, ὅσοι τε διὰ Λακεδαιμονίους γῆν
ἔσχον ἐν Χερρονήσῳ, ἤθροιζε, καὶ ὅσοι αὖ ἐκ τῶν ἐν
τῇ Εὐρώπῃ πόλεων ἁρμοσταὶ ἐξέπιπτον, καὶ τούτους
ἐδέχετο, λέγων ὅτι οὐδ᾽ ἐκείνους ἀθυμεῖν δεῖ, ἐννοου-
μένους ὅτι καὶ ἐν τῇ Ἀσίᾳ, ἣ ἐξ ἀρχῆς βασιλέως ἐστί,
καὶ Τῆμνος, οὐ μεγάλη πόλις, καὶ Αἰγαὶ εἰσι καὶ ἄλλα
γε χωρία, ἃ δύνανται οἰκεῖν οὐχ ὑπήκοοι ὄντες βασι-
λέως. καίτοι, ἔφη, ποῖον μὲν ἂν ἰσχυρότερον Σηστοῦ
λάβοιτε χωρίον, ποῖον δὲ δυσπολιορκητότερον; ὃ καὶ
νεῶν καὶ πεζῶν δεῖται, εἰ μέλλει πολιορκηθήσεσθαι.
τούτους αὖ τοιαῦτα λέγων ἔσχε τοῦ ἐκπεπλῆχθαι.
6 ὁ δὲ Φαρνάβαζος ἐπεὶ ηὗρε τήν τε Ἄβυδον καὶ τὸν Ση-
στὸν οὕτως ἔχοντα, προηγόρευεν αὐτοῖς ὡς εἰ μὴ ἐκ-
πέμψοιεν τοὺς Λακεδαιμονίους, πόλεμον ἐξοίσει πρὸς
αὐτούς. ἐπεὶ δὲ οὐκ ἐπείθοντο, Κόνωνι μὲν προσέ-
ταξε κωλύειν αὐτοὺς τὴν θάλατταν πλεῖν, αὐτὸς δὲ
ἐδῄου τὴν τῶν Ἀβυδηνῶν χώραν. ἐπεὶ δὲ οὐδὲν ἐπέ-
ραινε πρὸς τὸ καταστρέφεσθαι, αὐτὸς μὲν ἐπ᾽ οἶκον
ἀπῆλθε, τὸν δὲ Κόνωνα ἐκέλευεν εὐτρεπίζεσθαι τὰς
καθ᾽ Ἑλλήσποντον πόλεις, ὅπως εἰς τὸ ἔαρ ὅτι πλεῖ-
στον ναυτικὸν ἀθροισθείη. ὀργιζόμενος γὰρ τοῖς Λα-
κεδαιμονίοις ἀνθ᾽ ὧν ἐπεπόνθει περὶ παντὸς ἐποιεῖτο
ἐλθεῖν τε εἰς τὴν χώραν αὐτῶν καὶ τιμωρήσασθαι ὅ,τι
7 δύναιτο. καὶ τὸν μὲν χειμῶνα ἐν τοιούτοις ὄντες διῆ-

γον· ἅμα δὲ τῷ ἔαρι ναῦς τε πολλὰς συμπληρώσας καὶ 393.
ξενικὸν προσμισθωσάμενος ἔπλευσεν ὁ Φαρνάβαζός τε καὶ ὁ Κόνων μετ' αὐτοῦ διὰ νήσων εἰς Μῆλον, ἐκεῖθεν δὲ ὁρμώμενοι εἰς τὴν Λακεδαίμονα. καταπλεύσας δὲ πρῶτον εἰς Φαρὰς ἐδῄωσε ταύτην τὴν χώραν· ἔπειτα καὶ ἄλλοσε ἀποβαίνων τῆς παραθαλαττίας ἐκακούργει ὅ,τι ἐδύνατο. φοβούμενος δὲ τήν τε ἀλιμενότητα τῆς χώρας καὶ τὰ τῆς βοηθείας καὶ τὴν σπανοσιτίαν, ταχύ τε ἀνέστρεψε καὶ ἀποπλέων ὡρμίσθη τῆς Κυθηρίας εἰς Φοινικοῦντα. ἐπεὶ δὲ οἱ ἔχοντες τὴν πόλιν 8
τῶν Κυθηρίων φοβηθέντες μὴ κατὰ κράτος ἁλοῖεν ἐξέλιπον τὰ τείχη, ἐκείνους μὲν ὑποσπόνδους ἀφῆκεν εἰς τὴν Λακωνικήν, αὐτὸς δ' ἐπισκευάσας τὸ τῶν Κυθηρίων τεῖχος φρουρούς τε καὶ Νικόφημον Ἀθηναῖον ἁρμοστὴν ἐν τοῖς Κυθήροις κατέλιπε. ταῦτα δὲ ποιήσας καὶ εἰς Ἰσθμὸν τῆς Κορινθίας καταπλεύσας, καὶ παρακελευσάμενος τοῖς συμμάχοις προθύμως τε πολεμεῖν καὶ ἄνδρας πιστοὺς φαίνεσθαι βασιλεῖ, καταλιπὼν αὐτοῖς χρήματα ὅσα εἶχεν, ᾤχετο ἐπ' οἴκου ἀποπλέων. λέγοντος δὲ τοῦ Κόνωνος ὡς εἰ ἐῴη αὐτὸν 9
ἔχειν τὸ ναυτικόν, θρέψοι μὲν ἀπὸ τῶν νήσων, καταπλεύσας δ' εἰς τὴν πατρίδα συναναστήσοι τά τε μακρὰ τείχη τοῖς Ἀθηναίοις καὶ τὸ περὶ τὸν Πειραιᾶ τεῖχος, οὗ εἰδέναι ἔφη ὅτι Λακεδαιμονίοις οὐδὲν ἂν βαρύτερον γένοιτο, καὶ τοῦτο οὖν, ἔφη, σὺ τοῖς μὲν Ἀθηναίοις κεχαρισμένος ἔσει, τοὺς δὲ Λακεδαιμονίους τετιμωρημένος· ἐφ' ᾧ γὰρ πλεῖστα ἐπόνησαν, ἀτελὲς αὐτοῖς ποιήσεις. ὁ δὲ Φαρνάβαζος ἀκούσας ταῦτα ἀπέστειλεν αὐτὸν προθύμως εἰς τὰς Ἀθήνας, καὶ χρήματα προσέθηκεν αὐτῷ εἰς τὸν ἀνατειχισμόν. ὁ δὲ ἀφικόμενος 10
πολὺ τοῦ τείχους ὤρθωσε, τά τε αὑτοῦ πληρώματα παρέχων καὶ τέκτοσι καὶ λιθολόγοις μισθὸν διδούς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ἄλλο εἴ τι ἀναγκαῖον ἦν, δαπανῶν. ἦν μέντοι τοῦ
τείχους ἃ καὶ αὐτοὶ Ἀθηναῖοι καὶ Βοιωτοὶ καὶ ἄλλαι
πόλεις ἐθελούσιαι συνετείχισαν. οἱ μέντοι Κορίνθιοι
ἀφ' ὧν ὁ Φαρνάβαζος κατέλιπε χρημάτων ναῦς πλη-
ρώσαντες καὶ Ἀγαθῖνον ναύαρχον ἐπιστήσαντες ἐθα-
λαττοκράτουν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ.
11 ἀντεπλήρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναῦς, ὧν
Ποδάνεμος ἦρχεν. ἐπεὶ δὲ οὗτος ἐν προσβολῇ τινι γενο-
μένῃ ἀπέθανε, καὶ Πόλλις αὖ ἐπιστολεὺς ὢν τρωθεὶς
ἀπῆλθεν, Ἡριππίδας ταύτας ἀναλαμβάνει τὰς ναῦς.
Πρόαινος μέντοι Κορίνθιος τὰς παρ' Ἀγαθίνου παρα-
λαβὼν ναῦς ἐξέλιπε τὸ Ῥίον· Λακεδαιμόνιοι δ' αὐτὸ
παρέλαβον. μετὰ δὲ τοῦτο Τελευτίας ἐπὶ τὰς Ἡριππίδου
ναῦς ἦλθε, καὶ οὗτος αὖ τοῦ κόλπου πάλιν ἐκράτει.
12 Οἱ δὲ Λακεδαιμόνιοι ἀκούοντες ὅτι Κόνων καὶ τὸ
τεῖχος τοῖς Ἀθηναίοις ἐκ τῶν βασιλέως χρημάτων
ἀνορθοίη καὶ τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου τρέφων
τάς τε νήσους καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θάλατταν
πόλεις Ἀθηναίοις εὐτρεπίζοι, ἐνόμισαν, εἰ ταῦτα δι-
δάσκοιεν Τιρίβαζον βασιλέως ὄντα στρατηγόν, ἢ καὶ
ἀποστῆσαι ἂν πρὸς ἑαυτοὺς τὸν Τιρίβαζον ἢ παῦσαί
γ' ἂν τὸ Κόνωνος ναυτικὸν τρέφοντα. γνόντες δὲ
οὕτω, πέμπουσιν Ἀνταλκίδαν πρὸς τὸν Τιρίβαζον,
προστάξαντες αὐτῷ ταῦτα διδάσκειν καὶ πειρᾶσθαι εἰ-
13 ρήνην τῇ πόλει ποιεῖσθαι πρὸς βασιλέα. αἰσθόμενοι
δὲ ταῦτα οἱ Ἀθηναῖοι ἀντιπέμπουσι πρέσβεις μετὰ Κό-
νωνος Ἑρμογένη καὶ Δίωνα καὶ Καλλισθένη καὶ
Καλλιμέδοντα. συμπαρεκάλεσαν δὲ καὶ ἀπὸ τῶν συμ-
μάχων πρέσβεις· καὶ παρεγένοντο ἀπό τε Βοιωτῶν
14 καὶ Κορίνθου καὶ Ἄργους. ἐπεὶ δ' ἐκεῖ ἦσαν, ὁ μὲν
Ἀνταλκίδας ἔλεγε πρὸς τὸν Τιρίβαζον ὅτι εἰρήνης δεό-
μενος ἥκοι τῇ πόλει πρὸς βασιλέα, καὶ ταύτης οἵασπερ

βασιλεὺς ἐπεθύμει. τῶν τε γὰρ ἐν τῇ Ἀσίᾳ Ἑλληνίδων
πόλεων Λακεδαιμονίους βασιλεῖ οὐκ ἀντιποιεῖσθαι,
τάς τε νήσους ἁπάσας καὶ τὰς ἄλλας πόλεις ἀρκεῖν σφί-
σιν αὐτονόμους εἶναι. καίτοι, ἔφη, τοιαῦτα ἐθελόντων
ἡμῶν, τίνος ἂν ἕνεκα πρὸς ἡμᾶς βασιλεὺς πολεμοίη
ἢ χρήματα δαπανῴη; καὶ γὰρ οὐδ' ἐπὶ βασιλέα στρα-
τεύεσθαι δυνατὸν οὔτε Ἀθηναίοις μὴ ἡγουμένων
ἡμῶν οὔθ' ἡμῖν αὐτονόμων οὐσῶν τῶν πόλεων. τῷ 15
μὲν δὴ Τιριβάζῳ ἀκούοντι ἰσχυρῶς ἤρεσκον οἱ τοῦ
Ἀνταλκίδου λόγοι· τοῖς δὲ ἐναντίοις λόγοι ταῦτ' ἦν.
οἵ τε γὰρ Ἀθηναῖοι ἐφοβοῦντο συνθέσθαι αὐτονό-
μους εἶναι τὰς νήσους, μὴ Λήμνου καὶ Ἴμβρου καὶ
Σκύρου στερηθεῖεν, οἵ τε Θηβαῖοι, μὴ ἀναγκασθείη-
σαν ἀφεῖναι τὰς Βοιωτίας πόλεις αὐτονόμους, οἵ
τ' Ἀργεῖοι, οὗ ἐπεθύμουν, οὐκ ἐνόμιζον ἂν τὴν
Κόρινθον δύνασθαι ὡς Ἄργος ἔχειν τοιούτων συν-
θηκῶν καὶ σπονδῶν γενομένων. αὕτη μὲν ἡ εἰ-
ρήνη οὕτως ἐγένετο ἀτελής, καὶ ἀπῆλθον οἴκαδε
ἕκαστος.

Ὁ μέντοι Τιρίβαζος τὸ μὲν ἄνευ βασιλέως μετὰ 16
Λακεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶ-
ναι· λάθρᾳ γε μέντοι ἔδωκε χρήματα Ἀνταλκίδᾳ, ὅπως
ἂν πληρωθέντος ναυτικοῦ ὑπὸ Λακεδαιμονίων οἵ τε
Ἀθηναῖοι καὶ οἱ σύμμαχοι αὐτῶν μᾶλλον τῆς εἰρήνης
προσδέοιντο, καὶ τὸν Κόνωνα ὡς ἀδικοῦντά τε βασι-
λέα καὶ ἀληθῆ λεγόντων Λακεδαιμονίων εἷρξε. ταῦτα
δὲ ποιήσας ἀνέβαινε πρὸς βασιλέα, φράσων ἅ τε λέ-
γοιεν οἱ Λακεδαιμόνιοι καὶ ὅτι Κόνωνα συνειληφὼς
εἴη ὡς ἀδικοῦντα, καὶ ἐρωτήσων τί χρὴ ποιεῖν περὶ τού-
των ἁπάντων. καὶ βασιλεὺς μέν, ὡς Τιρίβαζος ἄνω 17
παρ' αὐτῷ ἦν, Στρούθαν καταπέμπει ἐπιμελησόμενον B.C. 392
τῶν κατὰ θάλατταν. ὁ μέντοι Στρούθας ἰσχυρῶς τοῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀθηναίοις καὶ τοῖς συμμάχοις τὴν γνώμην προσεῖχε
μεμνημένος ὅσα κακὰ ἐπεπόνθει ἡ βασιλέως χώρ
ὑπ' Ἀγησιλάου. οἱ δὲ Λακεδαιμόνιοι ἐπεὶ ἑώρων τὸ
Στρούθαν πρὸς ἑαυτοὺς μὲν πολεμικῶς ἔχοντα, πρὸ
δὲ τοὺς Ἀθηναίους φιλικῶς, Θίβρωνα πέμπουσιν ἐπ
πολέμῳ πρὸς αὐτόν. ὁ δὲ διαβάς τε καὶ ὁρμώμενος ἐ
Ἐφέσου τε καὶ τῶν ἐν Μαιάνδρου πεδίῳ πόλεων Πριή
νης τε καὶ Λευκόφρυος καὶ Ἀχιλλείου, ἔφερε καὶ ἦγ
18 τὴν βασιλέως. προϊόντος δὲ τοῦ χρόνου κατανοήσα
ὁ Στρούθας ὅτι Θίβρων βοηθοίη ἑκάστοτε ἀτάκτω
καὶ καταφρονητικῶς, ἔπεμψεν ἱππέας εἰς τὸ πεδίο
καὶ καταδραμόντας ἐκέλευσε περιβαλλομένους ἐλαύ
νειν ὅ,τι δύναιντο. ὁ δὲ Θίβρων ἐτύγχανεν ἐξ ἀρίστο
διασκηνῶν μετὰ Θερσάνδρου τοῦ αὐλητοῦ. ἦν γὰ
ὁ Θέρσανδρος οὐ μόνον αὐλητὴς ἀγαθός, ἀλλὰ κα
19 ἀλκῆς, ἅτε λακωνίζων, ἀντεποιεῖτο. ὁ δὲ Στρού
θας, ἰδὼν ἀτάκτως τε βοηθοῦντας καὶ ὀλίγους τοὺ
πρώτους, ἐπιφαίνεται πολλούς τε ἔχων καὶ συντετα
γμένους ἱππέας. καὶ Θίβρωνα μὲν καὶ Θέρσανδρο
πρώτους ἀπέκτειναν· ἐπεὶ δ' οὗτοι ἔπεσον, ἐτρέψαν
καὶ τὸ ἄλλο στράτευμα, καὶ διώκοντες παμπληθε
κατέβαλον, ἦσαν δὲ καὶ οἳ ἐσώθησαν αὐτῶν εἰς τὰ
φιλίας πόλεις. καὶ πλείονες διὰ τὸ ὀψὲ αἰσθέσθαι τ
βοηθείας· πολλάκις γάρ, καὶ τότε, οὐδὲ παραγγε
λας τὴν βοήθειαν ἐποιήσατο. καὶ ταῦτα μὲν οὕτως ἐγ
γένητο.

20 Ἐπεὶ δ' ἦλθον εἰς Λακεδαίμονα οἱ ἐκπεπτωκότ
B.C. 391. Ῥοδίων ὑπὸ τοῦ δήμου, ἐδίδασκον ὡς οὐκ ἄξιον εἴη π
ριδεῖν Ἀθηναίους Ῥόδον καταστρεψαμένους καὶ τ
σαύτην δύναμιν συνθεμένους. γνόντες οὖν οἱ Λακ
δαιμόνιοι ὡς εἰ μὲν ὁ δῆμος κρατήσοι, Ἀθηναίων ἔστ
Ῥόδος ἅπασα, εἰ δὲ οἱ πλουσιώτεροι, ἑαυτῶν, ἐπλ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρωσαν αὐτοῖς ναῦς ὀκτώ, ναύαρχον δὲ Ἔκδικον ἐπέστησαν. συνεξέπεμψαν δ' ἐπὶ τούτων τῶν νεῶν καὶ 21
Διφρίδαν. ἐκέλευσαν δ' αὐτὸν διαβάντα εἰς τὴν Ἀσίαν τάς τε Θίβρωνα ὑποδεξαμένας πόλεις διασώζειν, καὶ στράτευμα τὸ περισωθὲν ἀναλαβόντα καὶ ἄλλο, εἴ ποθεν δύναιτο, συλλέξαντα πολεμεῖν πρὸς Στρούθαν. ὁ μὲν δὴ Διφρίδας ταῦτ' ἐποίει, καὶ τά τ' ἄλλα ἐπετύγχανε καὶ Τιγράνην τὸν τὴν Στρούθα ἔχοντα θυγατέρα πορευόμενον εἰς Σάρδεις λαμβάνει σὺν αὐτῇ τῇ γυναικί, καὶ χρημάτων πολλῶν ἀπέλυσεν· ὥστ' εὐθὺς ἐντεῦθεν εἶχε μισθοδοτεῖν. ἦν δ' οὗτος ἀνὴρ 22
εὔχαρίς τε οὐχ ἧττον τοῦ Θίβρωνος, μᾶλλόν τε συντεταμένος καὶ ἐγχειρητικώτερος στρατηγός. οὐδὲ γὰρ ἐκράτουν αὐτοῦ αἱ τοῦ σώματος ἡδοναί, ἀλλ' ἀεὶ πρὸς ᾧ εἴη ἔργῳ, τοῦτο ἔπραττεν. ὁ δ' Ἔκδικος ἐπεὶ εἰς τὴν Κνίδον ἔπλευσε καὶ ἐπύθετο τὸν ἐν τῇ Ῥόδῳ δῆμον πάντα κατέχοντα, καὶ κρατοῦντα καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν πλέον διπλασίαις τριήρεσιν ἢ αὐτὸς εἶχεν, ἡσυχίαν ἦγεν ἐν τῇ Κνίδῳ. οἱ δ' αὖ Λακε- 23
δαιμόνιοι ἐπεὶ ᾔσθοντο αὐτὸν ἐλάττω ἔχοντα δύναμιν B.C. 390.
ἢ ὥστε τοὺς φίλους ὠφελεῖν, ἐκέλευσαν τὸν Τελευτίαν σὺν ταῖς δώδεκα ναυσὶν αἷς εἶχεν ἐν τῷ περὶ Ἀχαΐαν καὶ Λέχαιον κόλπῳ περιπλεῖν πρὸς τὸν Ἔκδικον, κἀκεῖνον μὲν ἀποπέμψαι, αὐτὸν δὲ τῶν τε βουλομένων φίλων εἶναι ἐπιμελεῖσθαι καὶ τοὺς πολεμίους ὅ,τι δύναιτο κακὸν ποιεῖν. ὁ δὲ Τελευτίας ἐπειδὴ ἀφίκετο εἰς τὴν Σάμον, προσλαβὼν ἐκεῖθεν ναῦς ἔπλευσεν εἰς Κνίδον, * οἴκαδε. αὐτὸς δ' ἔπλει εἰς τὴν Ῥόδον, 24
ἤδη ἔχων ναῦς ἑπτὰ καὶ εἴκοσι· πλέων δὲ περιτυγχάνει Φιλοκράτει τῷ Ἐφιάλτου πλέοντι μετὰ δέκα τριήρων Ἀθήνηθεν εἰς Κύπρον ἐπὶ συμμαχίᾳ τῇ Εὐαγόρου, καὶ λαμβάνει πάσας, ὑπεναντιώτατα δὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα ἀμφότεροι ἑαυτοῖς πράττοντες· οἵ τε γὰρ Ἀθη-
ναῖοι φίλῳ χρώμενοι βασιλεῖ συμμαχίαν ἔπεμπον Εὐα-
γόρᾳ τῷ πολεμοῦντι πρὸς βασιλέα, ὅ τε Τελευτίας Λα-
κεδαιμονίων πολεμούντων βασιλεῖ τοὺς πλέοντας ἐπὶ
τῷ ἐκείνου πολέμῳ διέφθειρεν. ἐπαναπλεύσας δ' εἰς
Κνίδον καὶ διαθέμενος ἃ ἔλαβεν, εἰς Ῥόδον αὖ ἀφικό-
μενος ἐβοήθει τοῖς τὰ αὐτῶν φρονοῦσιν.
25 Οἱ δ' Ἀθηναῖοι νομίσαντες τοὺς Λακεδαιμονίους
πάλιν δύναμιν κατασκευάζεσθαι ἐν τῇ θαλάττῃ, ἀντ-
εκπέμπουσι Θρασύβουλον τὸν Στειριέα σὺν τετταρά-
κοντα ναυσίν. ὁ δ' ἐκπλεύσας τῆς μὲν εἰς Ῥόδον βοη-
θείας ἐπέσχε, νομίζων οὔτ' ἂν αὐτὸς ῥᾳδίως τιμωρή-
σασθαι τοὺς φίλους τῶν Λακεδαιμονίων τεῖχος ἔχον-
τας καὶ Τελευτίου σὺν ναυσὶ παρόντος συμμάχου αὐ-
τοῖς, οὔτ' ἂν τοὺς σφετέρους φίλους ὑπὸ τοῖς πολε-
μίοις γενέσθαι, τάς τε πόλεις ἔχοντας καὶ πολὺ πλείο-
26 νας ὄντας καὶ μάχῃ κεκρατηκότας· εἰς δὲ τὸν Ἑλ-
λήσποντον πλεύσας καὶ οὐδενὸς ἀντιπάλου παρόντος
ἐνόμισε καταπρᾶξαι ἄν τι τῇ πόλει ἀγαθόν. καὶ οὕτω
δὴ πρῶτον μὲν καταμαθὼν στασιάζοντας Μήδοκόν τ
τὸν Ὀδρυσῶν βασιλέα καὶ Σεύθην τὸν ἐπὶ θαλάττῃ ἄρ-
χοντα ἀλλήλοις μὲν διήλλαξεν αὐτούς, Ἀθηναίοις δ
φίλους καὶ συμμάχους ἐποίησε, νομίζων καὶ τὰς ὑπὸ τ
Θρᾴκῃ οἰκούσας Ἑλληνίδας πόλεις φίλων ὄντων τούτω
27 μᾶλλον προσέχειν ἂν τοῖς Ἀθηναίοις τὸν νοῦν. ἐχόν-
των δὲ τούτων τε καλῶς καὶ τῶν ἐν τῇ Ἀσίᾳ πόλεω
διὰ τὸ βασιλέα φίλον τοῖς Ἀθηναίοις εἶναι, πλεύσα
εἰς Βυζάντιον ἀπέδοτο τὴν δεκάτην τῶν ἐκ τοῦ Πόν-
του πλεόντων. μετέστησε δὲ ἐξ ὀλιγαρχίας εἰς τὸ δημο
κρατεῖσθαι τοὺς Βυζαντίους· ὥστε οὐκ ἀχθεινῶς ἑώρ
ὁ τῶν Βυζαντίων δῆμος Ἀθηναίους ὅτι πλείστους παρ
28 ὄντας ἐν τῇ πόλει. ταῦτα δὲ πράξας καὶ Καλχηδονίο

φίλους προσποιησάμενος ἀπέπλει ἔξω τοῦ Ἑλλησπόντου. ἐπιτυχὼν δ' ἐν τῇ Λέσβῳ ταῖς πόλεσι πάσαις πλὴν Μυτιληναίων λακωνιζούσαις, ἐπ' οὐδεμίαν αὐτῶν ᾔει, πρὶν ἐν Μυτιλήνῃ συντάξας τούς τε ἀπὸ τῶν ἑαυτοῦ νεῶν τετρακοσίους ὁπλίτας καὶ τοὺς ἐκ τῶν πόλεων φυγάδας, ὅσοι εἰς Μυτιλήνην κατεπεφεύγεσαν, καὶ αὐτῶν δὲ Μυτιληναίων τοὺς ἐρρωμενεστάτους προσλαβών, καὶ ἐλπίδας ὑποθεὶς τοῖς μὲν Μυτιληναίοις ὡς ἐὰν λάβῃ τὰς πόλεις, προστάται πάσης Λέσβου ἔσονται, τοῖς δὲ φυγάσιν ὡς ἐὰν ὁμοῦ ὄντες ἐπὶ μίαν ἑκάστην τῶν πόλεων ἴωσιν, ἱκανοὶ ἔσονται ἅπαντες εἰς τὰς πατρίδας ἀνασωθῆναι, τοῖς δ' αὖ ἐπιβάταις ὡς φίλην Λέσβον προσποιήσαντες τῇ πόλει πολλὴν εὐπορίαν χρημάτων διαπεπραγμένοι ἔσονται, ταῦτα δὲ παραμυθησάμενος καὶ συντάξας ἦγεν αὐτοὺς ἐπὶ Μήθυμναν. Θηρίμαχος μέντοι, ὃς ἁρμοστὴς ἐτύγχανεν 29
ὢν τῶν Λακεδαιμονίων, ὡς ἤκουσε τὸν Θρασύβουλον προσιέναι, τούς τ' ἀπὸ τῶν αὐτοῦ νεῶν λαβὼν ἐπιβάτας καὶ αὐτοὺς τοὺς Μηθυμναίους καὶ ὅσοι Μυτιληναίων φυγάδες ἐτύγχανον αὐτόθι, ἀπήντων ἐπὶ τὰ ὅρια. μάχης δὲ γενομένης ὁ μὲν Θηρίμαχος αὐτοῦ ἀποθνήσκει, τῶν δ' ἄλλων φευγόντων πολλοὶ ἀπέθανον.
ἐκ δὲ τούτου τὰς μὲν προσηγάγετο τῶν πόλεων, ἐκ δὲ 30 a.C.
τῶν οὐ προσχωρουσῶν λεηλατῶν χρήματα τοῖς στρα- 389
τιώταις, ἔσπευσεν εἰς τὴν Ῥόδον ἀφικέσθαι. ὅπως δ' ἂν καὶ ἐκεῖ ὡς ἐρρωμενέστατον τὸ στράτευμα ποιήσαιτο, ἔξ ἄλλων τε πόλεων ἠργυρολόγει καὶ εἰς Ἄσπενδον ἀφικόμενος ὡρμίσατο εἰς τὸν Εὐρυμέδοντα ποταμόν. ἤδη δ' ἔχοντος αὐτοῦ χρήματα παρὰ τῶν Ἀσπενδίων, ἀδικησάντων τι ἐκ τῶν ἀγρῶν τῶν στρατιωτῶν, ὀργισθέντες οἱ Ἀσπένδιοι τῆς νυκτὸς ἐπιπεσόντες κατακόπτουσιν ἐν τῇ σκηνῇ αὐτόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Φιλιππιάδας

31 Καὶ Θρασύβουλος μὲν δὴ μάλα δοκῶν ἀνὴρ ἀγα-
θὸς εἶναι οὕτως ἐτελεύτησεν. οἱ μέντοι Ἀθηναῖοι ἑλό-
μενοι ἀντ' αὐτοῦ Ἀγύρριον ἐπὶ τὰς ναῦς ἐξέπεμψαν.
αἰσθόμενοι δ' οἱ Λακεδαιμόνιοι ὅτι ἡ δεκάτη τε τῶν
ἐκ τοῦ Πόντου πεπραμένη εἴη ἐν Βυζαντίῳ ὑπ' Ἀθη-
ναίων καὶ Καλχηδόνα ἔχουσι καὶ αἱ ἄλλαι Ἑλλησπόν-
τιαι πόλεις φίλου ὄντος αὐτοῖς Φαρναβάζου εὖ ἔχοιεν,
32 ἔγνωσαν ἐπιμελητέον εἶναι. τῷ μὲν οὖν Δερκυλίδᾳ
οὐδὲν ἐμέμφοντο· Ἀναξίβιος μέντοι φίλων αὐτῷ γε-
νομένων τῶν ἐφόρων διεπράξατο ὥστε αὐτὸς ἐκπλεῦ-
σαι ἁρμοστὴς εἰς Ἄβυδον. εἰ δὲ λάβοι ἀφορμὴν καὶ
ναῦς, καὶ πολεμήσειν ὑπισχνεῖτο τοῖς Ἀθηναίοις, ὥστε
33 μὴ ἔχειν ἐκείνοις καλῶς τὰ ἐν Ἑλλησπόντῳ. οἱ μὲν δὴ
δόντες καὶ τρεῖς τριήρεις καὶ ἀφορμὴν εἰς ξένους χι-
λίους ἐξέπεμψαν τὸν Ἀναξίβιον. ὁ δὲ ἐπειδὴ ἀφίκετο,
κατὰ γῆν μὲν ἀθροίσας ξενικὸν τῶν τ' Αἰολίδων πό-
λεων παρεσπᾶτό τινας τοῦ Φαρναβάζου καὶ ἐπιστρα-
τευσάσαις ταῖς πόλεσιν ἐπὶ τὴν Ἄβυδον ἀντεπεστρά-
τευε καὶ ἐπεπορεύετο καὶ ἐδῄου τὴν χώραν αὐτῶν· καὶ
ναῦς δὲ πρὸς αἷς εἶχε συμπληρώσας ἐξ Ἀβύδου τρεῖς
ἄλλας κατῆγεν, εἴ τί που λαμβάνοι Ἀθηναίων πλοῖον
34 ἢ τῶν ἐκείνων συμμάχων. αἰσθόμενοι δὲ ταῦτα οἱ
Ἀθηναῖοι καὶ δεδιότες μὴ φθαρείη σφίσιν ἃ κατε-
σκεύασεν ἐν τῷ Ἑλλησπόντῳ Θρασύβουλος, ἀντεκπέμ-
πουσιν Ἰφικράτη ναῦς ὀκτὼ ἔχοντα καὶ πελταστὰς εἰς
διακοσίους καὶ χιλίους. οἱ πλεῖστοι δὲ αὐτῶν ἦσαν ὧν
ἐν Κορίνθῳ ἦρξεν. ἐπεὶ γὰρ οἱ Ἀργεῖοι τὴν Κόρινθον
Ἄργος ἐπεποίηντο, οὐδὲν ἔφασαν αὐτῶν δεῖσθαι· καὶ
γὰρ ἀπεκτόνει τινὰς τῶν ἀργολιζόντων· καὶ οὕτως
35 ἀπελθὼν Ἀθήναζε οἴκοι ἔτυχεν ὤν. ἐπεὶ δὲ ἀφίκετο
B.C. 388. εἰς Χερρόνησον, τὸ μὲν πρῶτον Ἀναξίβιος καὶ Ἰφικρά-
της λῃστὰς διαπέμποντες ἐπολέμουν ἀλλήλοις· προϊ-

όντος δὲ τοῦ χρόνου ὁ Ἰφικράτης αἰσθόμενος καὶ Ἀναξίβιον οἰχόμενον εἰς Ἄντανδρον σύν τε τοῖς μισθοφόροις καὶ τοῖς περὶ αὐτὸν Λακωνικοῖς καὶ σὺν Ἀβυδηνοῖς διακοσίοις ὁπλίταις, καὶ ἀκούσας ὅτι τὴν Ἄντανδρον φιλίαν προσειληφὼς εἴη, ὑπονοῶν ὅτι καταστήσας αὖ τὴν ἐκεῖ φρουρὰν ἀποπορεύσοιτο πάλιν καὶ ἀπάξοι τοὺς Ἀβυδηνοὺς οἴκαδε, διαβὰς τῆς νυκτὸς ᾗ ἐρημότατον ἦν τῆς Ἀβυδηνῆς καὶ ἐπανελθὼν εἰς τὰ ὄρη ἐνέδραν ἐποιήσατο. τὰς δὲ τριήρεις αἳ διήγαγον αὐτὸν ἐκέλευε παραπλεῖν ἅμα τῇ ἡμέρᾳ παρὰ τὴν Χερρόνησον τὴν ἄνω, ὅπως δοκοίη, ὥσπερ εἰώθει, ἐπ' ἀργυρολογίαν ἐπαναπεπλευκέναι. ταῦτα δὲ 36
ποιήσας οὐκ ἐψεύσθη, ἀλλ' ὁ Ἀναξίβιος ἀπεπορεύετο, ὡς μὲν ἐλέγετο, οὐδὲ τῶν ἱερῶν γεγενημένων αὐτῷ ἐκείνῃ τῇ ἡμέρᾳ, ἀλλὰ καταφρονήσας, ὅτι διὰ φιλίας τε ἐπορεύετο καὶ εἰς πόλιν φιλίαν καὶ ὅτι ἤκουε τῶν ἀπαντώντων τὸν Ἰφικράτη ἀναπεπλευκέναι τὴν ἐπὶ Προκοννήσου, ἀμελέστερον ἐπορεύετο. ὅμως δὲ ὁ 37
Ἰφικράτης, ἕως μὲν ἐν τῷ ἰσοπέδῳ τὸ στράτευμα τοῦ Ἀναξιβίου ἦν, οὐκ ἐξανίστατο· ἐπειδὴ δὲ οἱ μὲν Ἀβυδηνοὶ ἀφηγούμενοι ἤδη ἐν τῷ παρὰ Κρεμαστὴν ἦσαν πεδίῳ, ἔνθα ἐστὶ τὰ χρύσεια αὐτοῖς, τὸ δ' ἄλλο στράτευμα ἑπόμενον ἐν τῷ κατάντει ἦν, ὁ δὲ Ἀναξίβιος ἄρτι κατέβαινε σὺν τοῖς Λακωνικοῖς, ἐν τούτῳ ὁ Ἰφικράτης ἐξανίστησι τὴν ἐνέδραν καὶ δρόμῳ ἐφέρετο πρὸς αὐτόν. καὶ ὁ Ἀναξίβιος γνοὺς μὴ εἶναι ἐλπίδα 38
σωτηρίας, ὁρῶν ἐπὶ πολύ τε καὶ στενὸν ἐκτεταμένον τὸ ἑαυτοῦ στράτευμα, καὶ νομίζων πρὸς τὸ ἄναντες οὐκ ἂν δύνασθαι σαφῶς βοηθῆσαι ἑαυτῷ τοὺς προεληλυθότας, ὁρῶν δὲ καὶ ἐκπεπληγμένους ἅπαντας, ὡς εἶδον τὴν ἐνέδραν, εἶπε πρὸς τοὺς παρόντας, Ἄνδρες, ἐμοὶ μὲν ἐνθάδε καλὸν ἀποθανεῖν· ὑμεῖς δὲ πρὶν συμ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

39 μίξαι τοῖς πολεμίοις σπεύδετε εἰς τὴν σωτηρίαν. καὶ ταῦτ' ἔλεγε καὶ παρὰ τοῦ ὑπασπιστοῦ λαβὼν τὴν ἀσπίδα ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. καὶ τὰ παιδικὰ μέντοι αὐτῷ παρέμεινε, καὶ τῶν Λακεδαιμονίων δὲ τῶν συνεληλυθότων ἐκ τῶν πόλεων ἁρμοστήρων ὡς δώδεκα μαχόμενοι συναπέθανον· οἱ δ' ἄλλοι φεύγοντες ἔπιπτον. οἱ δ' ἐδίωκον μέχρι τοῦ ἄστεως. καὶ τῶν τε ἄλλων ὡς διακόσιοι ἀπέθανον καὶ τῶν Ἀβυδηνῶν ὁπλιτῶν περὶ πεντήκοντα. ταῦτα δὲ πράξας ὁ Ἰφικράτης ἀνεχώρησε πάλιν εἰς Χερρόνησον.

---

## [Ε.]

1. Καὶ τὰ μὲν δὴ περὶ Ἑλλήσποντον Ἀθηναίοις τε καὶ
B.C. 388. Λακεδαιμονίοις τοιαῦτα ἦν. ὢν δὲ πάλιν ὁ Ἐτεόνικος ἐν τῇ Αἰγίνῃ, καὶ ἐπιμιξίᾳ χρωμένων τὸν πρόσθεν χρόνον τῶν Αἰγινητῶν πρὸς τοὺς Ἀθηναίους, ἐπεὶ φανερῶς κατὰ θάλατταν ὁ πόλεμος ἐπολεμεῖτο, συνδόξαν καὶ τοῖς ἐφόροις ἐφίησι λῄζεσθαι τὸν βουλόμενον ἐκ
2 τῆς Ἀττικῆς. οἱ δ' Ἀθηναῖοι πολιορκούμενοι ὑπ' αὐτῶν, πέμψαντες εἰς Αἴγιναν καὶ ὁπλίτας καὶ στρατηγὸν αὐτῶν Πάμφιλον ἐπετείχισαν Αἰγινήταις καὶ ἐπολιόρκουν αὐτοὺς καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν δέκα τριήρεσιν. ὁ μέντοι Τελευτίας τυχὼν ἐπὶ τῶν νήσων ποι ἀφιγμένος κατὰ χρημάτων πόρον, ἀκούσας ταῦτα[περὶ τοῦ ἐπιτειχισμοῦ], ἐβοήθει τοῖς Αἰγινήταις· καὶ τὸ μὲν ναυτικὸν ἀπήλασε, τὸ δ' ἐπιτείχισμα διεφύλαττεν ὁ Πάμφιλος.

3 Ἐκ δὲ τούτου ἀπὸ Λακεδαιμονίων Ἱέραξ ναύαρχος ἀφικνεῖται. κἀκεῖνος μὲν παραλαμβάνει τὸ ναυτικόν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁ δὲ Τελευτίας μακαριώτατα δὴ ἀπέπλευσεν οἴκαδε.
ἡνίκα γὰρ ἐπὶ θάλατταν κατέβαινεν ἐπ' οἴκου ὁρμώμε-
νος, οὐδεὶς ἐκεῖνον τῶν στρατιωτῶν ὃς οὐκ ἐδεξιώσα-
το, καὶ ὁ μὲν ἐστεφάνωσεν, ὁ δὲ ἐταινίωσεν, οἱ δ'
ὑστερήσαντες ὅμως καὶ ἀναγομένου ἔρριπτον εἰς τὴν
θάλατταν στεφάνους καὶ ηὔχοντο αὐτῷ πολλὰ κἀγα-
θά. γιγνώσκω μὲν οὖν ὅτι ἐν τούτοις οὔτε δαπάνημα 4
οὔτε κίνδυνον οὔτε μηχάνημα ἀξιόλογον οὐδὲν διη-
γοῦμαι· ἀλλὰ ναὶ μὰ Δία τόδε ἄξιόν μοι δοκεῖ εἶναι
ἀνδρὶ ἐννοεῖν, τί ποτε ποιῶν ὁ Τελευτίας οὕτω διέ-
θηκε τοὺς ἀρχομένους. τοῦτο γὰρ ἤδη πολλῶν καὶ
χρημάτων καὶ κινδύνων ἀξιολογώτατον ἀνδρὸς ἔργον
ἐστίν.

Ὁ δ' αὖ Ἱέραξ τὰς μὲν ἄλλας ναῦς λαβὼν πάλιν 5
ἔπλει εἰς Ῥόδον, ἐν Αἰγίνῃ δὲ τριήρεις δώδεκα κατέ-
λιπε καὶ Γοργώπαν τὸν αὑτοῦ ἐπιστολέα ἁρμοστήν.
καὶ ἐκ τούτου ἐπολιορκοῦντο μᾶλλον οἱ ἐν τῷ ἐπιτει-
χίσματι τῶν Ἀθηναίων ἢ οἱ ἐν τῇ πόλει· ὥστε ὑπὸ ψη-
φίσματος Ἀθηναῖοι πληρώσαντες ναῦς πολλὰς ἀπεκο-
μίσαντο ἐξ Αἰγίνης πέμπτῳ μηνὶ τοὺς ἐκ τοῦ φρουρίου.
τούτων δὲ γενομένων οἱ Ἀθηναῖοι πάλιν αὖ πράγμα-
τα εἶχον ὑπό τε τῶν λῃστῶν καὶ τοῦ Γοργώπα· καὶ ἀν-
τιπληροῦσι ναῦς τρισκαίδεκα, καὶ αἱροῦνται Εὔνο-
μον ναύαρχον ἐπ' αὐτάς. ὄντος δὲ τοῦ Ἱέρακος ἐν τῇ 6
Ῥόδῳ οἱ Λακεδαιμόνιοι Ἀνταλκίδαν ναύαρχον ἐκπέμ-
πουσι, νομίζοντες καὶ Τιριβάζῳ τοῦτο ποιοῦντες μά-
λιστ' ἂν χαρίζεσθαι. ὁ δὲ Ἀνταλκίδας ἐπεὶ ἀφίκετο εἰς
Αἴγιναν, συμπαραλαβὼν τὰς τοῦ Γοργώπα ναῦς ἔπλευ-
σεν εἰς Ἔφεσον, καὶ τὸν μὲν Γοργώπαν πάλιν ἀπο-
πέμπει εἰς Αἴγιναν σὺν ταῖς δώδεκα ναυσίν, ἐπὶ δὲ
ταῖς ἄλλαις Νικόλοχον ἐπέστησε τὸν ἐπιστολέα. καὶ ὁ
μὲν Νικόλοχος βοηθῶν Ἀβυδηνοῖς ἔπλει ἐκεῖσε· πα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρατρεπόμενος δὲ εἰς Τένεδον ἐδῄου τὴν χώραν, καὶ
7 χρήματα λαβὼν ἀπέπλευσεν εἰς Ἄβυδον. οἱ δὲ τῶν
Ἀθηναίων στρατηγοὶ ἀθροισθέντες ἀπὸ Σαμοθρᾴκης
τε καὶ Θάσου καὶ τῶν κατ' ἐκεῖνα χωρίων ἐβοήθουν
τοῖς Τενεδίοις. ὡς δ' ᾔσθοντο εἰς Ἄβυδον καταπε-
πλευκότα τὸν Νικόλοχον, ὁρμώμενοι ἐκ Χερρονήσου
ἐπολιόρκουν αὐτὸν ἔχοντα ναῦς πέντε καὶ εἴκοσι δύο
καὶ τριάκοντα ταῖς μεθ' ἑαυτῶν. ὁ μέντοι Γοργώπας
ἀποπλέων ἐξ Ἐφέσου περιτυγχάνει Εὐνόμῳ· καὶ τότε
μὲν κατέφυγεν εἰς Αἴγιναν μικρὸν πρὸ ἡλίου δυσμῶν·
8 ἐκβιβάσας δ' εὐθὺς ἐδείπνιζε τοὺς στρατιώτας. ὁ δ'
Εὔνομος ὀλίγον χρόνον ὑπομείνας ἀπέπλει. νυκτὸς
δ' ἐπιγενομένης, φῶς ἔχων, ὥσπερ νομίζεται, ἀφη-
γεῖτο, ὅπως μὴ πλανῶνται αἱ ἑπόμεναι. ὁ δὲ Γοργώ-
πας ἐμβιβάσας εὐθὺς ἐπηκολούθει κατὰ τὸν λαμπτῆ-
ρα, ὑπολειπόμενος, ὅπως μὴ φανερὸς εἴη μηδ' αἴσθη-
σιν παρέχοι, λίθων τε ψόφῳ τῶν κελευστῶν ἀντὶ φω-
9 νῆς χρωμένων καὶ παραγωγῇ τῶν κωπῶν. ἐπεὶ δὲ
ἦσαν αἱ τοῦ Εὐνόμου πρὸς τῇ γῇ περὶ Ζωστῆρα τῆς
Ἀττικῆς, ἐκέλευε τῇ σάλπιγγι ἐπιπλεῖν. τῷ δ' Εὐνό-
μῳ ἐξ ἐνίων μὲν τῶν νεῶν ἄρτι ἐξέβαινον, οἱ δὲ καὶ ἔτι
ὡρμίζοντο, οἱ δὲ καὶ ἔτι κατέπλεον. ναυμαχίας δὲ
πρὸς τὴν σελήνην γενομένης, τέτταρας τριήρεις λαμ-
βάνει ὁ Γοργώπας, καὶ ἀναδησάμενος ᾤχετο ἄγων εἰς
Αἴγιναν· αἱ δ' ἄλλαι νῆες αἱ τῶν Ἀθηναίων εἰς τὸν
Πειραιᾶ κατέφυγον.

10 Μετὰ δὲ ταῦτα Χαβρίας ἐξέπλει εἰς Κύπρον βοη-
θῶν Εὐαγόρᾳ, πελταστάς τ' ἔχων ὀκτακοσίους καὶ δέ-
κα τριήρεις. προσλαβὼν δὲ καὶ Ἀθήνηθεν ἄλλας τε
ναῦς καὶ ὁπλίτας, αὐτὸς μὲν τῆς νυκτὸς ἀποβὰς εἰς τὴν
Αἴγιναν πορρωτέρω τοῦ Ἡρακλείου ἐν κοίλῳ χωρίῳ
ἐνήδρευσεν, ἔχων τοὺς πελταστάς. ἅμα δὲ τῇ ἡμέρᾳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὥσπερ συνέκειτο, ἧκον οἱ τῶν Ἀθηναίων ὁπλῖται, Δη-
μαινέτου αὐτῶν ἡγουμένου, καὶ ἀνέβαινον τοῦ Ἡρα-
κλείου ἐπέκεινα ὡς ἑκκαίδεκα σταδίους, ἔνθα ἡ Τρι-
πυργία καλεῖται. ἀκούσας δὲ ταῦτα ὁ Γοργώπας, ἐβοή- 11
θει μετά τε τῶν Αἰγινητῶν καὶ σὺν τοῖς τῶν νεῶν ἐπι-
βάταις καὶ Σπαρτιατῶν οἳ ἔτυχον αὐτόθι παρόντες
ὀκτώ. καὶ ἀπὸ τῶν πληρωμάτων δὲ τῶν ἐκ τῶν νεῶν
ἐκήρυξε βοηθεῖν ὅσοι ἐλεύθεροι εἶεν· ὥστ' ἐβοήθουν
καὶ τούτων πολλοί, ὅ,τι ἐδύνατο ἕκαστος ὅπλον ἔχων.
ἐπεὶ δὲ παρήλλαξαν οἱ πρῶτοι τὴν ἐνέδραν, ἐξανίσταν- 12
ται οἱ περὶ τὸν Χαβρίαν, καὶ εὐθὺς ἠκόντιζον καὶ ἔβαλ-
λον. ἐπῆσαν δὲ καὶ οἱ ἐκ τῶν νεῶν ἀποβεβηκότες
ὁπλῖται. καὶ οἱ μὲν πρῶτοι, ἅτε οὐδενὸς ἀθρόου ὄν-
τος, ταχὺ ἀπέθανον, ὧν ἦν Γοργώπας τε καὶ οἱ Λα-
κεδαιμόνιοι· ἐπεὶ δὲ οὗτοι ἔπεσον, ἐτράπησαν δὴ καὶ οἱ
ἄλλοι. καὶ ἀπέθανον Αἰγινητῶν μὲν ὡς πεντήκοντα καὶ
ἑκατόν, ξένοι δὲ καὶ μέτοικοι καὶ ναῦται καταδεδραμη-
κότες οὐκ ἐλάττους διακοσίων. ἐκ δὲ τούτου οἱ μὲν 13
Ἀθηναῖοι, ὥσπερ ἐν εἰρήνῃ, ἔπλεον τὴν θάλατταν·
οὐδὲ γὰρ τῷ Ἐτεονίκῳ ἤθελον οἱ ναῦται καίπερ ἀνα-
γκάζοντι ἐμβάλλειν, ἐπεὶ μισθὸν οὐκ ἐδίδου.

Ἐκ δὲ τούτου οἱ Λακεδαιμόνιοι Τελευτίαν αὖ
ἐπὶ ταύτῃ ἐκπέμπουσιν ἐπὶ ταύτας τὰς ναῦς ναύαρχον.
ὡς δὲ εἶδον αὐτὸν ἥκοντα οἱ ναῦται, ὑπερήσθησαν. ὁ
δ' αὐτοὺς συγκαλέσας εἶπε τοιάδε. Ὦ ἄνδρες στρατιῶ- 14
ται, ἐγὼ χρήματα μὲν οὐκ ἔχων ἥκω· ἐὰν μέντοι θεὸς
ἐθέλῃ καὶ ὑμεῖς συμπροθυμῆσθε, πειράσομαι τὰ ἐπι-
τήδεια ὑμῖν ὡς πλεῖστα πορίζειν. εὖ δ' ἴστε, ἐγὼ ὅταν
ὑμῶν ἄρχω, εὔχομαί τε οὐδὲν ἧττον ζῆν ὑμᾶς ἢ καὶ
ἐμαυτόν, τά τ' ἐπιτήδεια θαυμάσαιτε μὲν ἂν ἴσως, εἰ
φαίην βούλεσθαι ὑμᾶς μᾶλλον ἢ ἐμὲ ἔχειν· ἐγὼ δὲ νὴ
τοὺς θεοὺς καὶ δεξαίμην ἂν αὐτὸς μᾶλλον δύο ἡμέρας

ἄσιτος ἢ ὑμᾶς μίαν γενέσθαι· ἥ γε μὴν θύρα ἡ ἐμὴ
ἀνέῳκτο μὲν δήπου καὶ πρόσθεν[εἰσιέναι]τῷ δεομένῳ
15 τι ἐμοῦ, ἀνεῴξεται δὲ καὶ νῦν. ὥστε ὅταν ὑμεῖς πλήρη
ἔχητε τὰ ἐπιτήδεια, τότε καὶ ἐμὲ ὄψεσθε ἀφθονώτερον
διαιτώμενον· ἢν δὲ ἀνεχόμενόν με ὁρᾶτε καὶ ψύχη καὶ
θάλπη καὶ ἀγρυπνίαν, οἴεσθε καὶ ὑμεῖς ταῦτα πάντα
καρτερεῖν. οὐδὲν γὰρ ἐγὼ τούτων κελεύω ὑμᾶς ποιεῖν
ἵνα ἀνιᾶσθε, ἀλλ' ἵνα ἐκ τούτων ἀγαθόν τι λαμβάνητε.
16 καὶ ἡ πόλις δέ τοι, ἔφη, ὦ ἄνδρες στρατιῶται, ἡ ἡμε-
τέρα, ἣ δοκεῖ εὐδαίμων εἶναι, εὖ ἴστε ὅτι τἀγαθὰ καὶ
τὰ καλὰ ἐκτήσατο οὐ ῥᾳθυμοῦσα, ἀλλὰ ἐθέλουσα καὶ πο-
νεῖν καὶ κινδυνεύειν, ὁπότε δέοι. καὶ ὑμεῖς οὖν ἦτε μὲν
καὶ πρότερον, ὡς ἐγὼ οἶδα, ἄνδρες ἀγαθοί· νῦν δὲ
πειρᾶσθαι χρὴ ἔτι ἀμείνονας γίγνεσθαι, ἵν' ἡδέως μὲν
17 συμπονῶμεν, ἡδέως δὲ συνευδαιμονῶμεν. τί γὰρ ἥδιον
ἢ μηδένα ἀνθρώπων κολακεύειν μήτε Ἕλληνα μήτε
βάρβαρον ἕνεκα μισθοῦ, ἀλλ' ἑαυτοῖς ἱκανοὺς εἶναι
τὰ ἐπιτήδεια πορίζεσθαι, καὶ ταῦτα ὅθενπερ κάλλι-
στον; ἡ γάρ τοι ἐν πολέμῳ ἀπὸ τῶν πολεμίων ἀφθονία
εὖ ἴστε ὅτι ἅμα τροφήν τε καὶ εὔκλειαν ἐν πᾶσιν ἀν-
θρώποις παρέχεται.
18 Ὁ μὲν ταῦτ' εἶπεν, οἱ δὲ πάντες ἀνεβόησαν παρ-
αγγέλλειν ὅ,τι ἂν δέῃ, ὡς σφῶν ὑπηρετησόντων. ὁ
δὲ τεθυμένος ἐτύγχανεν· εἶπε δέ, Ἄγετε, ὦ ἄνδρες,
δειπνήσατε μέν, ὥσπερ καὶ ἐμέλλετε· προπαράσχη-
σθε δέ μοι μιᾶς ἡμέρας σῖτον. ἔπειτα δὲ ἥκετε ἐπὶ
τὰς ναῦς αὐτίκα μάλα, ὅπως πλεύσωμεν ἔνθα θεὸς
19 ἐθέλει, ἐν καιρῷ ἀφιξόμενοι. ἐπειδὴ δὲ ἦλθον, ἐμ-
βιβασάμενος αὐτοὺς εἰς τὰς ναῦς ἔπλει τῆς νυκτὸς εἰς
τὸν λιμένα τῶν Ἀθηναίων, τοτὲ μὲν ἀναπαύων καὶ
παραγγέλλων ἀποκοιμᾶσθαι, τοτὲ δὲ κώπαις προσκο-
μιζόμενος. εἰ δέ τις ὑπολαμβάνει ὡς ἀφρόνως ἔπλει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δώδεκα τριήρεις ἔχων ἐπὶ πολλὰς ναῦς κεκτημένους,
ἐννοησάτω τὸν ἀναλογισμὸν αὐτοῦ. ἐκεῖνος γὰρ ἐνό- 20
μισεν ἀμελέστερον μὲν ἔχειν τοὺς Ἀθηναίους περὶ τὸ
ἐν τῷ λιμένι ναυτικὸν Γοργώπα ἀπολωλότος· εἰ δὲ καὶ
εἶεν τριήρεις ὁρμοῦσαι, ἀσφαλέστερον ἡγήσατο ἐπ᾽
εἴκοσι ναῦς Ἀθήνησιν οὔσας πλεῦσαι ἢ ἄλλοθι δέκα.
τῶν μὲν γὰρ ἔξω ᾔδει ὅτι κατὰ ναῦν ἔμελλον οἱ ναῦται
σκηνήσειν, τῶν δ᾽ Ἀθήνησιν ἐγίγνωσκεν ὅτι οἱ μὲν
τριήραρχοι οἴκοι καθευδήσοιεν, οἱ δὲ ναῦται ἄλλος ἄλ-
λῃ σκηνήσοιεν. ἔπλει μὲν δὴ ταῦτα διανοηθείς· ἐπειδὴ 21
δὲ ἀπεῖχε πέντε ἢ ἓξ στάδια τοῦ λιμένος, ἡσυχίαν εἶχε
καὶ ἀνέπαυεν. ὡς δὲ ἡμέρα ὑπέφαινεν, ἡγεῖτο· οἱ δὲ
ἐπηκολούθουν. καὶ καταδύειν μὲν οὐκ εἴα στρογγύλον
πλοῖον οὐδὲ λυμαίνεσθαι ταῖς ἑαυτῶν ναυσίν· εἰ δέ
που τριήρη ἴδοιεν ὁρμοῦσαν, ταύτην πειρᾶσθαι ἄπλουν
ποιεῖν, τὰ δὲ φορτηγικὰ πλοῖα καὶ γέμοντα ἀναδουμέ-
νους ἄγειν ἔξω, ἐκ δὲ τῶν μειζόνων ἐμβαίνοντας ὅπου
δύναιντο τοὺς ἀνθρώπους λαμβάνειν. ἦσαν δέ τινες
οἳ καὶ ἐκπηδήσαντες εἰς τὸ Δεῖγμα ἐμπόρους τέ τινας
καὶ ναυκλήρους συναρπάσαντες εἰς τὰς ναῦς εἰσήνε-
γκαν. ὁ μὲν δὴ ταῦτα ἐπεποιήκει. τῶν δὲ Ἀθηναίων 22
οἱ μὲν αἰσθόμενοι ἔνδοθεν ἔθεον ἔξω, σκεψόμενοι τίς ἡ
κραυγή, οἱ δὲ ἔξωθεν οἴκαδε ἐπὶ τὰ ὅπλα, οἱ δὲ καὶ εἰς
ἄστυ ἀγγελοῦντες. πάντες δ᾽ Ἀθηναῖοι τότε ἐβοήθη-
σαν καὶ ὁπλῖται καὶ ἱππεῖς, ὡς τοῦ Πειραιῶς ἑαλω-
κότος. ὁ δὲ τὰ μὲν πλοῖα ἀπέστειλεν εἰς Αἴγιναν, καὶ 23
τῶν τριήρων τρεῖς ἢ τέτταρας συναπαγαγεῖν ἐκέλευσε,
ταῖς δὲ ἄλλαις παραπλέων παρὰ τὴν Ἀττικήν, ἅτε ἐκ
τοῦ λιμένος πλέων, πολλὰ καὶ ἁλιευτικὰ ἔλαβε καὶ
πορθμεῖα ἀνθρώπων μεστά, καταπλέοντα ἀπὸ νή-
σων. ἐπὶ δὲ Σούνιον ἐλθὼν καὶ ὁλκάδας γεμούσας τὰς
μέν τινας σίτου, τὰς δὲ καὶ ἐμπολῆς, ἔλαβε. ταῦτα δὲ 24

ποιήσας ἀπέπλευσεν εἰς Αἴγιναν. καὶ ἀποδόμενος τὰ
λάφυρα μηνὸς μισθὸν προύδωκε τοῖς στρατιώταις. καὶ
τὸ λοιπὸν δὲ περιπλέων ἐλάμβανεν ὅ,τι ἐδύνατο. καὶ
ταῦτα ποιῶν πλήρεις τε τὰς ναῦς ἔτρεφε καὶ τοὺς στρα-
τιώτας εἶχεν ἡδέως καὶ ταχέως ὑπηρετοῦντας.
25 Ὁ δὲ Ἀνταλκίδας κατέβη μὲν μετὰ Τιριβάζου δια-
B.C. 387. πεπραγμένος συμμαχεῖν βασιλέα, εἰ μὴ ἐθέλοιεν Ἀθη-
ναῖοι καὶ οἱ σύμμαχοι χρῆσθαι τῇ εἰρήνῃ ᾗ αὐτὸς ἔλε-
γεν. ὡς δ' ἤκουσε Νικόλοχον σὺν ταῖς ναυσὶ πολιορ-
κεῖσθαι ἐν Ἀβύδῳ ὑπὸ Ἰφικράτους καὶ Διοτίμου, πεζῇ
ᾤχετο εἰς Ἄβυδον. ἐκεῖθεν δὲ λαβὼν τὸ ναυτικὸν νυ-
κτὸς ἀνήγετο, διασπείρας λόγον ὡς μεταπεμπομένων
τῶν Καλχηδονίων· ὁρμισάμενος δὲ ἐν Περκώτῃ ἡσυ-
26 χίαν εἶχεν. αἰσθόμενοι δὲ οἱ περὶ Δημαίνετον καὶ Διο-
νύσιον καὶ Λεόντιχον καὶ Φανίαν ἐδίωκον αὐτὸν τὴν
ἐπὶ Προκοννήσου· ὁ δ', ἐπεὶ ἐκεῖνοι παρέπλευσαν,
ὑποστρέψας εἰς Ἄβυδον ἀφίκετο, ἠκηκόει γὰρ ὅτι προσ-
πλέοι Πολύξενος ἄγων τὰς ἀπὸ Συρακουσῶν καὶ Ἰτα-
λίας ναῦς εἴκοσιν, ὅπως ἀναλάβοι καὶ ταύτας. ἐκ δὲ
τούτου Θρασύβουλος ὁ Κολλυτεὺς ἔχων ναῦς ὀκτὼ
ἔπλει ἀπὸ Θρᾴκης, βουλόμενος ταῖς ἄλλαις Ἀττικαῖς
27 ναυσὶ συμμῖξαι. ὁ δὲ Ἀνταλκίδας, ἐπεὶ αὐτῷ οἱ σκοποὶ
ἐσήμηναν ὅτι προσπλέοιεν τριήρεις ὀκτώ, ἐμβιβάσας
τοὺς ναύτας εἰς δώδεκα ναῦς τὰς ἄριστα πλεούσας, καὶ
προσπληρώσασθαι κελεύσας, εἴ τις ἐνεδεῖτο, ἐκ τῶν
καταλειπομένων, ἐνήδρευεν ὡς ἐδύνατο ἀφανέστατα.
ἐπεὶ δὲ παρέπλεον, ἐδίωκεν· οἱ δ' ἰδόντες ἔφευγον.
τὰς μὲν οὖν βραδύτατα πλεούσας ταῖς ἄριστα πλεού-
σαις ταχὺ κατειλήφει· παραγγείλας δὲ τοῖς πρωτόπλοις
τῶν μεθ' αὐτοῦ μὴ ἐμβαλεῖν ταῖς ὑστάταις, ἐδίωκε
τὰς προεχούσας. ἐπεὶ δὲ ταύτας ἔλαβεν, ἰδόντες οἱ
ὕστεροι ἁλισκομένους σφῶν αὐτῶν τοὺς πρόπλους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπ' ἀθυμίας καὶ τῶν βραδυτέρων ἡλίσκοντο· ὥσθ' ἥλωσαν ἅπασαι. ἐπεὶ δ' ἦλθον αὐτῷ αἵ τε ἐκ Συρα- 28
κουσῶν νῆες εἴκοσιν, ἦλθον δὲ καὶ αἱ ἀπὸ Ἰωνίας, ὅσης ἐγκρατὴς ἦν Τιρίβαζος, συνεπληρώθησαν δὲ καὶ ἐκ τῆς Ἀριοβαρζάνους, καὶ γὰρ ἦν ξένος ἐκ παλαιοῦ τῷ Ἀριοβαρζάνει, ὁ δὲ Φαρνάβαζος ἤδη ἀνακεκλημένος ᾤχετο ἄνω, ὅτε δὴ καὶ ἔγημε τὴν βασιλέως θυγατέρα· ὁ δὲ Ἀνταλκίδας γενομέναις ταῖς πάσαις ναυσὶ πλείοσιν ἢ ὀγδοήκοντα ἐκράτει τῆς θαλάττης· ὥστε καὶ τὰς ἐκ τοῦ Πόντου ναῦς Ἀθήναζε μὲν ἐκώλυε καταπλεῖν, εἰς δὲ τοὺς ἑαυτῶν συμμάχους κατῆγεν. οἱ 29
μὲν οὖν Ἀθηναῖοι, ὁρῶντες μὲν πολλὰς τὰς πολεμίας ναῦς, φοβούμενοι δὲ μὴ ὡς πρότερον καταπολεμηθείησαν, συμμάχου Λακεδαιμονίοις βασιλέως γεγενημένου, πολιορκούμενοι δ' ἐκ τῆς Αἰγίνης ὑπὸ τῶν λῃστῶν, διὰ ταῦτα μὲν ἰσχυρῶς ἐπεθύμουν τῆς εἰρήνης. οἱ δ' αὖ Λακεδαιμόνιοι, φρουροῦντες μόρᾳ μὲν ἐν Λεχαίῳ, μόρᾳ δ' ἐν Ὀρχομενῷ, φυλάττοντες δὲ τὰς πόλεις, αἷς μὲν ἐπίστευον, μὴ ἀπόλοιντο, αἷς δὲ ἠπίστουν, μὴ ἀποσταῖεν, πράγματα δ' ἔχοντες καὶ παρέχοντες περὶ τὴν Κόρινθον, χαλεπῶς ἔφερον τῷ πολέμῳ. οἵ γε μὴν Ἀργεῖοι, εἰδότες φρουράν τε πεφασμένην ἐφ' ἑαυτοὺς καὶ γιγνώσκοντες ὅτι ἡ τῶν μηνῶν ὑποφορὰ οὐδὲν ἔτι σφᾶς ὠφελήσει, καὶ οὗτοι εἰς τὴν εἰρήνην πρόθυμοι ἦσαν. ὥστ' ἐπεὶ παρήγγειλεν ὁ Τιρίβαζος 30
παρεῖναι τοὺς βουλομένους ὑπακοῦσαι ἣν βασιλεὺς εἰρήνην καταπέμποι, ταχέως πάντες παρεγένοντο. ἐπεὶ δὲ συνῆλθον, ἐπιδείξας ὁ Τιρίβαζος τὰ βασιλέως σημεῖα ἀνεγίγνωσκε τὰ γεγραμμένα. εἶχε δὲ ὧδε.

Ἀρταξέρξης βασιλεὺς νομίζει δίκαιον τὰς μὲν ἐν 31
τῇ Ἀσίᾳ πόλεις ἑαυτοῦ εἶναι καὶ τῶν νήσων Κλαζομενὰς καὶ Κύπρον, τὰς δὲ ἄλλας Ἑλληνίδας πόλεις καὶ

μικρὰς καὶ μεγάλας αὐτονόμους ἀφεῖναι πλὴν Λήμ
καὶ Ἴμβρου καὶ Σκύρου· ταύτας δὲ ὥσπερ τὸ ἀρχ
εἶναι Ἀθηναίων. ὁπότεροι δὲ ταύτην τὴν εἰρήνη
δέχονται, τούτοις ἐγὼ πολεμήσω μετὰ τῶν ταὐτὰ β
λομένων καὶ πεζῇ καὶ κατὰ θάλατταν καὶ ναυσὶ
χρήμασιν.

32 Ἀκούοντες οὖν ταῦτα οἱ ἀπὸ τῶν πόλεων π
σβεις ἀπήγγελλον ἐπὶ τὰς ἑαυτῶν ἕκαστοι πόλεις.
οἱ μὲν ἄλλοι πάντες ὤμνυσαν ἐμπεδώσειν ταῦτα,
Θηβαῖοι ἠξίουν ὑπὲρ πάντων Βοιωτῶν ὀμνύναι.
Ἀγησίλαος οὐκ ἔφη δέξεσθαι τοὺς ὅρκους, ἐὰν
ὀμνύωσιν, ὥσπερ τὰ βασιλέως γράμματα ἔλεγεν,
τονόμους εἶναι καὶ μικρὰν καὶ μεγάλην πόλιν. ο
τῶν Θηβαίων πρέσβεις ἔλεγον ὅτι οὐκ ἐπεσταλμ
σφίσι ταῦτ' εἴη. Ἴτε νυν, ἔφη ὁ Ἀγησίλαος, καὶ
τᾶτε· ἀπαγγέλλετε δ' αὐτοῖς καὶ ταῦτα, ὅτι ε
ποιήσουσι ταῦτα, ἔκσπονδοι ἔσονται. οἱ μὲν δὴ ᾤχο
33 ὁ δ' Ἀγησίλαος διὰ τὴν πρὸς Θηβαίους ἔχθραν
ἔμελλεν, ἀλλὰ πείσας τοὺς ἐφόρους εὐθὺς ἐθυ
ἐπεὶ δὲ ἐγένετο τὰ διαβατήρια, ἀφικόμενος εἰς τὴν
γέαν διέπεμπε μὲν τῶν ἱππέων κατὰ τοὺς περιοί
ἐπισπεύσοντας, διέπεμπε δὲ καὶ ξεναγοὺς εἰς τὰς
λεις. πρὶν δὲ αὐτὸν ὁρμηθῆναι ἐκ Τεγέας, παρή
οἱ Θηβαῖοι λέγοντες ὅτι ἀφιᾶσι τὰς πόλεις αὐτονόμ
καὶ οὕτω Λακεδαιμόνιοι μὲν οἴκαδε ἀπῆλθον, Θηβ
δ' εἰς τὰς σπονδὰς εἰσελθεῖν ἠναγκάσθησαν, αὐτο
34 μους ἀφέντες τὰς Βοιωτίας πόλεις. οἱ δ' αὖ Κο
θιοι οὐκ ἐξέπεμπον τὴν τῶν Ἀργείων φρουράν.
ὁ Ἀγησίλαος καὶ τούτοις προεῖπε, τοῖς μέν, εἰ μὴ
πέμψοιεν τοὺς Ἀργείους, τοῖς δέ, εἰ μὴ ἀπίοιεν ἐκ
Κορίνθου, ὅτι πόλεμον ἐξοίσει πρὸς αὐτούς. ἐπ
φοβηθέντων ἀμφοτέρων ἐξῆλθον οἱ Ἀργεῖοι καὶ α

ἐφ' αὑτῆς ἡ τῶν Κορινθίων πόλις ἐγένετο, οἱ μὲν
σφαγεῖς καὶ οἱ μεταίτιοι τοῦ ἔργου αὐτοὶ γνόντες ἀπῆλ-
θον ἐκ τῆς Κορίνθου· οἱ δ' ἄλλοι πολῖται ἑκόντες κατ-
εδέχοντο τοὺς πρόσθεν φεύγοντας.

Ἐπεὶ δὲ ταῦτ' ἐπράχθη καὶ ὀμωμόκεσαν αἱ πόλεις 35
ἐμμενεῖν ἐν τῇ εἰρήνῃ ἣν κατέπεμψε βασιλεύς, ἐκ τούτου
διελύθη μὲν τὰ πεζά, διελύθη δὲ καὶ τὰ ναυτικὰ
στρατεύματα. Λακεδαιμονίοις μὲν δὴ καὶ Ἀθηναίοις
καὶ τοῖς συμμάχοις οὕτω μετὰ τὸν ὕστερον πόλεμον
τῆς καθαιρέσεως τῶν Ἀθήνησι τειχῶν αὕτη πρώτη εἰ-
ρήνη ἐγένετο. ἐν δὲ τῷ πολέμῳ μᾶλλον ἀντιρρόπως 36
τοῖς ἐναντίοις πράττοντες οἱ Λακεδαιμόνιοι πολὺ ἐπι-
κυδέστεροι ἐγένοντο ἐκ τῆς ἐπ' Ἀνταλκίδου εἰρήνης
καλουμένης. προστάται γὰρ γενόμενοι τῆς ὑπὸ βα-
σιλέως καταπεμφθείσης εἰρήνης καὶ τὴν αὐτονομίαν
ταῖς πόλεσι πράττοντες, προσέλαβον μὲν σύμμαχον
Κόρινθον, αὐτονόμους δὲ ἀπὸ τῶν Θηβαίων τὰς
Βοιωτίας πόλεις ἐποίησαν, οὗπερ πάλαι ἐπεθύμουν,
ἔπαυσαν δὲ καὶ Ἀργείους Κόρινθον σφετεριζομέ-
νους, φρουρὰν φήναντες ἐπ' αὐτούς, εἰ μὴ ἐξίοιεν ἐκ
Κορίνθου.

Τούτων δὲ προκεχωρηκότων ὡς ἐβούλοντο, ἔδοξεν II.
αὐτοῖς, ὅσοι ἐν τῷ πολέμῳ τῶν συμμάχων ἐπέκειντο a.C 386
καὶ τοῖς πολεμίοις εὐμενέστεροι ἦσαν ἢ τῇ Λακεδαίμο-
νι, τούτους κολάσαι καὶ κατασκευάσαι ὡς μὴ δύναιν-
το ἀπιστεῖν. πρῶτον μὲν οὖν πέμψαντες πρὸς τοὺς
Μαντινέας ἐκέλευσαν αὐτοὺς τὸ τεῖχος περιαιρεῖν, λέ-
γοντες ὅτι οὐκ ἂν πιστεύσειαν ἄλλως αὐτοῖς μὴ σὺν
τοῖς πολεμίοις γενέσθαι. αἰσθάνεσθαι γὰρ ἔφασαν καὶ 2
ὡς σῖτον ἐξέπεμπον τοῖς Ἀργείοις σφῶν αὐτοῖς πολε-
μούντων, καὶ ὡς ἔστι μὲν ὅτε οὐδὲ συστρατεύοιεν ἐκε-
χειρίαν προφασιζόμενοι, ὁπότε δὲ καὶ ἀκολουθοῖεν, ὡς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κακῶς συστρατεύοιεν. ἔτι δὲ γιγνώσκειν ἔφασαν φθονοῦντας μὲν αὐτούς, εἴ τι σφίσιν ἀγαθὸν γίγνοιτο, ἐφηδομένους δ', εἴ τις συμφορὰ προσπίπτοι. ἐλέγοντο δὲ καὶ αἱ σπονδαὶ ἐξεληλυθέναι τοῖς Μαντινεῦσι τούτῳ τῷ ἔτει αἱ μετὰ τὴν ἐν Μαντινείᾳ μάχην τριακονταέ-
3 τεῖς γενόμεναι. ἐπεὶ δ' οὐκ ἤθελον καθαιρεῖν τὰ τείχη, φρουρὰν φαίνουσιν ἐπ' αὐτούς. Ἀγησίλαος μὲν οὖν ἐδεήθη τῆς πόλεως ἀφεῖναι αὐτὸν ταύτης τῆς στρατηγίας, λέγων ὅτι τῷ πατρὶ αὐτοῦ ἡ τῶν Μαντινέων πόλις πολλὰ ὑπηρετήκοι ἐν τοῖς πρὸς Μεσσήνην πολέμοις· Ἀγησίπολις δὲ ἐξήγαγε τὴν φρουρὰν καὶ μάλα Παυσανίου τοῦ πατρὸς αὐτοῦ φιλικῶς ἔχοντος πρὸς
4 τοὺς ἐν Μαντινείᾳ τοῦ δήμου προστάτας. ὡς δὲ ἐνέ-
a.C. 385. βαλε, πρῶτον μὲν τὴν γῆν ἐδῄου. ἐπεὶ δὲ οὐδ' οὕτω καθῄρουν τὰ τείχη, τάφρον ὤρυττε κύκλῳ περὶ τὴν πόλιν, τοῖς μὲν ἡμίσεσι τῶν στρατιωτῶν προκαθημένοις σὺν τοῖς ὅπλοις τῶν ταφρευόντων, τοῖς δ' ἡμίσεσιν ἐργαζομένοις. ἐπεὶ δὲ ἐξείργαστο ἡ τάφρος, ἀσφαλῶς ἤδη κύκλῳ τεῖχος περὶ τὴν πόλιν ᾠκοδόμησεν. αἰσθόμενος δὲ ὅτι σῖτος ἐν τῇ πόλει πολὺς ἐνείη, εὐετηρίας γενομένης τῷ πρόσθεν ἔτει, καὶ νομίσας χαλεπὸν ἔσεσθαι, εἰ δεήσει πολὺν χρόνον τρύχειν στρατείαις τήν τε πόλιν καὶ τοὺς συμμάχους, ἀπέχωσε τὸν ῥέ-
5 οντα ποταμὸν διὰ τῆς πόλεως μάλ' ὄντα εὐμεγέθη. ἐμφραχθείσης δὲ τῆς ἀπορροίας ἤρετο τὸ ὕδωρ ὑπέρ τε τῶν ὑπὸ ταῖς οἰκίαις καὶ ὑπὲρ τῶν ὑπὸ τῷ τείχει θεμελίων. βρεχομένων δὲ τῶν κάτω πλίνθων καὶ προδιδουσῶν τὰς ἄνω, τὸ μὲν πρῶτον ἐρρήγνυτο τὸ τεῖχος, ἔπειτα δὲ καὶ ἐκλίνετο. οἱ δὲ χρόνον μέν τινα ξύλα ἀντήρειδον καὶ ἐμηχανῶντο ὡς μὴ πίπτοι ὁ πύργος· ἐπεὶ δὲ ἡττῶντο τοῦ ὕδατος, δείσαντες μὴ πεσόντος πῃ τοῦ κύκλῳ τείχους δοριάλωτοι γένοιντο, ὡμολόγουν

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

περιαιρήσειν. οἱ δὲ Λακεδαιμόνιοι οὐκ ἔφασαν σπείσεσθαι, εἰ μὴ καὶ διοικιοῖντο κατὰ κώμας. οἱ δ' αὖ νομίσαντες ἀνάγκην εἶναι, συνέφασαν καὶ ταῦτα ποιήσειν.
οἰομένων δὲ ἀποθανεῖσθαι τῶν ἀργολιζόντων καὶ τῶν 6
τοῦ δήμου προστατῶν, διεπράξατο ὁ πατὴρ παρὰ τοῦ Ἀγησιπόλιδος ἀσφάλειαν αὐτοῖς γενέσθαι ἀπαλλαττομένοις ἐκ τῆς πόλεως, ἑξήκοντα οὖσι. καὶ ἀμφοτέρωθεν μὲν τῆς ὁδοῦ ἀρξάμενοι ἀπὸ τῶν πυλῶν ἔχοντες τὰ δόρατα οἱ Λακεδαιμόνιοι ἔστασαν, θεώμενοι τοὺς ἐξιόντας. καὶ μισοῦντες αὐτοὺς ὅμως ἀπείχοντο αὐτῶν ῥᾷον ἢ οἱ βέλτιστοι τῶν Μαντινέων. καὶ τοῦτο μὲν εἰρήσθω μέγα τεκμήριον πειθαρχίας. ἐκ δὲ τούτου καθ- 7
ῃρέθη μὲν τὸ τεῖχος, διῳκίσθη δ' ἡ Μαντίνεια τετραχῇ, καθάπερ τὸ ἀρχαῖον ᾤκουν. καὶ τὸ μὲν πρῶτον ἤχθοντο, ὅτι τὰς μὲν ὑπαρχούσας οἰκίας ἔδει καθαιρεῖν, ἄλλας δὲ οἰκοδομεῖν· ἐπεὶ δὲ οἱ ἔχοντες τὰς οὐσίας ἐγγύτερον μὲν ᾤκουν τῶν χωρίων, ὄντων αὐτοῖς περὶ τὰς κώμας, ἀριστοκρατίᾳ δ' ἐχρῶντο, ἀπηλλαγμένοι δ' ἦσαν τῶν βαρέων δημαγωγῶν, ἥδοντο τοῖς πεπραγμένοις. καὶ ἔπεμπον μὲν αὐτοῖς οἱ Λακεδαιμόνιοι οὐ καθ' ἕν, ἀλλὰ κατὰ κώμην ἑκάστην ξεναγόν. συνεστρατεύοντο δ' ἐκ τῶν κωμῶν πολὺ προθυμότερον ἢ ὅτε ἐδημοκρατοῦντο. καὶ τὰ μὲν δὴ περὶ Μαντινείας οὕτω διεπέπρακτο, σοφωτέρων γενομένων ταύτῃ γε τῶν ἀνθρώπων τὸ μὴ διὰ τειχῶν ποταμὸν ποιεῖσθαι.

Οἱ δ' ἐκ Φλιοῦντος φεύγοντες αἰσθανόμενοι τοὺς 8
Λακεδαιμονίους ἐπισκοποῦντας τῶν συμμάχων ὁποῖοί a.C. 383.
τινες ἕκαστοι ἐν τῷ πολέμῳ αὐτοῖς ἐγεγένηντο, καιρὸν ἡγησάμενοι, ἐπορεύθησαν εἰς Λακεδαίμονα καὶ ἐδίδασκον ὡς ἕως μὲν σφεῖς οἴκοι ἦσαν, ἐδέχετό τε ἡ πόλις τοὺς Λακεδαιμονίους εἰς τὸ τεῖχος καὶ συνεστρατεύοντο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅποι ἡγοῖντο· ἐπεὶ δὲ σφᾶς αὐτοὺς ἐξέβαλον, ὡς ἕπεσθαι μὲν οὐδαμοῖ ἐθέλοιεν, μόνους δὲ πάντων ἀνθρώπων Λακεδαιμονίους οὐ δέχοιντο εἴσω τῶν πυλῶν.
9 ἀκούσασιν οὖν ταῦτα τοῖς ἐφόροις ἄξιον ἔδοξεν ἐπιστροφῆς εἶναι. καὶ πέμψαντες πρὸς τὴν τῶν Φλιασίων πόλιν ἔλεγον ὡς φίλοι μὲν οἱ φυγάδες τῇ Λακεδαιμονίων πόλει εἶεν, ἀδικοῦντες δ' οὐδὲν φεύγοιεν. ἀξιοῦν δ' ἔφασαν μὴ ὑπ' ἀνάγκης, ἀλλὰ παρ' ἑκόντων διαπράξασθαι κατελθεῖν αὐτούς. ἃ δὴ ἀκούσαντες οἱ Φλιάσιοι ἔδεισαν μὴ εἰ στρατεύσαιντο ἐπ' αὐτούς, τῶν ἔνδοθεν παρείησάν τινες αὐτοὺς εἰς τὴν πόλιν. καὶ γὰρ συγγενεῖς πολλοὶ ἔνδον ἦσαν τῶν φευγόντων καὶ ἄλλως εὐμενεῖς, καὶ οἷα δὴ ἐν ταῖς πλείσταις πόλεσι νεωτέρων τινὲς ἐπιθυμοῦντες πραγμάτων κατάγειν
10 ἐβούλοντο τὴν φυγήν. τοιαῦτα μὲν δὴ φοβηθέντες, ἐψηφίσαντο καταδέχεσθαι τοὺς φυγάδας, καὶ ἐκείνοις μὲν ἀποδοῦναι τὰ ἐμφανῆ κτήματα, τοὺς δὲ τὰ ἐκείνων πριαμένους ἐκ δημοσίου τὴν τιμὴν ἀπολαβεῖν· εἰ δέ τι ἀμφίλογον πρὸς ἀλλήλους γίγνοιτο, δίκῃ διακριθῆναι. καὶ ταῦτα μὲν αὖ περὶ τῶν Φλιασίων φυγάδων ἐν ἐκείνῳ τῷ χρόνῳ ἐπέπρακτο.

11 Ἐξ Ἀκάνθου δὲ καὶ Ἀπολλωνίας, αἵπερ μέγισται
B.C. 382. τῶν περὶ Ὄλυνθον πόλεων, πρέσβεις ἀφίκοντο εἰς Λακεδαίμονα. ἀκούσαντες δ' οἱ ἔφοροι ὧν ἕνεκα ἧκον, προσήγαγον αὐτοὺς πρός τε τὴν ἐκκλησίαν καὶ τοὺς
12 συμμάχους. ἔνθα δὴ Κλειγένης Ἀκάνθιος ἔλεξεν, Ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ σύμμαχοι, οἰόμεθα λανθάνειν ὑμᾶς πρᾶγμα μέγα φυόμενον ἐν τῇ Ἑλλάδι. ὅτι μὲν γὰρ τῶν ἐπὶ Θρᾴκης μεγίστη πόλις Ὄλυνθος σχεδὸν πάντες ἐπίστασθε. οὗτοι τῶν πόλεων προσηγάγοντο ἐφ' ᾧτε νόμοις τοῖς αὐτοῖς χρῆσθαι καὶ συμπολιτεύειν· ἔπειτα δὲ καὶ τῶν μειζόνων προσέλα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βόν τινας. ἐκ δὲ τούτου ἐπεχείρησαν καὶ τὰς τῆς Μακεδονίας πόλεις ἐλευθεροῦν ἀπὸ Ἀμύντου τοῦ Μακεδόνων βασιλέως. ἐπεὶ δὲ εἰσήκουσαν αἱ ἐγγύτατα αὐ- 13
τῶν, ταχὺ καὶ ἐπὶ τὰς πόρρω καὶ μείζους ἐπορεύοντο· καὶ κατελίπομεν ἡμεῖς ἔχοντας ἤδη ἄλλας τε πολλὰς καὶ Πέλλαν, ἥπερ μεγίστη τῶν ἐν Μακεδονίᾳ πόλεων· καὶ Ἀμύνταν δὲ ᾐσθανόμεθα ἀποχωροῦντά τε ἐκ τῶν πόλεων καὶ ὅσον οὐκ ἐκπεπτωκότα ἤδη ἐκ πάσης Μακεδονίας. πέμψαντες δὲ καὶ πρὸς ἡμᾶς καὶ πρὸς Ἀπολλωνιάτας οἱ Ὀλύνθιοι προεῖπον ἡμῖν ὅτι εἰ μὴ παρεσοίμεθα συστρατευσόμενοι, ἐκεῖνοι ἐφ' ἡμᾶς ἴοιεν. ἡμεῖς 14
δέ, ὦ ἄνδρες Λακεδαιμόνιοι, βουλόμεθα μὲν τοῖς πατρίοις νόμοις χρῆσθαι καὶ αὐτοπολῖται εἶναι· εἰ μέντοι μὴ βοηθήσει τις, ἀνάγκη καὶ ἡμῖν μετ' ἐκείνων γίγνεσθαι. καίτοι νῦν γ' ἤδη αὐτοῖς εἰσὶν ὁπλῖται μὲν οὐκ ἐλάττους ὀκτακοσίων, πελτασταὶ δὲ πολὺ πλείους ἢ τοσοῦτοι· ἱππεῖς γε μέντοι, ἐὰν καὶ ἡμεῖς μετ' αὐτῶν γενώμεθα, ἔσονται πλείους ἢ χίλιοι. κατελίπομεν δὲ καὶ 15
Ἀθηναίων καὶ Βοιωτῶν πρέσβεις ἤδη αὐτόθι. ἠκούομεν δὲ ὡς καὶ αὐτοῖς Ὀλυνθίοις ἐψηφισμένον εἴη συμπέμπειν πρέσβεις εἰς ταύτας τὰς πόλεις περὶ συμμαχίας. καίτοι εἰ τοσαύτη δύναμις προσγενήσεται τῇ τε Ἀθηναίων καὶ Θηβαίων ἰσχύι, ὁρᾶτε, ἔφη, ὅπως μὴ οὐκέτι εὐμεταχείριστα ἔσται ἐκεῖνα ὑμῖν. ἐπεὶ δὲ καὶ Ποτίδαιαν ἔχουσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης οὖσαν, νομίζετε καὶ τὰς ἐντὸς ταύτης πόλεις ὑπηκόους ἔσεσθαι αὐτῶν. τεκμήριον δ' ἔτι ἔστω ὑμῖν καὶ τοῦτο ὅτι ἰσχυρῶς αὗται αἱ πόλεις πεφόβηνται· μάλιστα γὰρ μισοῦσαι τοὺς Ὀλυνθίους ὅμως οὐκ ἐτόλμησαν μεθ' ἡμῶν πρεσβείας πέμπειν διδαξούσας ταῦτα. ἐννοήσατε 16
δὲ καὶ τόδε, πῶς εἰκὸς ὑμᾶς τῆς μὲν Βοιωτίας ἐπιμεληθῆναι ὅπως μὴ καθ' ἓν εἴη, πολὺ δὲ μείζονος ἀθροι-

ζομένης δυνάμεως ἀμελῆσαι, καὶ ταύτης οὐ κατὰ γῆν
μόνον, ἀλλὰ καὶ κατὰ θάλατταν ἰσχυρᾶς γιγνομένης.
τί γὰρ δὴ καὶ ἐμποδών, ὅπου ξύλα μὲν ναυπηγήσιμα
ἐν αὐτῇ τῇ χώρᾳ ἐστί, χρημάτων δὲ πρόσοδοι ἐκ πολ-
λῶν μὲν λιμένων, πολλῶν δ' ἐμπορίων, πολυανθρω-
17 πία γε μὴν διὰ τὴν πολυσιτίαν ὑπάρχει; ἀλλὰ μὴν καὶ
γείτονές γ' εἰσὶν αὐτοῖς Θρᾷκες οἱ ἀβασίλευτοι, οἳ θε-
ραπεύουσι μὲν καὶ νῦν ἤδη τοὺς Ὀλυνθίους· εἰ δὲ ὑπ'
ἐκείνοις ἔσονται, πολλὴ καὶ αὕτη δύναμις προσγένοιτ'
ἂν αὐτοῖς. τούτων μὴν ἀκολουθούντων καὶ τὰ ἐν τῷ
Παγγαίῳ χρύσεια χεῖρα ἂν αὐτοῖς ἤδη ὀρέγοι. καὶ τού-
των ἡμεῖς οὐδὲν λέγομεν ὅ,τι οὐ καὶ ἐν τῷ τῶν Ὀλυν-
18 θίων δήμῳ μυριόλεκτόν ἐστι. τό γε μὴν φρόνημα αὐ-
τῶν τί ἄν τις λέγοι; καὶ γὰρ ὁ θεὸς ἴσως ἐποίησεν ἅμα
τῷ δύνασθαι καὶ τὰ φρονήματα αὔξεσθαι τῶν ἀνθρώ-
πων. ἡμεῖς μὲν οὖν, ὦ ἄνδρες Λακεδαιμόνιοί τε καὶ
σύμμαχοι, ἐξαγγέλλομεν ὅτι τἀκεῖ οὕτως ἔχει· ὑμεῖς δὲ
βουλεύεσθε, εἰ δοκεῖ ἄξια ἐπιμελείας εἶναι. δεῖ γε μὴν
ὑμᾶς καὶ τόδε εἰδέναι, ὡς ἣν εἰρήκαμεν δύναμιν μεγά-
λην οὖσαν, οὔπω δυσπάλαιστός ἐστιν· αἱ γὰρ ἄκου-
σαι τῶν πόλεων τῆς πολιτείας κοινωνοῦσαι, αὗται, ἄν
19 τι ἴδωσιν ἀντίπαλον, ταχὺ ἀποστήσονται· εἰ μέντοι
συγκλεισθήσονται ταῖς τε ἐπιγαμίαις καὶ ἐγκτήσεσι
παρ' ἀλλήλοις, ἃς ἐψηφισμένοι εἰσί, καὶ γνώσονται ὅτι
μετὰ τῶν κρατούντων ἕπεσθαι κερδαλέον ἐστίν, ὥσπερ
Ἀρκάδες, ὅταν μεθ' ὑμῶν ἴωσι, τά τε αὑτῶν σώζουσι
καὶ τὰ ἀλλότρια ἁρπάζουσιν, ἴσως οὐκέθ' ὁμοίως εὔλυτα
ἔσται.
20 Λεχθέντων δὲ τούτων ἐδίδοσαν οἱ Λακεδαιμόνιοι
τοῖς συμμάχοις λόγον καὶ ἐκέλευον συμβουλεύειν ὅ,τι
γιγνώσκει τις ἄριστον τῇ Πελοποννήσῳ τε καὶ τοῖς
συμμάχοις. ἐκ τούτου μέντοι πολλοὶ μὲν συνηγόρευον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στρατιὰν ποιεῖν, μάλιστα δὲ οἱ βουλόμενοι χαρίζεσθαι τοῖς Λακεδαιμονίοις, καὶ ἔδοξε πέμπειν τὸ εἰς τοὺς μυρίους σύνταγμα ἑκάστην πόλιν. λόγοι δὲ ἐγένοντο ἀρ- 21
γύριόν τε ἀντ' ἀνδρῶν ἐξεῖναι διδόναι τῇ βουλομένῃ τῶν πόλεων, τριώβολον Αἰγιναῖον κατ' ἄνδρα, ἱππέας τε εἴ τις παρέχοι, ἀντὶ τεττάρων ὁπλιτῶν τὸν μισθὸν τῷ ἱππεῖ δίδοσθαι· εἰ δέ τις τῶν πόλεων ἐκλίποι τὴν 22
στρατιάν, ἐξεῖναι Λακεδαιμονίοις ἐπιζημιοῦν στατῆρι κατὰ τὸν ἄνδρα τῆς ἡμέρας. ἐπεὶ δὲ ταῦτα ἔδοξεν, 23
ἀναστάντες οἱ Ἀκάνθιοι πάλιν ἐδίδασκον ὡς ταῦτα καλὰ μὲν εἴη τὰ ψηφίσματα, οὐ μέντοι δυνατὰ ταχὺ περανθῆναι. βέλτιον οὖν ἔφασαν εἶναι, ἐν ᾧ αὕτη ἡ παρασκευὴ ἀθροίζοιτο, ὡς τάχιστα ἄνδρα ἐξελθεῖν ἄρχοντα καὶ δύναμιν ἐκ Λακεδαίμονός τε, ὅση ἂν ταχὺ ἐξέλθοι, καὶ ἐκ τῶν ἄλλων πόλεων· τούτου γὰρ γενομένου τάς τε οὔπω προσκεχωρηκυίας πόλεις στῆναι ἂν καὶ τὰς βεβιασμένας ἧττον ἂν συμμαχεῖν. δοξάντων 24
δὲ καὶ τούτων ἐκπέμπουσιν οἱ Λακεδαιμόνιοι Εὐδαμίδαν, καὶ σὺν αὐτῷ νεοδαμώδεις τε καὶ τῶν περιοίκων καὶ τῶν Σκιριτῶν ἄνδρας ὡς δισχιλίους. ὁ μέντοι Εὐδαμίδας ἐξιὼν Φοιβίδαν τὸν ἀδελφὸν ἐδεήθη τῶν ἐφόρων τοὺς ὑπολειπομένους τῶν ἑαυτῷ προστεταγμένων ἀθροίσαντα μετιέναι· αὐτὸς δὲ ἐπεὶ ἀφίκετο εἰς τἀπὶ Θρᾴκης χωρία, ταῖς μὲν δεομέναις τῶν πόλεων φρουροὺς ἔπεμπε, Ποτίδαιαν δὲ καὶ προσέλαβεν ἑκοῦσαν, σύμμαχον ἤδη ἐκείνων οὖσαν, καὶ ἐντεῦθεν ὁρμώμενος ἐπολέμει ὥσπερ εἰκὸς τὸν ἐλάττω ἔχοντα δύναμιν.

Ὁ δὲ Φοιβίδας, ἐπεὶ ἠθροίσθησαν αὐτῷ οἱ ὑπολει- 25
φθέντες τοῦ Εὐδαμίδου, λαβὼν αὐτοὺς ἐπορεύετο. ὡς δ' ἐγένοντο ἐν Θήβαις, ἐστρατοπεδεύσαντο μὲν ἔξω τῆς πόλεως περὶ τὸ γυμνάσιον· στασιαζόντων δὲ τῶν Θη-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαίων, πολεμαρχοῦντες μὲν ἐτύγχανον Ἰσμηνίας τε καὶ
Λεοντιάδης, διάφοροι δὲ ὄντες ἀλλήλοις καὶ ἀρχηγὸς
ἑκάτερος τῶν ἑταιριῶν. ὁ μὲν οὖν Ἰσμηνίας διὰ τὸ μῖ-
σος τῶν Λακεδαιμονίων οὐδὲ ἐπλησίαζε τῷ Φοιβίδᾳ·
ὁ μέντοι Λεοντιάδης ἄλλως τε ἐθεράπευεν αὐτόν, καὶ
26 ἐπεὶ εἰσῳκειώθη, ἔλεγε τάδε. Ἔξεστί σοι, ὦ Φοιβίδα,
τῇδε τῇ ἡμέρᾳ μέγιστα ἀγαθὰ τῇ σεαυτοῦ πατρίδι
ὑπουργῆσαι· ἐὰν γὰρ ἀκολουθήσῃς ἐμοὶ σὺν τοῖς ὁπλί-
ταις, εἰσάξω σε ἐγὼ εἰς τὴν ἀκρόπολιν. τούτου δὲ γι-
νομένου νόμιζε τὰς Θήβας παντάπασιν ὑπὸ Λακε-
27 δαιμονίοις καὶ ἡμῖν τοῖς ὑμετέροις φίλοις ἔσεσθαι. καί-
τοι νῦν μέν, ὡς ὁρᾷς, ἀποκεκήρυκται μηδένα μετὰ σοῦ
στρατεύειν Θηβαίων ἐπ' Ὀλυνθίους· ἐὰν δέ γε σὺ ταῦ-
τα μεθ' ἡμῶν πράξῃς, εὐθύς σοι ἡμεῖς πολλοὺς μὲν
ὁπλίτας, πολλοὺς δὲ ἱππέας συμπέμψομεν· ὥστε πολλῇ
δυνάμει βοηθήσεις τῷ ἀδελφῷ, καὶ ἐν ᾧ μέλλει ἐκεῖνος
Ὄλυνθον καταστρέφεσθαι, σὺ κατεστραμμένος ἔσει
28 Θήβας, πολὺ μείζω πόλιν Ὀλύνθου. ἀκούσας δὲ ταῦτα
ὁ Φοιβίδας ἀνεκουφίσθη· καὶ γὰρ ἦν τοῦ λαμπρόν τι
ποιῆσαι πολὺ μᾶλλον ἢ τοῦ ζῆν ἐραστής, οὐ μέντοι
λογιστικός γε οὐδὲ πάνυ φρόνιμος ἐδόκει εἶναι. ἐπεὶ
δὲ ὡμολόγησε ταῦτα, προορμῆσαι μὲν αὐτὸν ἐκέλευ-
σεν, ὥσπερ συνεσκευασμένος ἦν εἰς τὸ ἀπιέναι· ἡνίκα
δ' ἂν ᾖ καιρός, πρὸς σὲ ἥξω ἐγώ, ἔφη ὁ Λεοντιάδης,
29 καὶ αὐτός σοι ἡγήσομαι. ἐν ᾧ δὲ ἡ μὲν βουλὴ ἐκάθητο
ἐν τῇ ἐν ἀγορᾷ στοᾷ διὰ τὸ τὰς γυναῖκας ἐν τῇ
Καδμείᾳ θεσμοφοριάζειν, θέρους δὲ ὄντος καὶ μεσημ-
βρίας πλείστη ἦν ἐρημία ἐν ταῖς ὁδοῖς, ἐν τούτῳ προσ-
ελάσας ἐφ' ἵππου ὁ Λεοντιάδης ἀποστρέφει τε τὸν Φοι-
βίδαν καὶ ἡγεῖται εὐθὺς εἰς τὴν ἀκρόπολιν. καταστή-
σας δ' ἐκεῖ τὸν Φοιβίδαν καὶ τοὺς μετ' αὐτοῦ καὶ πα-
ραδοὺς τὴν βαλανάγραν αὐτῷ τῶν πυλῶν, καὶ εἰπὼν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηδένα παριέναι εἰς τὴν ἀκρόπολιν ὅντινα μὴ αὐτὸς
κελεύοι, εὐθὺς ἐπορεύετο πρὸς τὴν βουλήν. ἐλθὼν δὲ
εἶπε τάδε. Ὅτι μέν, ὦ ἄνδρες, Λακεδαιμόνιοι κατέ- 30
χουσι τὴν ἀκρόπολιν, μηδὲν ἀθυμεῖτε· οὐδενὶ γάρ φασι
πολέμιοι ἥκειν, ὅστις μὴ πολέμου ἐρᾷ· ἐγὼ δὲ τοῦ νό-
μου κελεύοντος ἐξεῖναι πολεμάρχῳ λαβεῖν, εἴ τις δοκεῖ
ἄξια θανάτου ποιεῖν, λαμβάνω τουτονὶ Ἰσμηνίαν, ὡς
πολεμοποιοῦντα. καὶ ὑμεῖς δὲ οἱ λοχαγοί τε καὶ οἱ μετὰ
τούτων τεταγμένοι, ἀνίστασθε, καὶ λαβόντες ἀπαγά-
γετε τοῦτον ἔνθα εἴρηται. οἱ μὲν δὴ εἰδότες τὸ πρᾶ- 31
γμα παρῆσάν τε καὶ ἐπείθοντο καὶ συνελάμβανον· τῶν
δὲ μὴ εἰδότων, ἐναντίων δὲ ὄντων τοῖς περὶ Λεοντιά-
δην, οἱ μὲν ἔφυγον εὐθὺς ἔξω τῆς πόλεως, δείσαντες
μὴ ἀποθάνοιεν· οἱ δὲ καὶ οἴκαδε πρῶτον ἀπεχώρησαν·
ἐπεὶ δὲ εἰργμένον τὸν Ἰσμηνίαν ᾔσθοντο ἐν τῇ Κα-
δμείᾳ, τότε δὴ ἀπεχώρησαν εἰς τὰς Ἀθήνας οἱ ταὐτὰ
γιγνώσκοντες Ἀνδροκλείδᾳ τε καὶ Ἰσμηνίᾳ μάλιστα
τριακόσιοι. ὡς δὲ ταῦτ᾽ ἐπέπρακτο, πολέμαρχον μὲν 32
ἀντὶ Ἰσμηνίου ἄλλον εἵλοντο, ὁ δὲ Λεοντιάδης εὐθὺς
εἰς Λακεδαίμονα ἐπορεύετο. ηὗρε δ᾽ ἐκεῖ τοὺς μὲν ἐφό-
ρους καὶ τῆς πόλεως τὸ πλῆθος χαλεπῶς ἔχοντας τῷ
Φοιβίδᾳ, ὅτι οὐ προσταχθέντα ὑπὸ τῆς πόλεως ταῦτα
ἐπεπράχει· ὁ μέντοι Ἀγησίλαος ἔλεγεν ὅτι εἰ μὲν βλα-
βερὰ τῇ Λακεδαίμονι πεπραχὼς εἴη, δίκαιος εἴη ζη-
μιοῦσθαι· εἰ δὲ ἀγαθά, ἀρχαῖον εἶναι νόμιμον ἐξεῖναι
τὰ τοιαῦτα αὐτοσχεδιάζειν. αὐτὸ οὖν τοῦτ᾽, ἔφη, προσ-
ήκει σκοπεῖν, πότερον ἀγαθὰ ἢ κακά ἐστι τὰ πεπρα-
γμένα. ἔπειτα μέντοι ὁ Λεοντιάδης ἐλθὼν εἰς τοὺς ἐκ- 33
κλήτους ἔλεγε τοιάδε. Ἄνδρες Λακεδαιμόνιοι, ὡς μὲν
πολεμικῶς ὑμῖν εἶχον οἱ Θηβαῖοι, πρὶν τὰ νῦν πεπρα-
γμένα γενέσθαι, καὶ ὑμεῖς ἐλέγετε· ἑωρᾶτε γὰρ ἀεὶ
τούτους τοῖς μὲν ὑμετέροις δυσμενέσι φιλικῶς ἔχον-



Δημόσια Κεντρική Βιβλιοθήκη

τας, τοῖς δ' ὑμετέροις φίλοις ἐχθροὺς ὄντας. οὐκ ἐπὶ μὲν τὸν ἐν Πειραιεῖ δῆμον, πολεμιώτατον ὄντα ὑμῖν, οὐκ ἠθέλησαν συστρατεύειν; Φωκεῦσι δὲ ὅτι ὑμᾶς εὐ-
34 μενεῖς ὄντας ἑώρων, ἐπεστράτευον; ἀλλὰ μὴν καὶ πρὸς Ὀλυνθίους εἰδότες ὑμᾶς πόλεμον ἐκφέροντας συμμαχίαν ἐποιοῦντο, καὶ ὑμεῖς γε τότε μὲν ἀεὶ προσείχετε τὸν νοῦν πότε ἀκούσεσθε βιαζομένους αὐτοὺς τὴν Βοιωτίαν ὑφ' αὑτοῖς εἶναι· νῦν δ' ἐπεὶ τάδε πέπρακται, οὐδὲν ὑμᾶς δεῖ Θηβαίους φοβεῖσθαι· ἀλλ' ἀρκέσει ὑμῖν μικρὰ σκυτάλη ὥστ' ἐκεῖθεν πάντα ὑπηρετεῖσθαι ὅσων ἂν δέησθε, ἐὰν ὥσπερ ἡμεῖς ὑμῶν, οὕτω καὶ
35 ὑμεῖς ἡμῶν ἐπιμέλησθε. ἀκούουσι ταῦτα τοῖς Λακεδαιμονίοις ἔδοξε τήν τε ἀκρόπολιν ὥσπερ κατείληπτο φυλάττειν καὶ Ἰσμηνίᾳ κρίσιν ποιῆσαι. ἐκ δὲ τούτου πέμπουσι δικαστὰς Λακεδαιμονίων μὲν τρεῖς, ἀπὸ δὲ τῶν συμμαχίδων ἕνα ἀφ' ἑκάστης καὶ μικρᾶς καὶ μεγάλης πόλεως. ἐπεὶ δὲ συνεκαθίζετο τὸ δικαστήριον, τότε δὴ κατηγορεῖτο τοῦ Ἰσμηνίου καὶ ὡς βαρβαρίζοι καὶ ὡς ξένος τῷ Πέρσῃ ἐπ' οὐδενὶ ἀγαθῷ τῆς Ἑλλάδος γεγενημένος εἴη καὶ ὡς τῶν παρὰ βασιλέως χρημάτων μετειληφὼς εἴη καὶ ὅτι τῆς ἐν τῇ Ἑλλάδι ταραχῆς πάσης
36 ἐκεῖνός τε καὶ Ἀνδροκλείδας αἰτιώτατοι εἶεν. ὁ δὲ ἀπελογεῖτο μὲν πρὸς πάντα ταῦτα, οὐ μέντοι ἔπειθέ γε τὸ μὴ οὐ μεγαλοπράγμων τε καὶ κακοπράγμων εἶναι. καὶ ἐκεῖνος μὲν κατεψηφίσθη καὶ ἀποθνήσκει· οἱ δὲ περὶ Λεοντιάδην εἶχόν τε τὴν πόλιν καὶ τοῖς Λακεδαιμονίοις
37 ἔτι πλείω ὑπηρέτουν ἢ προσετάττετο αὐτοῖς. τούτων δὴ πεπραγμένων οἱ Λακεδαιμόνιοι πολὺ δὴ προθυμότερον τὴν εἰς τὴν Ὄλυνθον στρατιὰν συναπέστελλον. καὶ ἐκπέμπουσι Τελευτίαν μὲν ἁρμοστήν, τὴν δ' εἰς τοὺς μυρίους σύνταξιν αὐτοί τε ἅπαντες συνεξέπεμπον, καὶ εἰς τὰς συμμαχίδας πόλεις σκυτάλας διέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

πεμπον, κελεύοντες ἀκολουθεῖν Τελευτίᾳ κατὰ τὸ δό-
γμα τῶν συμμάχων. καὶ οἵ τε ἄλλοι προθύμως τῷ Τε-
λευτίᾳ ὑπηρέτουν, καὶ γὰρ οὐκ ἀχάριστος ἐδόκει εἶναι
τοῖς ὑπουργοῦσί τι, καὶ ἡ τῶν Θηβαίων δὲ πόλις,
ἅτε καὶ Ἀγησιλάου ὄντος αὐτῷ ἀδελφοῦ, προθύμως
συνέπεμπε καὶ ὁπλίτας καὶ ἱππέας. ὁ δὲ σπεύδων μὲν 38
οὐ μάλα ἐπορεύετο, ἐπιμελόμενος δὲ τοῦ τε μὴ ἀδι-
κῶν τοὺς φίλους πορεύεσθαι καὶ τοῦ ὡς πλείστην δύ-
ναμιν ἀθροίζειν. προύπεμπε δὲ καὶ πρὸς Ἀμύνταν, καὶ
ἠξίου αὐτὸν καὶ ξένους μισθοῦσθαι καὶ τοῖς πλησίον
βασιλεῦσι χρήματα διδόναι, ὡς συμμάχους εἶναι, εἴπερ
βούλοιτο τὴν ἀρχὴν ἀναλαβεῖν. ἔπεμπε δὲ καὶ πρὸς
Δέρδαν τὸν Ἐλιμίας ἄρχοντα, διδάσκων ὅτι οἱ Ὀλύν-
θιοι κατεστραμμένοι τὴν μείζω δύναμιν Μακεδονίας
εἶεν, καὶ οὐκ ἀνήσουσι τὴν ἐλάττω, εἰ μή τις αὐτοὺς
παύσει τῆς ὕβρεως. ταῦτα δὲ ποιῶν, μάλα πολλὴν 39
ἔχων στρατιὰν ἀφίκετο εἰς τὴν ἑαυτῶν συμμαχίδα. ἐπεὶ
δ' ἦλθεν εἰς τὴν Ποτίδαιαν, ἐκεῖθεν συνταξάμενος ἐπο-
ρεύετο εἰς τὴν πολεμίαν. καὶ πρὸς μὲν τὴν πόλιν ἰὼν
οὔτ' ἔκαεν οὔτ' ἔκοπτε, νομίζων, εἴ τι ποιήσειε τού-
των, ἐμποδὼν ἂν αὐτῷ πάντα γίγνεσθαι καὶ προσιόντι
καὶ ἀπιόντι· ὁπότε δὲ ἀναχωροίη ἀπὸ τῆς πόλεως, τό-
τε ὀρθῶς ἔχειν κόπτοντα τὰ δένδρα ἐμποδὼν καταβάλ-
λειν, εἴ τις ὄπισθεν ἐπίοι. ὡς δὲ ἀπεῖχεν ἀπὸ τῆς πό- 40
λεως οὐδὲ δέκα στάδια, ἔθετο τὰ ὅπλα, εὐώνυμον μὲν
αὐτὸς ἔχων, οὕτω γὰρ συνέβαινεν αὐτῷ κατὰ τὰς πύ-
λας ἰέναι ᾗ ἐξῇσαν οἱ πολέμιοι, ἡ δ' ἄλλη φάλαγξ
τῶν συμμάχων ἀπετέτατο πρὸς τὸ δεξιόν. καὶ τῶν ἱπ-
πέων δὲ τοὺς μὲν Λάκωνας καὶ τοὺς Θηβαίους καὶ
ὅσοι τῶν Μακεδόνων παρῆσαν ἐπὶ τῷ δεξιῷ ἐτάξατο,
παρὰ δὲ αὐτῷ εἶχε Δέρδαν τε καὶ τοὺς ἐκείνου ἱππέας
ὡς εἰς τετρακοσίους διά τε τὸ ἄγασθαι τοῦτο τὸ ἱπ-

πικὸν καὶ διὰ τὸ θεραπεύειν τὸν Δέρδαν, ὡς ἡδόμενος
41 παρείη. ἐπεὶ δὲ καὶ οἱ πολέμιοι ἐλθόντες ἀντιπαρετά-
ξαντο ὑπὸ τῷ τείχει, συσπειραθέντες αὐτῶν οἱ ἱππεῖς
ἐμβάλλουσι κατὰ τοὺς Λάκωνας καὶ Βοιωτούς. καὶ
Πολύχαρμόν τε τὸν Λακεδαιμόνιον ἵππαρχον καταβάλ-
λουσιν ἀπὸ τοῦ ἵππου καὶ κείμενον πάμπολλα κατέτρω-
σαν, καὶ ἄλλους ἀπέκτειναν, καὶ τέλος τρέπονται ἐπὶ τῷ
δεξιῷ κέρατι τὸ ἱππικόν. φευγόντων δὲ τῶν ἱππέων
ἐνέκλινε καὶ τὸ ἐχόμενον πεζὸν αὐτῶν, καὶ ὅλον δ' ἂν
ἐκινδύνευσεν ἡττηθῆναι τὸ στράτευμα, εἰ μὴ Δέρδας
ἔχων τὸ ἑαυτοῦ ἱππικὸν εὐθὺς πρὸς τὰς πύλας τῶν
Ὀλυνθίων ἤλασεν. ἐπῄει δὲ καὶ ὁ Τελευτίας σὺν τοῖς
42 περὶ αὐτὸν ἐν τάξει. ὡς δὲ ταῦτα ᾔσθοντο οἱ Ὀλύνθιοι
ἱππεῖς, δείσαντες μὴ ἀποκλεισθεῖεν τῶν πυλῶν, ἀνα-
στρέψαντες ἀπεχώρουν πολλῇ σπουδῇ. ἔνθα δὴ ὁ
Δέρδας παρελαύνοντας παμπόλλους [ἱππέας] αὐτῶν
ἀπέκτεινεν. ἀπεχώρησαν δὲ καὶ οἱ πεζοὶ τῶν Ὀλυν-
θίων εἰς τὴν πόλιν· οὐ μέντοι πολλοὶ αὐτῶν ἀπέθα-
43 νον, ἅτε ἐγγὺς τοῦ τείχους ὄντος. ἐπεὶ δὲ τρόπαιόν
τε ἐστάθη καὶ ἡ νίκη αὕτη τῷ Τελευτίᾳ ἐγεγένητο,
ἀπιὼν δὴ ἔκοπτε τὰ δένδρα. καὶ τοῦτο μὲν στρα-
τευσάμενος τὸ θέρος διῆκε καὶ τὸ Μακεδονικὸν
στράτευμα καὶ τὸ τοῦ Δέρδα· πολλάκις μέντοι καὶ
οἱ Ὀλύνθιοι καταθέοντες εἰς τὰς τῶν Λακεδαιμο-
νίων συμμαχίδας πόλεις ἐλεηλάτουν καὶ ἄνδρας ἀπε-
κτίννυον.

III. Ἅμα δὲ τῷ ἦρι ὑποφαινομένῳ οἱ μὲν Ὀλύνθιοι ἱπ-
a.C. 381. πεῖς ὄντες ὡς ἑξακόσιοι κατεδεδραμήκεσαν εἰς τὴν
Ἀπολλωνίαν ἅμα μεσημβρίᾳ καὶ διεσπαρμένοι ἐλεηλά-
τουν· ὁ δὲ Δέρδας ἐτύγχανε ταύτῃ τῇ ἡμέρᾳ ἀφιγμέ-
νος μετὰ τῶν ἱππέων τῶν ἑαυτοῦ καὶ ἀριστοποιούμε-
νος ἐν τῇ Ἀπολλωνίᾳ. ὡς δ' εἶδε τὴν καταδρομήν, ἡσυ-

χίαν εἶχε, τούς θ' ἵππους ἐνεσκευασμένους καὶ
τοὺς ἀμβάτας ἐξωπλισμένους ἔχων. ἐπειδὴ δὲ κατα-
φρονητικῶς οἱ Ὀλύνθιοι καὶ εἰς τὸ προάστειον καὶ εἰς
αὐτὰς τὰς πύλας ἤλαυνον, τότε δὴ συντεταγμένους
ἔχων ἐξελαύνει. οἱ δὲ ὡς εἶδον, εἰς φυγὴν ὥρμησαν. ὁ 2
δ' ὡς ἅπαξ ἐτρέψατο, οὐκ ἀνῆκεν ἐνενήκοντα στάδια
διώκων καὶ ἀποκτιννύς, ἕως πρὸς αὐτὸ κατεδίωξε τῶν
Ὀλυνθίων τὸ τεῖχος. καὶ ἐλέγετο ὁ Δέρδας ἀποκτεῖναι
ἐν τούτῳ τῷ ἔργῳ περὶ ὀγδοήκοντα ἱππέας. καὶ ἀπὸ
τούτου τειχήρεις τε μᾶλλον ἦσαν οἱ πολέμιοι καὶ τῆς χώ-
ρας ὀλίγην παντελῶς εἰργάζοντο. προϊόντος δὲ τοῦ 3
χρόνου, καὶ τοῦ Τελευτίου ἐστρατευμένου πρὸς τὴν
τῶν Ὀλυνθίων πόλιν, ὡς εἴ τι δένδρον ὑπόλοιπον εἴη
ἤ τι εἰργασμένον τοῖς πολεμίοις, φθείροι, ἐξελθόντες
οἱ Ὀλύνθιοι ἱππεῖς ἡσυχῇ πορευόμενοι διέβησαν τὸν
παρὰ τὴν πόλιν ῥέοντα ποταμόν, καὶ ἐπορεύοντο
πρὸς τὸ ἐναντίον στράτευμα. ὡς δ' εἶδεν ὁ Τε-
λευτίας, ἀγανακτήσας τῇ τόλμῃ αὐτῶν εὐθὺς Τλη-
μονίδαν τὸν τῶν πελταστῶν ἄρχοντα δρόμῳ φέρεσθαι
εἰς αὐτοὺς ἐκέλευσεν. οἱ δὲ Ὀλύνθιοι ὡς εἶδον προ- 4
θέοντας τοὺς πελταστάς, ἀναστρέψαντες ἀπεχώρουν
ἡσυχῇ, καὶ διέβησαν πάλιν τὸν ποταμόν. οἱ δ' ἠκο-
λούθουν μάλα θρασέως, καὶ ὡς φεύγουσι διώξοντες
ἐπιδιέβαινον. ἔνθα δὴ οἱ Ὀλύνθιοι ἱππεῖς, ἡνίκα ἔτι
εὐχείρωτοι αὐτοῖς ἐδόκουν εἶναι οἱ διαβεβηκότες, ἀνα-
στρέψαντες ἐμβάλλουσιν αὐτοῖς, καὶ αὐτόν τε ἀπέκτει-
ναν τὸν Τλημονίδαν καὶ τῶν ἄλλων πλείους ἢ ἑκατόν.
ὁ δὲ Τελευτίας ὡς εἶδε τὸ γιγνόμενον, ὀργισθείς, ἀνα- 5
λαβὼν τὰ ὅπλα ἦγε μὲν ταχὺ τοὺς ὁπλίτας, διώκειν δὲ
καὶ τοὺς πελταστὰς ἐκέλευε καὶ τοὺς ἱππέας καὶ μὴ
ἀνιέναι. πολλοὶ μὲν οὖν δὴ καὶ ἄλλοι τοῦ καιροῦ
ἐγγυτέρω τείχους διώξαντες κακῶς ἀπεχώρησαν, καὶ

ἐκεῖνοι δ' ἐπεὶ ἀπὸ τῶν πύργων ἐβάλλοντο, ἀποχωρεῖν τε ἠναγκάζοντο τεθορυβημένως καὶ προφυλάττεσθαι
6 τὰ βέλη. ἐν τούτῳ δὴ οἱ Ὀλύνθιοι ἐπεξελαύνουσι μὲν τοὺς ἱππέας, ἐβοήθουν δὲ καὶ οἱ πελτασταί· τέλος δὲ καὶ οἱ ὁπλῖται ἐπεξέθεον, καὶ τεταραγμένῃ τῇ φάλαγγι προσπίπτουσι. καὶ ὁ μὲν Τελευτίας ἐνταῦθα μαχόμενος ἀποθνήσκει. τούτου δὲ γενομένου εὐθὺς καὶ οἱ ἀμφ' αὐτὸν ἐνέκλιναν, καὶ οὐδεὶς ἔτι ἵστατο, ἀλλὰ πάντες ἔφευγον, οἱ μὲν ἐπὶ Σπαρτώλου, οἱ δὲ ἐπὶ Ἀκάνθου, οἱ δ' εἰς Ἀπολλωνίαν, οἱ πλεῖστοι δ' εἰς Ποτίδαιαν. ὡς δ' ἄλλος ἄλλῃ ἔφευγον, οὕτω καὶ οἱ πολέμιοι ἄλλος ἄλλοσε διώκοντες παμπληθεῖς ἀπέκτειναν ἀνθρώπους καὶ ὅ,τιπερ ὄφελος ἦν τοῦ στρατεύματος.

7 Ἐκ μέντοι γε τῶν τοιούτων παθῶν ἐγώ φημι ἀνθρώπους παιδεύεσθαι μάλιστα μὲν οὖν ὡς οὐδ' οἰκέτας χρὴ ὀργῇ κολάζειν· πολλάκις γὰρ καὶ δεσπόται ὀργιζόμενοι μείζω κακὰ ἔπαθον ἢ ἐποίησαν· ἀτὰρ ἀντιπάλοις τὸ μετ' ὀργῆς ἀλλὰ μὴ γνώμῃ προσφέρεσθαι ὅλον ἁμάρτημα. ἡ μὲν γὰρ ὀργὴ ἀπρονόητον, ἡ δὲ γνώμη σκοπεῖ οὐδὲν ἧττον μή τι πάθῃ ἢ ὅπως βλάψῃ τι τοὺς πολεμίους.

8 Τοῖς δ' οὖν Λακεδαιμονίοις, ἐπεὶ ἤκουσαν τὸ πρᾶγμα, βουλευομένοις ἐδόκει οὐ φαύλην πεμπτέον δύναμιν εἶναι, ὅπως τό τε φρόνημα τῶν νενικηκότων κατασβεσθείη καὶ μὴ μάτην τὰ πεποιημένα γένοιτο. οὕτω δὲ γνόντες ἡγεμόνα μὲν Ἀγησίπολιν τὸν βασιλέα ἐκπέμπουσι, μετ' αὐτοῦ δὲ ὥσπερ Ἀγησιλάου εἰς τὴν
9 Ἀσίαν τριάκοντα Σπαρτιατῶν. πολλοὶ δὲ αὐτῷ καὶ τῶν περιοίκων ἐθελονταὶ καλοὶ κἀγαθοὶ ἠκολούθουν, καὶ ξένοι τῶν τροφίμων καλουμένων, καὶ νόθοι τῶν Σπαρτιατῶν, μάλα εὐειδεῖς τε καὶ τῶν ἐν τῇ πόλει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καλῶν οὐκ ἄπειροι. συνεστρατεύοντο δὲ καὶ ἐκ τῶν
συμμαχίδων πόλεων ἐθελονταί, καὶ Θετταλῶν γε ἱπ-
πεῖς, γνωσθῆναι τῷ Ἀγησιπόλιδι βουλόμενοι, καὶ
Ἀμύντας δὲ καὶ Δέρδας ἔτι προθυμότερον ἢ πρόσθεν.
Ἀγησίπολις μὲν δὴ ταῦτα πράττων ἐπορεύετο ἐπὶ τὴν
Ὄλυνθον.

Ἡ δὲ τῶν Φλιασίων πόλις, ἐπαινεθεῖσα μὲν ὑπὸ 10
τοῦ Ἀγησιπόλιδος ὅτι πολλὰ καὶ ταχέως αὐτῷ χρήμα-
τα εἰς τὴν στρατιὰν ἔδοσαν, νομίζουσα δ' ἔξω ὄντος
Ἀγησιπόλιδος οὐκ ἂν ἐξελθεῖν ἐπ' αὐτοὺς Ἀγησίλαον,
οὐδ' ἂν γενέσθαι ὥστε ἅμα ἀμφοτέρους τοὺς βασιλέας
ἔξω Σπάρτης εἶναι, θρασέως οὐδὲν τῶν δικαίων ἐποί-
ουν τοῖς κατεληλυθόσιν. οἱ μὲν γὰρ δὴ φυγάδες ἠξίουν
τὰ ἀμφίλογα ἐν ἴσῳ δικαστηρίῳ κρίνεσθαι· οἱ δὲ
ἠνάγκαζον ἐν αὐτῇ τῇ πόλει διαδικάζεσθαι. λεγόντων
δὲ τῶν κατεληλυθότων καὶ τίς αὕτη δίκη εἴη ὅπου αὐ-
τοὶ οἱ ἀδικοῦντες δικάζοιεν, οὐδὲν εἰσήκουον. ἐκ τού- 11
του μέντοι ἔρχονται εἰς Λακεδαίμονα οἱ κατελθόντες
κατηγορήσοντες τῆς πόλεως, καὶ ἄλλοι δὲ τῶν οἴκοθεν
συνηκολούθουν, λέγοντες ὅτι πολλοῖς καὶ τῶν πολιτῶν
οὐ δοκοῖεν δίκαια πάσχειν. ἀγανακτήσασα δὲ τούτοις
τῶν Φλιασίων ἡ πόλις ἐζημίωσε πάντας ὅσοι μὴ πεμ-
πούσης τῆς πόλεως ἦλθον εἰς Λακεδαίμονα. οἱ δὲ ζη- 12
μιωθέντες οἴκαδε μὲν ὤκνουν ἀπιέναι, μένοντες δ'
ἐδίδασκον ὡς οὗτοι μὲν εἴησαν οἱ βιαζόμενοι ταῦτα,
οἵπερ σφᾶς τε ἐξέβαλον καὶ Λακεδαιμονίους ἀπέκλει-
σαν, οὗτοι δὲ οἱ πριάμενοί τε τὰ σφέτερα καὶ βιαζό-
μενοι μὴ ἀποδιδόναι, οὗτοι δὲ καὶ νῦν διαπεπραγμένοι
εἰσὶ ζημιωθῆναι σφᾶς αὐτοὺς εἰς Λακεδαίμονα ἐλθόν-
τας, ὅπως τοῦ λοιποῦ μηδεὶς τολμῴη ἰέναι δηλώσων τὰ
ἐν τῇ πόλει γιγνόμενα. τῷ δ' ὄντι ὑβρίζειν δοκούντων 13
τῶν Φλιασίων φρουρὰν φαίνουσιν ἐπ' αὐτοὺς οἱ ἔφο-

Δημόσια Κεντρική Βιβλιοθήκη

ροι. ἦν δὲ οὐδὲ τῷ Ἀγησιλάῳ ἀχθομένῳ ταῦτα· καὶ γὰρ
τῷ μὲν πατρὶ αὐτοῦ Ἀρχιδάμῳ ξένοι ἦσαν οἱ περὶ Πο-
δάνεμον, καὶ τότε τῶν κατεληλυθότων ἦσαν· αὐτῷ
14 δὲ οἱ ἀμφὶ Προκλέα τὸν Ἱππονίκου. ὡς δὲ τῶν διαβα-
τηρίων γενομένων οὐκ ἔμελλεν, ἀλλ᾽ ἐπορεύετο, πολ-
λαὶ πρεσβεῖαι ἀπήντων καὶ χρήματα ἐδίδοσαν, ὥστε μὴ
ἐμβάλλειν. ὁ δὲ ἀπεκρίνατο ὅτι οὐχ ἵνα ἀδικοίη, στρα-
15 τεύοιτο, ἀλλ᾽ ὅπως τοῖς ἀδικουμένοις βοηθήσειεν. οἱ
δὲ τελευτῶντες πάντα ἔφασκον ποιήσειν, ἐδέοντό τε
μὴ ἐμβάλλειν. ὁ δὲ πάλιν ἔλεγεν ὡς οὐκ ἂν πιστεύσειε
λόγοις, καὶ γὰρ τὸ πρότερον ψεύσασθαι αὐτούς, ἀλλ᾽
ἔργου τινὸς πιστοῦ δεῖν ἔφη. ἐρωτώμενος δὲ καὶ τί
τοῦτ᾽ ἂν εἴη; πάλιν ἀπεκρίνατο, Ὅπερ καὶ πρόσθεν,
ἔφη, ποιήσαντες οὐδὲν ὑφ᾽ ἡμῶν ἠδικήθητε. τοῦτο δὲ
16 ἦν τὴν ἀκρόπολιν παραδοῦναι. οὐκ ἐθελόντων δὲ αὐ-
B.C. 380. τῶν τοῦτο ποιεῖν, ἐνέβαλέ τε εἰς τὴν χώραν καὶ ταχὺ
περιτειχίσας ἐπολιόρκει αὐτούς. πολλῶν δὲ λεγόντων
Λακεδαιμονίων ὡς ὀλίγων ἕνεκεν ἀνθρώπων πόλει
ἀπεχθάνοιντο πλέον πεντακισχιλίων ἀνδρῶν· καὶ γὰρ
δὴ ὅπως τοῦτ᾽ ἔνδηλον εἴη, οἱ Φλιάσιοι ἐν τῷ φανερῷ
τοῖς ἔξω ἠκκλησίαζον· ὁ μέντοι Ἀγησίλαος πρὸς τοῦτο
17 ἀντεμηχανήσατο. ὁπότε γὰρ ἐξίοιεν ἢ διὰ φιλίαν ἢ διὰ
συγγένειαν τῶν φυγάδων, ἐδίδασκε συσσίτιά τε αὐτῶν
κατασκευάζειν καὶ εἰς τὰ ἐπιτήδεια ἱκανὸν διδόναι,
ὁπόσοι γυμνάζεσθαι ἐθέλοιεν· καὶ ὅπλα δὲ ἐκπορίζειν
ἅπασι τούτοις διεκελεύετο, καὶ μὴ ὀκνεῖν εἰς ταῦτα
χρήματα δανείζεσθαι. οἱ δὲ ταῦτα ὑπηρετοῦντες ἀπέ-
δειξαν πλείους χιλίων ἀνδρῶν ἄριστα μὲν τὰ σώματα
ἔχοντας, εὐτάκτους δὲ καὶ εὐοπλοτάτους· ὥστε τελευ-
τῶντες οἱ Λακεδαιμόνιοι ἔλεγον ὡς τοιούτων δέοιντο
συστρατιωτῶν.
18 Καὶ Ἀγησίλαος μὲν δὴ περὶ ταῦτα ἦν. ὁ δὲ Ἀγη-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

σίπολις εὐθὺς ἐκ τῆς Μακεδονίας προσιὼν ἔθετο πρὸς
τῇ πόλει τῶν Ὀλυνθίων τὰ ὅπλα. ἐπεὶ δὲ οὐδεὶς ἀντ-
εξῄει αὐτῷ, τότε τῆς Ὀλυνθίας εἴ τι ὑπόλοιπον ἦν
ἐδῄου καὶ εἰς τὰς συμμαχίδας ἰὼν αὐτῶν ἔφθειρε τὸν
σῖτον· Τορώνην δὲ καὶ προσβαλὼν εἷλε κατὰ κράτος.
ἐν δὲ τούτοις ὄντα κατὰ θέρους ἀκμὴν καῦμα πυρι- 19
φλεγὲς λαμβάνει αὐτόν. ὡς δὲ πρόσθεν ἑορακότα τὸ ἐν
Ἀφύτει τοῦ Διονύσου ἱερὸν ἔρως αὐτὸν τότ' ἔσχε τῶν
τε σκιερῶν σκηνωμάτων καὶ τῶν λαμπρῶν καὶ ψυχρῶν
ὑδάτων. ἐκομίσθη μὲν οὖν ἐκεῖσε ἔτι ζῶν, ὅμως μέν-
τοι ἑβδομαῖος ἀφ' οὗ ἔκαμεν ἔξω τοῦ ἱεροῦ ἐτελεύτησε.
καὶ ἐκεῖνος μὲν ἐν μέλιτι τεθεὶς καὶ κομισθεὶς οἴκαδε
ἔτυχε τῆς βασιλικῆς ταφῆς.

Ἀγησίλαος δὲ τοῦτο ἀκούσας οὐχ ᾗ τις ἂν ᾤετο 20
ἐφήσθη ὡς ἀντιπάλῳ, ἀλλὰ καὶ ἐδάκρυσε καὶ ἐπόθησε
τὴν συνουσίαν. συσκηνοῦσι μὲν γὰρ δὴ βασιλεῖς ἐν τῷ
αὐτῷ, ὅταν οἴκοι ὦσιν· ὁ δὲ Ἀγησίπολις τῷ Ἀγησιλάῳ
ἱκανὸς μὲν ἦν καὶ ἡβητικῶν καὶ θηρευτικῶν καὶ ἱππι-
κῶν καὶ παιδικῶν λόγων μετέχειν· πρὸς δὲ τούτοις
καὶ ὑπῃδεῖτο αὐτὸν ἐν τῇ συσκηνίᾳ, ὥσπερ εἰκὸς
πρεσβύτερον. καὶ οἱ μὲν Λακεδαιμόνιοι ἀντ' ἐκεί-
νου Πολυβιάδην ἁρμοστὴν ἐπὶ τὴν Ὄλυνθον ἐκπέμ-
πουσιν.

Ὁ δ' Ἀγησίλαος ἤδη μὲν ὑπερέβαλε τὸν χρόνον, 21
ὅσον ἐλέγετο ἐν τῷ Φλιοῦντι σῖτος εἶναι· τοσοῦτον γὰρ B.C. 379.
ἐγκράτεια γαστρὸς διαφέρει ὥστε οἱ Φλιάσιοι τὸν ἥμι-
συν ψηφισάμενοι σῖτον τελεῖν ἢ πρόσθεν, καὶ ποιοῦν-
τες τοῦτο, τὸν διπλάσιον τοῦ εἰκότος χρόνον πολιορ-
κούμενοι διήρκεσαν. καὶ τόλμα δὲ ἀτολμίας ἔσθ' ὅτε 22
τοσοῦτον διαφέρει ὥστε Δελφίων τις, λαμπρὸς δοκῶν
εἶναι, λαβὼν πρὸς αὐτὸν τριακοσίους ἄνδρας Φλιασίων
ἱκανὸς μὲν ἦν κωλύειν τους βουλομένους εἰρήνην ποι

εἶσθαι, ἱκανὸς δὲ οἷς ἠπίστει εἵρξας φυλάττειν, ἐδύνατο δὲ εἴς τε τὰς φυλακὰς ἀναγκάζειν τὸ πλῆθος ἰέναι καὶ τούτους ἐφοδεύων πιστοὺς παρέχεσθαι. πολλάκις δὲ μεθ' ὧν εἶχε περὶ αὑτὸν καὶ ἐκθέων ἀπέκρουε φύλα-
23 κας ἄλλοτ' ἄλλῃ τοῦ περιτετειχισμένου κύκλου. ἐπεὶ μέντοι οἱ ἐπίλεκτοι οὗτοι πάντα τρόπον ζητοῦντες οὐχ ηὕρισκον σῖτον ἐν τῇ πόλει, ἐκ τούτου δὴ πέμψαντες πρὸς τὸν Ἀγησίλαον ἐδέοντο σπείσασθαι πρεσβείᾳ εἰς Λακεδαίμονα ἰούσῃ· δεδόχθαι γὰρ σφίσιν ἔφασαν ἐπιτρέπειν τοῖς τέλεσι τῶν Λακεδαιμονίων χρήσασθαι
24 τῇ πόλει ὅ,τι βούλοιντο. ὁ δὲ ὀργισθεὶς ὅτι ἄκυροι αὐτὸν ἐποίουν, πέμψας μὲν πρὸς τοὺς οἴκοι φίλους διεπράξατο ἑαυτῷ ἐπιτραπῆναι τὰ περὶ Φλιοῦντος, ἐσπείσατο δὲ τῇ πρεσβείᾳ. φυλακῇ δ' ἔτι ἰσχυροτέρᾳ ἢ πρότερον ἐφύλαττεν, ἵνα μηδεὶς τῶν ἐκ τῆς πόλεως ἐξίοι. ὅμως μέντοι ὅ γε Δελφίων καὶ στιγματίας τις μετ' αὐτοῦ, ὃς πολλὰ ὑφείλετο ὅπλα τῶν πολιορκούν-
25 των, ἀπέδρασαν νύκτωρ. ἐπεὶ δὲ ἧκον ἐκ τῆς Λακεδαίμονος ἀπαγγέλλοντες ὅτι ἡ πόλις ἐπιτρέπει Ἀγησιλάῳ διαγνῶναι τὰ ἐν Φλιοῦντι ὅπως αὐτῷ δοκοίη, Ἀγησίλαος δὴ οὕτως ἔγνω, πεντήκοντα μὲν ἄνδρας τῶν κατεληλυθότων, πεντήκοντα δὲ τῶν οἴκοθεν πρῶτον μὲν ἀνακρῖναι ὅντινά τε ζῆν ἐν τῇ πόλει καὶ ὅντινα ἀποθανεῖν δίκαιον εἴη· ἔπειτα δὲ νόμους θεῖναι, καθ' οὓς πολιτεύσοιντο· ἕως δ' ἂν ταῦτα διαπράξωνται, φυλακὴν καὶ μισθὸν τοῖς φρουροῖς ἓξ μηνῶν κατέλιπε. ταῦτα δὲ ποιήσας τοὺς μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν οἴκαδε ἀπήγαγε. καὶ τὰ μὲν περὶ Φλιοῦντα οὕτως αὖ ἐπετετέλεστο ἐν ὀκτὼ μησὶ καὶ ἐνιαυτῷ.

26 Καὶ ὁ Πολυβιάδης δὲ παντάπασι κακῶς ἔχοντας λιμῷ τοὺς Ὀλυνθίους διὰ τὸ μήτ' ἐκ τῆς γῆς λαμβά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νειν μήτε κατὰ θάλατταν εἰσάγεσθαι σῖτον αὐτοῖς, ἠνάγκασε πέμψαι εἰς Λακεδαίμονα περὶ εἰρήνης. οἱ δ' ἐλθόντες πρέσβεις αὐτοκράτορες συνθήκας ἐποιήσαντο τὸν αὐτὸν μὲν ἐχθρὸν καὶ φίλον Λακεδαιμονίοις νομίζειν, ἀκολουθεῖν δὲ ὅποι ἂν ἡγῶνται καὶ σύμμαχοι εἶναι. καὶ ὀμόσαντες ταύταις ἐμμενεῖν οὕτως ἀπῆλθον οἴκαδε.

Προκεχωρηκότων δὲ τοῖς Λακεδαιμονίοις ὥστε 27
Θηβαίους μὲν καὶ τοὺς ἄλλους Βοιωτοὺς παντάπασιν ἐπ' ἐκείνοις εἶναι, Κορινθίους δὲ πιστοτάτους γεγενῆσθαι, Ἀργείους δὲ τεταπεινῶσθαι διὰ τὸ μηδὲν ἔτι ὠφελεῖν αὐτοὺς τῶν μηνῶν τὴν ὑποφοράν, Ἀθηναίους δὲ ἠρημῶσθαι, τῶν δ' αὖ συμμάχων κεκολασμένων οἳ δυσμενῶς εἶχον αὐτοῖς, παντάπασιν ἤδη καλῶς καὶ ἀσφαλῶς ἡ ἀρχὴ ἐδόκει αὐτοῖς κατεσκευάσθαι.

Πολλὰ μὲν οὖν ἄν τις ἔχοι καὶ ἄλλα λέγειν καὶ IV.
Ἑλληνικὰ καὶ βαρβαρικά, ὡς θεοὶ οὔτε τῶν ἀσεβούντων οὔτε τῶν ἀνόσια ποιούντων ἀμελοῦσι· νῦν γε μὴν λέξω τὰ προκείμενα. Λακεδαιμόνιοί τε γὰρ οἱ ὀμόσαντες αὐτονόμους ἐάσειν τὰς πόλεις τὴν ἐν Θήβαις ἀκρόπολιν κατασχόντες ὑπ' αὐτῶν μόνων τῶν ἀδικηθέντων ἐκολάσθησαν, πρῶτον οὐδ' ὑφ' ἑνὸς τῶν πώποτε ἀνθρώπων κρατηθέντες, τούς τε τῶν πολιτῶν εἰσαγαγόντας εἰς τὴν ἀκρόπολιν αὐτοὺς καὶ βουληθέντας Λακεδαιμονίοις δουλεύειν τὴν πόλιν, ὥστε αὐτοὶ τυραννεῖν, τὴν τούτων ἀρχὴν ἑπτὰ μόνον τῶν φυγόντων ἤρκεσαν καταλῦσαι. ὡς δὲ τοῦτ' ἐγένετο διηγήσομαι.

Ἦν τις Φιλλίδας, ὃς ἐγραμμάτευε τοῖς περὶ 2
Ἀρχίαν πολεμάρχοις, καὶ τἆλλα ὑπηρέτει, ὡς ἐδόκει, ἄριστα. τούτῳ δ' ἀφιγμένῳ Ἀθήναζε κατὰ πρᾶξίν τινα καὶ πρόσθεν γνώριμος ὢν Μέλων τῶν Ἀθήναζε πε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φευγόντων Θηβαίων συγγίγνεται, καὶ διαπυθόμενος
μὲν τὰ περὶ Ἀρχίαν τε τὸν πολεμαρχοῦντα καὶ τὴν
περὶ Φίλιππον τυραννίδα, γνοὺς δὲ μισοῦντα αὐτὸν ἔτι
μᾶλλον αὐτοῦ τὰ οἴκοι, πιστὰ δοὺς καὶ λαβὼν συνέ-
3 θετο ὡς δεῖ ἕκαστα γίγνεσθαι. ἐκ δὲ τούτου προσλα-
βὼν ὁ Μέλων ἓξ τοὺς ἐπιτηδειοτάτους τῶν φευγόν-
των ξιφίδια ἔχοντας καὶ ἄλλο ὅπλον οὐδέν, ἔρχεται
πρῶτον μὲν εἰς τὴν χώραν νυκτός· ἔπειτα δὲ ἡμερεύ-
σαντες ἔν τινι τόπῳ ἐρήμῳ πρὸς τὰς πύλας ἦλθον, ὡς
δὴ ἐξ ἀγροῦ ἀπιόντες, ἡνίκαπερ οἱ ἀπὸ τῶν ἔργων
ὀψιαίτατοι. ἐπεὶ δ' εἰσῆλθον εἰς τὴν πόλιν, διενυκτέ-
ρευσαν μὲν ἐκείνην τὴν νύκτα παρὰ Χάρωνί τινι, καὶ
4 τὴν ἐπιοῦσαν δὲ ἡμέραν διημέρευσαν. ὁ μὲν οὖν Φιλ-
λίδας τά τε ἄλλα ἐπεμελεῖτο τοῖς πολεμάρχοις, ὡς
Ἀφροδίσια ἄγουσιν ἐπ' ἐξόδῳ τῆς ἀρχῆς, καὶ δὴ καὶ
γυναῖκας πάλαι ὑπισχνούμενος ἄξειν αὐτοῖς τὰς σε-
μνοτάτας καὶ καλλίστας τῶν ἐν Θήβαις, τότ' ἔφη ἄξειν.
οἱ δέ, ἦσαν γὰρ τοιοῦτοι, μάλα ἡδέως προσεδέχοντο
5 νυκτερεύσειν. ἐπεὶ δὲ ἐδείπνησάν τε καὶ συμπροθυμου-
μένου ἐκείνου ταχὺ ἐμεθύσθησαν, πάλαι κελευόντων
ἄγειν τὰς ἑταίρας, ἐξελθὼν ἤγαγε τοὺς περὶ Μέλωνα,
τρεῖς μὲν στείλας ὡς δεσποίνας, τοὺς δ' ἄλλους ὡς θε-
6 ραπαίνας. κἀκείνους μὲν εἰσήγαγεν εἰς τὸ ταμιεῖον
τοῦ πολεμαρχείου, αὐτὸς δ' εἰσελθὼν εἶπε τοῖς περὶ
Ἀρχίαν ὅτι οὐκ ἂν φασιν εἰσελθεῖν αἱ γυναῖκες, εἴ τις
τῶν διακόνων ἔνδον ἔσοιτο. ἔνθεν οἱ μὲν ταχὺ ἐκέ-
λευον πάντας ἐξιέναι, ὁ δὲ Φιλλίδας δοὺς οἶνον εἰς
ἑνὸς τῶν διακόνων ἐξέπεμψεν αὐτούς. ἐκ δὲ τούτου
εἰσήγαγε τὰς ἑταίρας δή, καὶ ἐκάθιζε παρ' ἑκάστῳ.
ἦν δὲ σύνθημα, ἐπεὶ καθίζοιντο, παίειν εὐθὺς ἀνα-
7 καλυψαμένους. οἱ μὲν δὴ οὕτω λέγουσιν αὐτοὺς ἀπο-
θανεῖν, οἱ δὲ καὶ ὡς κωμαστὰς εἰσελθόντας τοὺς ἀμφ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μέλωνα ἀποκτεῖναι τοὺς πολεμάρχους. λαβὼν δὲ ὁ Φιλλίδας τρεῖς αὐτῶν ἐπορεύετο ἐπὶ τὴν τοῦ Λεοντιάδου οἰκίαν· κόψας δὲ τὴν θύραν εἶπεν ὅτι παρὰ τῶν πολεμάρχων ἀπαγγεῖλαί τι βούλοιτο. ὁ δὲ ἐτύγχανε μὲν χωρὶς κατακείμενος ἔτι μετὰ δεῖπνον, καὶ ἡ γυνὴ ἐριουργοῦσα παρεκάθητο. ἐκέλευσε δὲ τὸν Φιλλίδαν πιστὸν νομίζων εἰσιέναι. οἱ δ' ἐπεὶ εἰσῆλθον, τὸν μὲν ἀποκτείναντες, τὴν δὲ γυναῖκα φοβήσαντες κατεσιώπησαν. ἐξιόντες δὲ εἶπον τὴν θύραν κεκλεῖσθαι· εἰ δὲ λήψονται ἀνεῳγμένην, ἠπείλησαν ἀποκτεῖναι ἅπαντας τοὺς ἐν τῇ οἰκίᾳ. ἐπεὶ δὲ ταῦτ' ἐπέπρακτο, 8
λαβὼν δύο ὁ Φιλλίδας τῶν ἀνδρῶν ἦλθε πρὸς τὸ ἀνάκειον, καὶ εἶπε τῷ εἱργμοφύλακι ὅτι ἄνδρα ἄγοι παρὰ τῶν πολεμάρχων ὃν εἷρξαι δέοι. ὡς δὲ ἀνέῳξε, τοῦτον μὲν εὐθὺς ἀπέκτειναν, τοὺς δὲ δεσμώτας ἔλυσαν. καὶ τούτους μὲν ταχὺ τῶν ἐκ τῆς στοᾶς ὅπλων καθελόντες ὥπλισαν, καὶ ἀγαγόντες ἐπὶ τὸ Ἀμφεῖον θέσθαι ἐκέλευον τὰ ὅπλα. ἐκ δὲ τούτου εὐθὺς ἐκήρυττον ἐξιέ- 9
ναι πάντας Θηβαίους, ἱππέας τε καὶ ὁπλίτας, ὡς τῶν τυράννων τεθνεώτων. οἱ δὲ πολῖται, ἕως μὲν νὺξ ἦν, ἀπιστοῦντες ἡσυχίαν εἶχον· ἐπεὶ δ' ἡμέρα τ' ἦν καὶ φανερὸν ἦν τὸ γεγενημένον, ταχὺ δὴ καὶ οἱ ὁπλῖται καὶ οἱ ἱππεῖς σὺν τοῖς ὅπλοις ἐξεβοήθουν. ἔπεμψαν δ' ἱππέας οἱ κατεληλυθότες καὶ ἐπὶ τοὺς πρὸς τοῖς ὁρίοις Ἀθηναίων δύο τῶν στρατηγῶν. οἱ δ' εἰδότες τὸ πρᾶγμα ἐφ' ὃ ἀπεστάλκεσαν * ὁ μέντοι ἐν τῇ ἀκροπόλει ἁρμοστὴς ἐπεὶ ᾔσθετο τὸ νυκτερινὸν κήρυγμα, εὐθὺς ἔπεμψεν εἰς Πλαταιὰς καὶ Θεσπιὰς ἐπὶ βοήθειαν. καὶ τοὺς μὲν Πλαταιέας αἰσθόμενοι προσιόντας οἱ τῶν Θηβαίων ἱππεῖς, ἀπαντήσαντες ἀπέκτειναν αὐτῶν πλέον ἢ εἴκοσιν· ἐπεὶ δὲ εἰσῆλθον ταῦτα πράξαντες καὶ οἱ Ἀθηναῖοι ἀπὸ τῶν ὁρίων ἤδη παρῆσαν, προσέβαλον

11 πρὸς τὴν ἀκρόπολιν. ὡς δὲ ἔγνωσαν οἱ ἐν τῇ ἀκροπό-
λει ὀλίγοι ὄντες, τήν τε προθυμίαν τῶν προσιόντων
ἁπάντων ἑώρων, καὶ τῶν κηρυγμάτων μεγάλων γιγνο-
μένων τοῖς πρώτοις ἀναβᾶσιν, ἐκ τούτων φοβηθέντες
εἶπον ὅτι ἀπίοιεν ἄν, εἰ σφίσιν ἀσφάλειαν μετὰ τῶν
ὅπλων ἀπιοῦσι διδοῖεν. οἱ δὲ ἄσμενοί τε ἔδοσαν ἃ
ᾔτουν, καὶ σπεισάμενοι καὶ ὅρκους ὀμόσαντες ἐπὶ τού-
12 τοις ἐξέπεμπον. ἐξιόντων μέντοι, ὅσους ἐπέγνωσαν
τῶν ἐχθρῶν ὄντας, συλλαμβάνοντες ἀπέκτειναν. ἦσαν
δέ τινες οἳ καὶ ὑπὸ Ἀθηναίων τῶν ἀπὸ τῶν ὁρίων
ἐπιβοηθησάντων ἐξεκλάπησαν καὶ διεσώθησαν. οἱ
μέντοι Θηβαῖοι καὶ τοὺς παῖδας τῶν ἀποθανόντων,
ὅσοις ἦσαν, λαβόντες ἀπέσφαξαν.
13 Ἐπεὶ δὲ ταῦτα ἐπύθοντο οἱ Λακεδαιμόνιοι, τὸν μὲν
a.C. 378. ἁρμοστὴν τὸν ἐγκαταλιπόντα τὴν ἀκρόπολιν καὶ οὐκ
ἀναμείναντα τὴν βοήθειαν ἀπέκτειναν, φρουρὰν δὲ
φαίνουσιν ἐπὶ τοὺς Θηβαίους. καὶ Ἀγησίλαος μὲν λέ-
γων ὅτι ὑπὲρ τετταράκοντα ἀφ᾽ ἥβης εἴη, καὶ ὥσπερ
τοῖς ἄλλοις τοῖς τηλικούτοις οὐκέτι ἀνάγκη εἴη τῆς ἑαυ-
τῶν ἔξω στρατεύεσθαι, οὕτω δὴ καὶ βασιλεῦσι τὸν αὐ-
τὸν νόμον ὄντα ἀπεδείκνυ. κἀκεῖνος μὲν δὴ λέγων
ταῦτα οὐκ ἐστρατεύετο. οὐ μέντοι τούτου γ᾽ ἕνεκεν
κατέμεινεν, ἀλλ᾽ εὖ εἰδὼς ὅτι εἰ στρατηγοίη, λέξοιεν οἱ
πολῖται ὡς Ἀγησίλαος, ὅπως βοηθήσειε τοῖς τυράννοις,
πράγματα τῇ πόλει παρέχοι. εἴα οὖν αὐτοὺς βουλεύε-
14 σθαι ὁποῖόν τι βούλοιντο περὶ τούτων. οἱ δ᾽ ἔφοροι
διδασκόμενοι ὑπὸ τῶν μετὰ τὰς ἐν Θήβαις σφαγὰς ἐκ-
πεπτωκότων, Κλεόμβροτον ἐκπέμπουσι, πρῶτον τότε
ἡγούμενον, μάλα χειμῶνος ὄντος. τὴν μὲν οὖν δι᾽
Ἐλευθερῶν ὁδὸν Χαβρίας ἔχων Ἀθηναίων πελταστὰς
ἐφύλαττεν· ὁ δὲ Κλεόμβροτος ἀνέβαινε κατὰ τὴν εἰς
Πλαταιὰς φέρουσαν. προϊόντες δὲ οἱ πελτασταὶ περι-

Ψηφιακή Συλλογή Βιβλιοθήκη

τυγχάνουσιν ἐπὶ τῷ ἄκρῳ φυλάττουσι τοῖς ἐκ τοῦ ἀνα-
κείου λελυμένοις, ὡς περὶ ἑκατὸν καὶ πεντήκοντα οὖσι.
καὶ τούτους μὲν ἅπαντας, εἰ μή τις ἐξέφυγεν, οἱ πελ-
τασταὶ ἀπέκτειναν· αὐτὸς δὲ κατέβαινε πρὸς τὰς Πλα-
ταιάς, ἔτι φιλίας οὔσας. ἐπεὶ δὲ εἰς Θεσπιὰς ἀφίκετο, 15
ἐκεῖθεν ὁρμηθεὶς εἰς Κυνὸς κεφαλὰς οὔσας Θηβαίων
ἐστρατοπεδεύσατο. μείνας δὲ ἐκεῖ περὶ ἑκκαίδεκα ἡμέ-
ρας ἀπεχώρησε πάλιν εἰς Θεσπιάς. κἀκεῖ μὲν ἁρμο-
στὴν κατέλιπε Σφοδρίαν καὶ ἀπὸ τῶν συμμάχων τὸ
τρίτον μέρος ἑκάστων· παρέδωκε δὲ αὐτῷ καὶ χρήματα
ὅσα ἐτύγχανεν οἴκοθεν ἔχων, καὶ ἐκέλευσε ξενικὸν
προσμισθοῦσθαι. καὶ ὁ μὲν Σφοδρίας ταῦτ' ἔπραττεν. 16
ὁ δὲ Κλεόμβροτος ἀπῆγεν ἐπ' οἴκου τὴν διὰ Κρεύσιος
τοὺς μεθ' αὑτοῦ στρατιώτας καὶ μάλα ἀποροῦντας
πότερά ποτε πόλεμος πρὸς Θηβαίους ἢ εἰρήνη εἴη· ἤγα-
γε μὲν γὰρ εἰς τὴν τῶν Θηβαίων τὸ στράτευμα, ἀπῆλθε
δὲ ὡς ἐδύνατο ἐλάχιστα κακουργήσας. ἀπιόντι γε μὴν 17
ἄνεμος αὐτῷ ἐξαίσιος ἐπεγένετο, ὃν καὶ οἰωνίζοντό τι-
νες σημαίνειν πρὸ τῶν μελλόντων. πολλὰ μὲν γὰρ καὶ
ἄλλα βίαια ἐποίησεν, ἀτὰρ καὶ ὑπερβάλλοντος αὐ-
τοῦ μετὰ τῆς στρατιᾶς ἐκ τῆς Κρεύσιος τὸ καθῆκον ἐπὶ
θάλατταν ὄρος πολλοὺς μὲν ὄνους κατεκρήμνισεν αὐ-
τοῖς σκεύεσι, πάμπολλα δὲ ὅπλα ἀφαρπασθέντα ἐξέ-
πνευσεν εἰς τὴν θάλατταν. τέλος δὲ πολλοὶ οὐ δυνά- 18
μενοι σὺν τοῖς ὅπλοις πορεύεσθαι, ἔνθεν καὶ ἔνθεν
τοῦ ἄκρου κατέλιπον λίθων ἐμπλήσαντες ὑπτίας τὰς
ἀσπίδας. καὶ τότε μὲν τῆς Μεγαρικῆς ἐν Αἰγοσθένοις
ἐδείπνησαν ὡς ἐδύναντο· τῇ δ' ὑστεραίᾳ ἐλθόντες
ἐκομίσαντο τὰ ὅπλα. καὶ ἐκ τούτου οἴκαδε ἤδη ἕκα-
στοι ἀπῆσαν· ἀφῆκε γὰρ αὐτοὺς ὁ Κλεόμβροτος.

Οἱ μὲν οὖν Ἀθηναῖοι ὁρῶντες τὴν τῶν Λακεδαι- 19
μονίων ῥώμην καὶ ὅτι πόλεμος ἐν Κορίνθῳ οὐκέτι ἦν,

ἀλλ' ἤδη παριόντες τὴν Ἀττικὴν οἱ Λακεδαιμόνιοι εἰς
τὰς Θήβας ἐνέβαλλον, οὕτως ἐφοβοῦντο ὥστε καὶ τὼ
δύο στρατηγώ, ὣ συνηπιστάσθην τὴν τοῦ Μέλωνος ἐπὶ
τοὺς περὶ Λεοντιάδην ἐπανάστασιν, κρίναντες τὸν μὲν
ἀπέκτειναν, τὸν δ', ἐπεὶ οὐχ ὑπέμεινεν, ἐφυγάδευσαν.
20 Οἱ δ' αὖ Θηβαῖοι καὶ αὐτοὶ φοβούμενοι, εἰ μηδέ-
νες ἄλλοι ἢ αὐτοὶ πολεμήσοιεν τοῖς Λακεδαιμονίοις, τοι-
όνδε εὑρίσκουσι μηχάνημα. πείθουσι τὸν ἐν ταῖς Θε-
σπιαῖς ἁρμοστὴν Σφοδρίαν, χρήματα δόντες, ὡς ὑπω-
πτεύετο, ἐμβαλεῖν εἰς τὴν Ἀττικήν, ἵν' ἐκπολεμώσειε
τοὺς Ἀθηναίους πρὸς τοὺς Λακεδαιμονίους. κἀκεῖνος
πειθόμενος αὐτοῖς, προσποιησάμενος τὸν Πειραιᾶ κα-
ταλήψεσθαι, ὅτι δὴ ἀπύλωτος ἦν, ἦγεν ἐκ τῶν Θε-
σπιῶν πρῴ δειπνήσαντας τοὺς στρατιώτας, φάσκων
21 πρὸ ἡμέρας κατανύσειν εἰς τὸν Πειραιᾶ. Θριᾶσι δ' αὐ-
τῷ ἡμέρα ἐπεγένετο, καὶ οὐδὲν ἐντεῦθεν ἐποίησεν ὥστε
λαθεῖν, ἀλλ' ἐπεὶ ἀπετράπετο, βοσκήματα διήρπασε
καὶ οἰκίας ἐπόρθησε. τῶν δ' ἐντυχόντων τινὲς τῆς νυ-
κτὸς φεύγοντες εἰς τὸ ἄστυ ἀπήγγελλον τοῖς Ἀθη-
ναίοις ὅτι στράτευμα πάμπολυ προσίοι. οἱ μὲν δὴ ταχὺ
ὁπλισάμενοι καὶ ἱππεῖς καὶ ὁπλῖται ἐν φυλακῇ τῆς πό-
22 λεως ἦσαν. τῶν δὲ Λακεδαιμονίων καὶ πρέσβεις ἐτύγ-
χανον Ἀθήνησιν ὄντες παρὰ Καλλίᾳ τῷ προξένῳ Ἐτυ-
μοκλῆς τε καὶ Ἀριστόλοχος καὶ Ὤκυλλος· οὓς οἱ Ἀθη-
ναῖοι, ἐπεὶ τὸ πρᾶγμα ἠγγέλθη, συλλαβόντες ἐφύλατ-
τον, ὡς καὶ τούτους συνεπιβουλεύοντας. οἱ δὲ ἐκπε-
πληγμένοι τε ἦσαν τῷ πράγματι καὶ ἀπελογοῦντο ὡς
οὐκ ἄν ποτε οὕτω μῶροι ἦσαν ὡς εἰ ᾔδεσαν καταλαμ-
βανόμενον τὸν Πειραιᾶ, ἐν τῷ ἄστει ἂν ὑποχειρίους
αὑτοὺς παρεῖχον, καὶ ταῦτα παρὰ τῷ προξένῳ, οὗ τά-
23 χιστ' ἂν ηὑρέθησαν. ἔτι δ' ἔλεγον ὡς εὔδηλον καὶ τοῖς
Ἀθηναίοις ἔσοιτο ὅτι οὐδ' ἡ πόλις τῶν Λακεδαιμονίων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα συνήδει. Σφοδρίαν γὰρ εὖ εἰδέναι ἔφασαν ὅτι
ἀπολωλότα πεύσοιντο ὑπὸ τῆς πόλεως. κἀκεῖνοι μὲν
κριθέντες μηδὲν συνειδέναι ἀφείθησαν. οἱ δ' ἔφοροι 24
ἀνεκάλεσάν τε τὸν Σφοδρίαν καὶ ὑπῆγον θανάτου.
ἐκεῖνος μέντοι φοβούμενος οὐχ ὑπήκουσεν· ὅμως δὲ
καίπερ οὐχ ὑπακούων εἰς τὴν κρίσιν ἀπέφυγε. καὶ
πολλοῖς ἔδοξεν αὕτη δὴ ἀδικώτατα ἐν Λακεδαίμονι ἡ
δίκη κριθῆναι. ἐγένετο δὲ τοῦτο τὸ αἴτιον.

Ἦν υἱὸς τῷ Σφοδρίᾳ Κλεώνυμος, ἡλικίαν τε 25
ἔχων τὴν ἄρτι ἐκ παίδων, καὶ ἅμα κάλλιστός τε καὶ
εὐδοκιμώτατος τῶν ἡλίκων. τούτου δὲ ἐρῶν ἐτύγχανεν
Ἀρχίδαμος ὁ Ἀγησιλάου. οἱ μὲν οὖν τοῦ Κλεομβρό-
του φίλοι, ἅτε ἑταῖροι ὄντες τῷ Σφοδρίᾳ, ἀπολυτικῶς
αὐτοῦ εἶχον, τὸν δέ γε Ἀγησίλαον καὶ τοὺς ἐκείνου φί-
λους ἐφοβοῦντο, καὶ τοὺς διὰ μέσου δέ· δεινὰ γὰρ ἐδόκει
πεποιηκέναι. ἐκ τούτου δὲ ὁ μὲν Σφοδρίας εἶπε πρὸς 26
τὸν Κλεώνυμον, Ἔξεστί σοι, ὦ υἱέ, σῶσαι τὸν πατέρα,
δεηθέντι Ἀρχιδάμου εὐμενῆ Ἀγησίλαον ἐμοὶ εἰς τὴν
κρίσιν παρασχεῖν. ὁ δὲ ἀκούσας ἐτόλμησεν ἐλθεῖν πρὸς
τὸν Ἀρχίδαμον, καὶ ἐδεῖτο σωτῆρα αὐτῷ τοῦ πατρὸς
γενέσθαι. ὁ μέντοι Ἀρχίδαμος ἰδὼν μὲν τὸν Κλεώνυ- 27
μον κλάοντα συνεδάκρυε παρεστηκώς· ἀκούσας δὲ δεο-
μένου, ἀπεκρίνατο, Ἀλλ', ὦ Κλεώνυμε, ἴσθι μὲν ὅτι
ἐγὼ τῷ ἐμῷ πατρὶ οὐδ' ἀντιβλέπειν δύναμαι, ἀλλὰ κἄν
τι βούλωμαι διαπράξασθαι ἐν τῇ πόλει, πάντων μᾶλ-
λον ἢ τοῦ πατρὸς δέομαι· ὅμως δ', ἐπεὶ σὺ κελεύεις,
νόμιζε πᾶσάν με προθυμίαν ἕξειν ταῦτά σοι πραχθῆναι.
καὶ τότε μὲν δὴ ἐκ τοῦ φιλιτίου εἰς τὸν οἶκον ἐλθὼν 28
ἀνεπαύετο· τοῦ δ' ὄρθρου ἀναστὰς ἐφύλαττε μὴ λά-
θοι αὐτὸν ὁ πατὴρ ἐξελθών. ἐπεὶ δὲ εἶδεν αὐτὸν ἐξιόν-
τα, πρῶτον μέν, εἴ τις τῶν πολιτῶν παρῆν, παρίει τού-
τους διαλέγεσθαι αὐτῷ, ἔπειτα δ', εἴ τις ξένος, ἔπειτα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ τῶν θεραπόντων τῷ δεομένῳ παρεχώρει. τέλος
δ', ἐπεὶ ἀπὸ τοῦ Εὐρώτα ἀπιὼν ὁ Ἀγησίλαος εἰσῆλθεν
οἴκαδε, ἀπιὼν ᾤχετο οὐδὲ προσελθών. καὶ τῇ ὑστεραίᾳ
29 δὲ ταὐτὰ ταῦτα ἐποίησεν. ὁ δ' Ἀγησίλαος ὑπώπτευε
μὲν ὧν ἕνεκεν ἐφοίτα, οὐδὲν μέντοι ἠρώτα, ἀλλ' εἴα
αὐτόν. ὁ δ' αὖ Ἀρχίδαμος ἐπεθύμει μέν, ὥσπερ εἰκός,
ὁρᾶν τὸν Κλεώνυμον· ὅπως μέντοι ἔλθοι πρὸς αὐτὸν
μὴ διειλεγμένος τῷ πατρὶ περὶ ὧν ἐκεῖνος ἐδεήθη οὐκ
εἶχεν. οἱ δὲ ἀμφὶ τὸν Σφοδρίαν οὐχ ὁρῶντες τὸν Ἀρ-
χίδαμον ἰόντα, πρόσθεν δὲ θαμίζοντα, ἐν παντὶ ἦσαν
30 μὴ λελοιδορημένος ὑπ' Ἀγησιλάου εἴη. τέλος μέντοι
ὁ Ἀρχίδαμος ἐτόλμησε προσελθεῖν καὶ εἰπεῖν, Ὦ πά-
τερ, Κλεώνυμός με κελεύει σου δεηθῆναι σῶσαί οἱ τὸν
πατέρα· καὶ ἐγὼ ταὐτά σου δέομαι, εἰ δυνατόν. ὁ δ'
ἀπεκρίνατο, Ἀλλὰ σοὶ μὲν ἔγωγε συγγνώμην ἔχω· αὐ-
τὸς μέντοι ὅπως ἂν συγγνώμης τύχοιμι παρὰ τῆς πό-
λεως ἄνδρα μὴ καταγιγνώσκων ἀδικεῖν οἷς ἐχρηματί-
31 σατο ἐπὶ κακῷ τῆς πόλεως οὐχ ὁρῶ. ὁ δὲ τότε μὲν πρὸς
ταῦτα οὐδὲν εἶπεν, ἀλλ' ἡττηθεὶς τοῦ δικαίου ἀπῆλ-
θεν. ὕστερον δὲ ἢ αὐτὸς νοήσας ἢ διδαχθεὶς ὑπό του
εἶπεν ἐλθών, Ἀλλ' ὅτι μέν, ὦ πάτερ, εἰ μηδὲν ἠδί-
κει Σφοδρίας, ἀπέλυσας ἂν αὐτὸν οἶδα· νῦν δέ, εἰ
ἠδίκηκέ τι, ἡμῶν ἕνεκεν συγγνώμης ὑπὸ σοῦ τυχέτω.
ὁ δὲ εἶπεν, Οὐκοῦν ἂν μέλλῃ καλὰ ταῦθ' ἡμῖν εἶναι, οὕ-
τως ἔσται. ὁ μὲν δὴ ταῦτ' ἀκούσας μάλα δύσελπις ὢν
32 ἀπῄει. τῶν δὲ τοῦ Σφοδρία φίλων τις διαλεγόμενος
Ἐτυμοκλεῖ εἶπεν, Ὑμεῖς μέν, οἶμαι, ἔφη, οἱ Ἀγησιλάου
φίλοι πάντες ἀποκτενεῖτε τὸν Σφοδρίαν. καὶ ὁ Ἐτυ-
μοκλῆς, Μὰ Δία οὐκ ἄρα ταῦτ', ἔφη, ποιήσομεν Ἀγη-
σιλάῳ, ἐπεὶ ἐκεῖνός γε πρὸς πάντας ὅσοις διείλεκται
ταὐτὰ λέγει, μὴ ἀδικεῖν μὲν Σφοδρίαν ἀδύνατον εἶ-
ναι· ὅστις μέντοι παῖς τε ὢν καὶ παιδίσκος καὶ ἡβῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντα τὰ καλὰ ποιῶν διετέλεσε, χαλεπὸν εἶναι τοιοῦτον ἄνδρα ἀποκτιννύναι· τὴν γὰρ Σπάρτην τοιούτων δεῖσθαι στρατιωτῶν. ὁ οὖν ἀκούσας ταῦτα ἀπήγγειλε 33 τῷ Κλεωνύμῳ. ὁ δ' ἡσθείς, εὐθὺς ἐλθὼν πρὸς τὸν Ἀρχίδαμον εἶπεν, Ὅτι μὲν ἡμῶν ἐπιμέλει ἤδη ἴσμεν· εὖ δ' ἐπίστω, Ἀρχίδαμε, ὅτι καὶ ἡμεῖς πειρασόμεθα ἐπιμελεῖσθαι ὡς μήποτε σὺ ἐπὶ τῇ ἡμετέρᾳ φιλίᾳ αἰσχυνθῇς. καὶ οὐκ ἐψεύσατο, ἀλλὰ καὶ ζῶν ἅπαντ' ἐποίει ὅσα καλὰ ἐν τῇ Σπάρτῃ, καὶ ἐν Λεύκτροις πρὸ τοῦ βασιλέως μαχόμενος σὺν Δείνωνι τῷ πολεμάρχῳ τρὶς πεσὼν πρῶτος τῶν πολιτῶν ἐν μέσοις τοῖς πολεμίοις ἀπέθανε. καὶ ἠνίασε μὲν εἰς τὰ ἔσχατ' Ἀρχίδαμον, ὡς δ' ὑπέσχετο, οὐ κατῄσχυνεν, ἀλλὰ μᾶλλον ἐκόσμησε. τοιούτῳ μὲν δὴ τρόπῳ Σφοδρίας ἀπέφυγε.

Τῶν μέντοι Ἀθηναίων οἱ βοιωτιάζοντες ἐδίδα- 34 σκον τὸν δῆμον ὡς οἱ Λακεδαιμόνιοι οὐχ ὅπως τιμωρήσαιντο, ἀλλὰ καὶ ἐπαινέσειαν τὸν Σφοδρίαν, ὅτι ἐπεβούλευσε ταῖς Ἀθήναις. καὶ ἐκ τούτου οἱ Ἀθηναῖοι ἐπύλωσάν τε τὸν Πειραιᾶ, ναῦς τε ἐναυπηγοῦντο, τοῖς τε Βοιωτοῖς πάσῃ προθυμίᾳ ἐβοήθουν. οἱ δ' αὖ Λακε- 35 δαιμόνιοι φρουράν τε ἔφηναν ἐπὶ τοὺς Θηβαίους, καὶ τὸν Ἀγησίλαον νομίσαντες φρονιμώτερον ἂν σφίσι τοῦ Κλεομβρότου ἡγεῖσθαι, ἐδέοντο αὐτοῦ ἄγειν τὴν στρατιάν. ὁ δὲ εἰπὼν οὐδὲν ἂν ὃ τῇ πόλει δοκοίη ἀντειπεῖν παρεσκευάζετο εἰς τὴν ἔξοδον. γιγνώσκων δ' ὅτι 36 εἰ μή τις προκαταλήψοιτο τὸν Κιθαιρῶνα, οὐ ῥᾴδιον ἔσται εἰς τὰς Θήβας ἐμβαλεῖν, μαθὼν πολεμοῦντας τοὺς Κλειτορίους τοῖς Ὀρχομενίοις καὶ ξενικὸν τρέφοντας, ἐκοινολογήσατο αὐτοῖς, ὅπως προσγένοιτο τὸ ξενικὸν αὐτῷ, εἴ τι δεηθείη. ἐπεὶ δὲ τὰ διαβατήρια ἐγέ- 37 νετο, πέμψας, πρὶν ἐν Τεγέᾳ αὐτὸς εἶναι, πρὸς τὸν ἄρχοντα τῶν παρὰ τοῖς Κλειτορίοις ξένων, καὶ μισθὸν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δοὺς μηνός, ἐκέλευε προκαταλαβεῖν αὐτοὺς τὸν Κιθαιρῶνα. τοῖς δ' Ὀρχομενίοις εἶπεν, ἕως στρατεία εἴη, παύσασθαι τοῦ πολέμου· εἰ δέ τις πόλις στρατιᾶς οὔσης ἔξω ἐπὶ πόλιν στρατεύσοι, ἐπὶ ταύτην
38 ἔφη πρῶτον ἰέναι κατὰ τὸ δόγμα τῶν συμμάχων. ἐπεὶ δὲ ὑπερέβαλε τὸν Κιθαιρῶνα, ἐλθὼν εἰς Θεσπιὰς ἐκεῖθεν ὁρμηθεὶς ᾔει ἐπὶ τὴν τῶν Θηβαίων χώραν. εὑρὼν δὲ ἀποτεταφρευμένον τε καὶ ἀπεσταυρωμένον κύκλῳ τὸ πεδίον καὶ τὰ πλείστου ἄξια τῆς χώρας, στρατοπεδευόμενος ἄλλοτ' ἄλλῃ καὶ μετ' ἄριστον ἐξάγων ἐδῄου τῆς χώρας τὰ πρὸς ἑαυτοῦ τῶν σταυρωμάτων καὶ τῆς τάφρου. οἱ γὰρ πολέμιοι, ὅπου ἐπιφαίνοιτο ὁ Ἀγησίλαος, ἀντιπαρῇσαν αὐτῷ ἐντὸς τοῦ χαρακώματος ὡς
39 ἀμυνούμενοι. καί ποτε ἀποχωροῦντος αὐτοῦ ἤδη τὴν ἐπὶ τὸ στρατόπεδον, οἱ τῶν Θηβαίων ἱππεῖς τέως ἀφανεῖς ὄντες ἐξαίφνης διὰ τῶν ὡδοποιημένων τοῦ χαρακώματος ἐξόδων ἐξελαύνουσι, καὶ οἷα δὴ ἀπιόντων πρὸς δεῖπνον καὶ συσκευαζομένων τῶν πελταστῶν, τῶν δ' ἱππέων τῶν μὲν ἔτι καταβεβηκότων, τῶν δ' ἀναβαινόντων, ἐπελαύνουσι· καὶ τῶν πελταστῶν συχνοὺς κατέβαλον καὶ τῶν ἱππέων Κλέαν καὶ Ἐπικυδίδαν Σπαρτιάτας, καὶ τῶν περιοίκων ἕνα, Εὔδικον, καὶ τῶν Θηβαίων τινὰς φυγάδας, οὔπω ἀναβεβηκότας ἐπὶ
40 τοὺς ἵππους. ὡς δὲ ἀναστρέψας σὺν τοῖς ὁπλίταις ἐβοήθησεν ὁ Ἀγησίλαος, οἵ τε ἱππεῖς ἤλαυνον ἐναντίον τοῖς ἱππεῦσι καὶ τὰ δέκα ἀφ' ἥβης ἐκ τῶν ὁπλιτῶν ἔθει σὺν αὐτοῖς. οἱ μέντοι τῶν Θηβαίων ἱππεῖς ἐῴκεσαν ὑποπεπωκόσι που ἐν μεσημβρίᾳ· ὑπέμενον μὲν γὰρ τοῖς ἐπελαύνουσιν ὥστ' ἐξακοντίζειν τὰ δόρατα, ἐξικνοῦντο δ' οὔ. ἀναστρέφοντες δὲ ἐκ τοσούτου ἀπέθανον αὐ-
41 τῶν δώδεκα. ὡς δὲ κατέγνω ὁ Ἀγησίλαος ὅτι ἀεὶ μετ' ἄριστον καὶ οἱ πολέμιοι ἐφαίνοντο, θυσάμενος ἅμα τῇ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμέρᾳ ἦγεν ὡς οἷόν τε τάχιστα, καὶ παρῆλθε δι' ἐρημίας εἴσω τῶν χαρακωμάτων. ἐκ δὲ τούτου τὰ ἐντὸς ἔτεμνε καὶ ἔκαε μέχρι τοῦ ἄστεως. ταῦτα δὲ ποιήσας καὶ πάλιν ἀποχωρήσας εἰς Θεσπιάς, ἐτείχισε τὸ ἄστυ αὐτοῖς· καὶ ἐκεῖ μὲν Φοιβίδαν κατέλιπεν ἁρμοστήν, αὐτὸς δ' ὑπερβαλὼν πάλιν εἰς τὰ Μέγαρα τοὺς μὲν συμμάχους διῆκε, τὸ δὲ πολιτικὸν στράτευμα ἐπ' οἴκου ἀπήγαγεν.

Ἐκ δὲ τούτου ὁ Φοιβίδας ἐκπέμπων μὲν ληστήρια 42
ἔφερε καὶ ἦγε τοὺς Θηβαίους, καταδρομὰς δὲ ποιούμενος ἐκακούργει τὴν χώραν. οἱ δ' αὖ Θηβαῖοι ἀντιτιμωρεῖσθαι βουλόμενοι στρατεύουσι πανδημεὶ ἐπὶ τὴν τῶν Θεσπιέων χώραν. ἐπεὶ δ' ἦσαν ἐν τῇ χώρᾳ, ὁ Φοιβίδας σὺν τοῖς πελτασταῖς προσκείμενος οὐδαμοῖ εἴα αὐτοὺς ἀποσκεδάννυσθαι τῆς φάλαγγος· ὥστε οἱ Θηβαῖοι μάλα ἀχθόμενοι τῇ ἐμβολῇ θᾶττονα τὴν ἀποχώρησιν ἐποιοῦντο, καὶ οἱ ὀρεωκόμοι δὲ ἀπορριπτοῦντες ὃν εἰλήφεσαν καρπὸν ἀπήλαυνον οἴκαδε· οὕτω δεινὸς φόβος τῷ στρατεύματι ἐνέπεσεν. ὁ δ' ἐν τούτῳ 43
θρασέως ἐπέκειτο, περὶ ἑαυτὸν μὲν ἔχων τὸ πελταστικόν, τὸ δ' ὁπλιτικὸν ἐν τάξει ἕπεσθαι κελεύσας. καὶ ἐν ἐλπίδι ἐγένετο τροπὴν τῶν ἀνδρῶν ποιήσασθαι· αὐτός τε γὰρ ἐρρωμένως ἡγεῖτο, καὶ τοῖς ἄλλοις ἅπτεσθαι τῶν ἀνδρῶν παρεκελεύετο, καὶ τοὺς τῶν Θεσπιέων ὁπλίτας ἀκολουθεῖν ἐκέλευεν. ὡς δὲ ἀποχω- 44
ροῦντες οἱ τῶν Θηβαίων ἱππεῖς ἐπὶ νάπῃ ἀδιαβάτῳ ἐγίγνοντο, πρῶτον μὲν ἠθροίσθησαν, ἔπειτα δὲ ἀνέστρεφον διὰ τὸ ἀπορεῖν ὅπῃ διαβαῖεν. οἱ μὲν οὖν πελτασταὶ ὀλίγοι ὄντες οἱ πρῶτοι φοβηθέντες αὐτοὺς ἔφυγον· οἱ δὲ ἱππεῖς αὖ τοῦτο ὡς εἶδον, ἐδιδάχθησαν ὑπὸ τῶν φευγόντων ἐπιθέσθαι αὐτοῖς. καὶ ὁ μὲν δὴ Φοιβί- 45
δας καὶ δύο ἢ τρεῖς μετ' αὐτοῦ μαχόμενοι ἀπέθανον,

Ψηφιακή Κεντρική Βιβλιοθήκη Αθηνών

οἱ δὲ μισθοφόροι τούτου γενομένου πάντες ἔφυγον.
ἐπεὶ δὲ φεύγοντες ἀφίκοντο πρὸς τοὺς ὁπλίτας τῶν
Θεσπιέων, κἀκεῖνοι, μάλα πρόσθεν μέγα φρονοῦντες
μὴ ὑπείξειν τοῖς Θηβαίοις, ἔφυγον, οὐδέν τι πάνυ
διωκόμενοι· καὶ γὰρ ἦν ἤδη ὀψέ. καὶ ἀπέθνῃσκον
μὲν οὐ πολλοί, ὅμως δὲ οὐ πρόσθεν ἔστησαν οἱ Θε-
46 σπιεῖς, πρὶν ἐν τῷ τείχει ἐγένοντο. ἐκ δὲ τούτου πάλιν
αὖ τὰ τῶν Θηβαίων ἀνεξωπυρεῖτο, καὶ ἐστρατεύοντο
εἰς Θεσπιὰς καὶ εἰς τὰς ἄλλας τὰς περιοικίδας πόλεις. ὁ
μέντοι δῆμος ἐξ αὐτῶν εἰς τὰς Θήβας ἀπεχώρει· ἐν
πάσαις γὰρ ταῖς πόλεσι δυναστεῖαι καθειστήκεσαν,
ὥσπερ ἐν Θήβαις· ὥστε καὶ οἱ ἐν ταύταις ταῖς πόλεσι
φίλοι τῶν Λακεδαιμονίων βοηθείας ἐδέοντο. μετὰ δὲ
τὸν Φοιβίδα θάνατον πολέμαρχον μὲν καὶ μόραν οἱ Λα-
κεδαιμόνιοι κατὰ θάλατταν πέμψαντες τὰς Θεσπιὰς
ἐφύλαττον.

47 Ἐπεὶ δὲ τὸ ἔαρ ἐπέστη, πάλιν ἔφαινον φρουρὰν
B.C. 377. οἱ ἔφοροι εἰς τὰς Θήβας, καὶ τοῦ Ἀγησιλάου, ἧπερ τὸ
πρόσθεν, ἐδέοντο ἡγεῖσθαι. ὁ δ' ὑπὲρ τῆς ἐμβολῆς
ταὐτὰ γιγνώσκων, πρὶν καὶ τὰ διαβατήρια θύεσθαι,
πέμψας πρὸς τὸν ἐν Θεσπιαῖς πολέμαρχον ἐκέλευε προ-
καταλαβεῖν τὸ ὑπὲρ τῆς κατὰ τὸν Κιθαιρῶνα ὁδοῦ ἄκρον
48 καὶ φυλάττειν, ἕως ἂν αὐτὸς ἔλθῃ. ἐπεὶ δὲ τοῦτο ὑπερ-
βαλὼν ἐν ταῖς Πλαταιαῖς ἐγένετο, πάλιν προσεποιήσατο
εἰς τὰς Θεσπιὰς πρῶτον ἰέναι, καὶ πέμπων ἀγοράν τε
ἐκέλευε παρασκευάζειν καὶ τὰς πρεσβείας ἐκεῖ περιμέ-
νειν· ὥστε οἱ Θηβαῖοι ἰσχυρῶς τὴν πρὸς Θεσπιῶν ἐμ-
49 βολὴν ἐφύλαττον. ὁ δὲ Ἀγησίλαος τῇ ὑστεραίᾳ ἅμα τῇ
ἡμέρᾳ θυσάμενος ἐπορεύετο τὴν ἐπ' Ἐρυθράς· καὶ [ὡς
στρατεύματι] δυοῖν ἡμέραιν ὁδὸν ἐν μιᾷ κατανύσας
ἔφθασεν ὑπερβὰς τὸ κατὰ Σκῶλον σταύρωμα, πρὶν ἐλ-
θεῖν τοὺς Θηβαίους ἀπὸ τῆς φυλακῆς, καθ' ἣν τὸ πρό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθεν εἰσῆλθε. τοῦτο δὲ ποιήσας τὰ πρὸς ἕω τῆς τῶν
Θηβαίων πόλεως ἐδῄου μέχρι τῆς Ταναγραίων· ἔτι
γὰρ τότε καὶ τὴν Τάναγραν οἱ περὶ Ὑπατόδωρον, φίλοι
ὄντες τῶν Λακεδαιμονίων, εἶχον· καὶ ἐκ τούτου δὴ
ἀπῄει ἐν ἀριστερᾷ ἔχων τὸ τεῖχος. οἱ δὲ Θηβαῖοι ὑπελ- 50
θόντες ἀντετάξαντο ἐπὶ Γραὸς στήθει, ὄπισθεν ἔχον-
τες τήν τε τάφρον καὶ τὸ σταύρωμα, νομίζοντες καλὸν
εἶναι ἐνταῦθα διακινδυνεύειν· καὶ γὰρ στενὸν ἦν ταύ-
τῃ ἐπιεικῶς καὶ δύσβατον τὸ χωρίον. ὁ δ' Ἀγησίλαος
ἰδὼν ταῦτα πρὸς ἐκείνους μὲν οὐκ ἦγεν, ἐπισιμώσας
δὲ πρὸς τὴν πόλιν ᾔει. οἱ δ' αὖ Θηβαῖοι δείσαντες περὶ 51
τῆς πόλεως, ὅτι ἐρήμη ἦν, ἀπολιπόντες ἔνθα παρατετα-
γμένοι ἦσαν δρόμῳ ἔθεον εἰς τὴν πόλιν τὴν ἐπὶ Πο-
τνιὰς ὁδόν· ἦν γὰρ αὕτη ἀσφαλεστέρα. καὶ μέντοι ἐδό-
κει καλὸν γενέσθαι τὸ ἐνθύμημα τοῦ Ἀγησιλάου, ὅτι
πόρρω ἀπαγαγὼν ἀπὸ τῶν πολεμίων ἀποχωρεῖν δρόμῳ
αὐτοὺς ἐποίησεν· ὅμως μέντοι ἐπὶ παραθέοντας αὐ-
τοὺς τῶν πολεμάρχων τινὲς ἐπέδραμον σὺν ταῖς μόραις.
οἱ μέντοι Θηβαῖοι ἀπὸ τῶν λόφων τὰ δόρατα ἐξηκόντι- 52
ζον, ὥστε καὶ ἀπέθανεν Ἀλύπητος, εἷς τῶν πολεμάρ-
χων, ἀκοντισθεὶς δόρατι· ὅμως δὲ καὶ ἀπὸ τούτου τοῦ
λόφου ἐτράπησαν οἱ Θηβαῖοι· ὥστε ἀναβάντες οἱ Σκι-
ρῖται καὶ τῶν ἱππέων τινὲς ἔπαιον τοὺς τελευταίους
τῶν Θηβαίων παρελαύνοντας εἰς τὴν πόλιν. ὡς μέν- 53
τοι ἐγγὺς τοῦ τείχους ἐγένοντο, ὑποστρέφουσιν οἱ Θη-
βαῖοι· οἱ δὲ Σκιρῖται ἰδόντες αὐτοὺς θᾶττον ἢ βάδην
ἀπῆλθον. καὶ ἀπέθανε μὲν οὐδεὶς αὐτῶν· ὅμως δὲ οἱ
Θηβαῖοι τρόπαιον ἐστήσαντο, ὅτι ἀπεχώρησαν οἱ ἀνα-
βάντες. ὁ μέντοι Ἀγησίλαος, ἐπεὶ ὥρα ἦν, ἀπελθὼν 54
ἐστρατοπεδεύσατο ἔνθαπερ τοὺς πολεμίους εἶδε παρα-
τεταγμένους· τῇ δ' ὑστεραίᾳ ἀπήγαγε τὴν ἐπὶ Θε-
σπιάς. θρασέως δὲ παρακολουθούντων τῶν πελτα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

στῶν, οἳ ἦσαν μισθοφόροι τοῖς Θηβαίοις, καὶ τ
βρίαν ἀνακαλούντων, ὅτι οὐκ ἠκολούθει, ὑπ
φέντες οἱ τῶν Ὀλυνθίων ἱππεῖς, ἤδη γὰρ κατ
ὅρκους συνεστρατεύοντο, ἐδίωξάν τε αὐτοὺ
ὄρθιον, καθάπερ ἠκολούθουν, καὶ ἀπέκτειναν
μάλα πολλούς· ταχὺ γὰρ πρὸς ἄναντες εὐήλατο
55 σκονται πεζοὶ ὑφ᾽ ἱππέων. ἐπεὶ δ᾽ ἐγένετο ὁ ᾽
λαος ἐν ταῖς Θεσπιαῖς, εὑρὼν στασιάζοντας το
λίτας, καὶ βουλομένων τῶν φασκόντων λακ
ἀποκτεῖναι τοὺς ἐναντίους, ὧν καὶ Μένων ἦν,
μὲν οὖν οὐκ ἐπέτρεψε· διαλλάξας δὲ αὐτοὺς καὶ
ὀμόσαι ἀλλήλοις ἀναγκάσας, οὕτως ἀπῆλθε
διὰ τοῦ Κιθαιρῶνος τὴν ἐπὶ Μέγαρα. καὶ ἐκεῖθ
μὲν συμμάχους ἀφῆκε, τὸ δὲ πολιτικὸν στρ
οἴκαδε ἀπήγαγε.

56 Μάλα δὲ πιεζόμενοι οἱ Θηβαῖοι σπάνει σί
τὸ δυοῖν ἐτοῖν μὴ εἰληφέναι καρπὸν ἐκ τῆς γῆς
πουσιν ἐπὶ δυοῖν τριήροιν ἄνδρας εἰς Παγασὰς
τον δέκα τάλαντα δόντες. Ἀλκέτας δὲ ὁ Λακε
νιος φυλάττων Ὠρεόν, ἐν ᾧ ἐκεῖνοι τὸν σῖτον
νοῦντο, ἐπληρώσατο τρεῖς τριήρεις, ἐπιμεληθεὶ
μὴ ἐξαγγελθείη. ἐπεὶ δὲ ἀπήγετο ὁ σῖτος, λαμβάν
κέτας τόν τε σῖτον καὶ τὰς τριήρεις, καὶ τοὺς
ἐξώγρησεν οὐκ ἐλάττους ὄντας ἢ τριακοσίους. τ
57 δὲ εἷρξεν ἐν τῇ ἀκροπόλει, οὗπερ αὐτὸς ἐσκήνου
λουθοῦντος δέ τινος τῶν Ὠρειτῶν παιδός, ὡς ἔ
μάλα καλοῦ τε κἀγαθοῦ, καταβαίνων ἐκ τῆς ἀ
λεως περὶ τοῦτον ἦν. καταγνόντες δὲ οἱ αἰχμάλω
ἀμέλειαν, καταλαμβάνουσι τὴν ἀκρόπολιν, κα
λις ἀφίσταται· ὥστ᾽ εὐπόρως ἤδη οἱ Θηβαῖοι
παρεκομίζοντο.

58 Ὑποφαίνοντος δὲ πάλιν τοῦ ἦρος ὁ μὲν Ἀγη

κλινοπετὴς ἦν. ὅτε γὰρ ἀπῆγε τὸ στράτευμα ἐκ τῶν B.C. 378.
Θηβῶν, ἐν τοῖς Μεγάροις ἀναβαίνοντος αὐτοῦ ἐκ τοῦ
Ἀφροδισίου εἰς τὸ ἀρχεῖον ῥήγνυται ὁποία δὴ φλέψ,
καὶ ἐρρύη τὸ ἐκ τοῦ σώματος αἷμα εἰς τὸ ὑγιὲς σκέλος.
γενομένης δὲ τῆς κνήμης ὑπερόγκου καὶ ὀδυνῶν ἀφο-
ρήτων, Συρακόσιός τις ἰατρὸς σχάζει τὴν παρὰ τῷ σφυ-
ρῷ φλέβα αὐτοῦ. ὡς δὲ ἅπαξ ἤρξατο, ἔρρει αὐτῷ νύ-
κτα τε καὶ ἡμέραν τὸ αἷμα, καὶ πάντα ποιοῦντες οὐκ
ἐδύναντο σχεῖν τὸ ῥεῦμα πρὶν ἐλιποψύχησε· τότε μέν-
τοι ἐπαύσατο. καὶ οὕτως ἐκεῖνος μὲν ἀποκομισθεὶς εἰς
Λακεδαίμονα ἠρρώστει τό τε λοιπὸν θέρος καὶ διὰ χει-
μῶνος.

Οἱ δὲ Λακεδαιμόνιοι, ἐπεὶ ἔαρ ὑπέφαινε, πάλιν 59
φρουράν τε ἔφαινον καὶ Κλεόμβροτον ἡγεῖσθαι ἐκέ-
λευον. ἐπεὶ δ' ἔχων τὸ στράτευμα πρὸς τῷ Κιθαιρῶνι
ἐγένετο, προῆσαν αὐτῷ οἱ πελτασταὶ ὡς προκαταλη-
ψόμενοι τὰ ὑπὲρ τῆς ὁδοῦ. Θηβαίων δὲ καὶ Ἀθηναίων
προκατέχοντές τινες τὸ ἄκρον τέως μὲν εἴων αὐτοὺς
ἀναβαίνειν· ἐπεὶ δ' ἐπ' αὐτοῖς ἦσαν, ἐξαναστάντες
ἐδίωκον καὶ ἀπέκτειναν περὶ τετταράκοντα. τούτου
δὲ γενομένου ὁ Κλεόμβροτος ἀδύνατον νομίσας τὸ
ὑπερβῆναι εἰς τὴν τῶν Θηβαίων, ἀπήγαγέ τε καὶ διῆκε
τὸ στράτευμα.

Συλλεγέντων δὲ τῶν συμμάχων εἰς Λακεδαίμονα, 60
λόγοι ἐγίγνοντο ἀπὸ τῶν συμμάχων ὅτι διὰ μαλακίαν
κατατριβήσοιντο ὑπὸ τοῦ πολέμου. ἐξεῖναι γὰρ σφίσι
ναῦς πληρώσαντας πολὺ πλείονας τῶν Ἀθηναίων ἑλεῖν
λιμῷ τὴν πόλιν αὐτῶν· ἐξεῖναι δ' ἐν ταῖς αὐταῖς ταύταις
ναυσὶ καὶ εἰς Θήβας στράτευμα διαβιβάζειν, εἰ μὲν
βούλοιντο, ἐπὶ Φωκέων, εἰ δὲ βούλοιντο, ἐπὶ Κρεύσιος.
ταῦτα δὲ λογισάμενοι ἑξήκοντα μὲν τριήρεις ἐπλήρω- 61
σαν, Πόλλις δ' αὐτῶν ναύαρχος ἐγένετο. καὶ μέντοι

οὐκ ἐψεύσθησαν οἱ ταῦτα γνόντες, ἀλλ' οἱ Ἀθηναῖοι
ἐπολιορκοῦντο· τὰ γὰρ σιταγωγὰ αὐτοῖς πλοῖα ἐπὶ μὲν
τὸν Γεραστὸν ἀφίκετο, ἐκεῖθεν δ' οὐκέτι ἤθελε παρα-
πλεῖν, τοῦ ναυτικοῦ ὄντος τοῦ Λακεδαιμονίων περί τε
Αἴγιναν καὶ Κέω καὶ Ἄνδρον. γνόντες δ' οἱ Ἀθηναῖοι
τὴν ἀνάγκην, ἐνέβησαν αὐτοὶ εἰς τὰς ναῦς, καὶ ναυ-
μαχήσαντες πρὸς τὸν Πόλλιν Χαβρίου ἡγουμένου νι-
κῶσι τῇ ναυμαχίᾳ. καὶ ὁ μὲν σῖτος τοῖς Ἀθηναίοις οὕτω
62 παρεκομίσθη. παρασκευαζομένων δὲ τῶν Λακεδαιμο-
B.C. 375. νίων στράτευμα διαβιβάζειν ἐπὶ τοὺς Βοιωτούς, ἐδεή-
θησαν οἱ Θηβαῖοι τῶν Ἀθηναίων περὶ Πελοπόννησον
στράτευμα πέμψαι, νομίσαντες ὅτι εἰ τοῦτο γένοιτο,
οὐ δυνατὸν ἔσοιτο τοῖς Λακεδαιμονίοις ἅμα μὲν τὴν
ἑαυτῶν χώραν φυλάττειν, ἅμα δὲ τὰς περὶ ἐκεῖνα τὰ
χωρία συμμαχίδας πόλεις, ἅμα δὲ στράτευμα διαβι-
63 βάζειν ἱκανὸν πρὸς ἑαυτούς. καὶ οἱ Ἀθηναῖοι μέντοι
ὀργιζόμενοι τοῖς Λακεδαιμονίοις διὰ τὸ Σφοδρία ἔρ-
γον, προθύμως ἐξέπεμψαν περὶ τὴν Πελοπόννησον
ναῦς τε ἑξήκοντα πληρώσαντες καὶ στρατηγὸν αὐτῶν
Τιμόθεον ἑλόμενοι. ἅτε δὲ εἰς τὰς Θήβας οὐκ ἐμβεβλη-
κότων τῶν πολεμίων οὔτ' ἐν ᾧ Κλεόμβροτος ἦγε τὴν
στρατιὰν ἔτει οὔτ' ἐν ᾧ Τιμόθεος περιέπλευσε, θρα-
σέως δὴ ἐστρατεύοντο οἱ Θηβαῖοι ἐπὶ τὰς περιοικίδας
64 πόλεις καὶ πάλιν αὐτὰς ἀνελάμβανον. ὁ μέντοι Τιμό-
θεος περιπλεύσας Κέρκυραν μὲν εὐθὺς ὑφ' ἑαυτῷ
ἐποιήσατο· οὐ μέντοι ἠνδραποδίσατο οὐδὲ ἄνδρας
ἐφυγάδευσεν οὐδὲ νόμους μετέστησεν· ἐξ ὧν τὰς περὶ
65 ἐκεῖνα πόλεις πάσας εὐμενεστέρας ἔσχεν. ἀντεπλή-
ρωσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ναυτικόν, καὶ Νικόλοχον
ναύαρχον, μάλα θρασὺν ἄνδρα, ἐξέπεμψαν· ὃς ἐπειδὴ
εἶδε τὰς μετὰ Τιμοθέου ναῦς, οὐκ ἐμέλλησε, καίπερ
ἓξ νεῶν αὐτῷ ἀπουσῶν τῶν Ἀμβρακιωτίδων, ἀλλὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πέντε καὶ πεντήκοντα ἔχων ναῦς ἑξήκοντα οὔσαις ταῖς μετὰ Τιμοθέου ἐναυμάχησε. καὶ τότε μὲν ἡττήθη, καὶ τρόπαιον ὁ Τιμόθεος ἔστησεν ἐν Ἀλυζίᾳ. ὁ δὲ ἀνειλ- 66
κυσμένων τῶν Τιμοθέου νεῶν καὶ ἐπισκευαζομένων, ἐπεὶ παρεγένοντο αὐτῷ αἱ Ἀμβρακιώτιδες ἓξ τριήρεις, ἐπὶ τὴν Ἀλυζίαν ἔπλευσεν, ἔνθα ἦν ὁ Τιμόθεος. ὡς δ' οὐκ ἀντανῆγε, τρόπαιον αὖ κἀκεῖνος ἐστήσατο ἐν ταῖς ἐγγυτάτω νήσοις. ὁ δὲ Τιμόθεος ἐπεὶ ἅς τε εἶχεν ἐπεσκεύασε καὶ ἐκ Κερκύρας ἄλλας προσεπληρώσατο, γενομένων αὐτῷ τῶν πασῶν πλέον ἑβδομήκοντα, πολὺ δὴ ὑπερεῖχε ναυτικῷ· χρήματα μέντοι μετεπέμπετο Ἀθήνηθεν· πολλῶν γὰρ ἐδεῖτο, ἅτε πολλὰς ναῦς ἔχων.

---

## [ϛ.]

Οἱ μὲν οὖν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι περὶ ταῦτα 1.
ἦσαν. οἱ δὲ Θηβαῖοι ἐπεὶ κατεστρέψαντο τὰς ἐν τῇ Βοιωτίᾳ πόλεις, ἐστράτευον καὶ εἰς τὴν Φωκίδα. ὡς δ' αὖ καὶ οἱ Φωκεῖς ἐπρέσβευον εἰς τὴν Λακεδαίμονα καὶ ἔλεγον ὅτι εἰ μὴ βοηθήσοιεν, οὐ δυνήσοιντο μὴ πείθεσθαι τοῖς Θηβαίοις, ἐκ τούτου οἱ Λακεδαιμόνιοι διαβιβάζουσι κατὰ θάλατταν εἰς Φωκέας Κλεόμβροτόν τε τὸν βασιλέα καὶ μετ' αὐτοῦ τέτταρας μόρας καὶ τῶν συμμάχων τὸ μέρος.

Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον καὶ ἐκ Θεττα- 2
λίας ἀφικνεῖται πρὸς τὸ κοινὸν τῶν Λακεδαιμονίων Πολυδάμας Φαρσάλιος. οὗτος δὲ καὶ ἐν τῇ ἄλλῃ Θετταλίᾳ μάλα εὐδοκίμει, καὶ ἐν αὐτῇ δὲ τῇ πόλει οὕτως ἐδόκει καλός τε κἀγαθὸς εἶναι ὥστε καὶ στασιάσαντες

Δημόσια Ιστορική Βιβλιοθήκη Βέροιας

οἱ Φαρσάλιοι παρακατέθεντο αὐτῷ τὴν ἀκρόπολ
τὰς προσόδους ἐπέτρεψαν λαμβάνοντι, ὅσα ἐγέγ
ἐν τοῖς νόμοις, εἴς τε τὰ ἱερὰ ἀναλίσκειν καὶ εἰς τ
3 λην διοίκησιν. κἀκεῖνος μέντοι ἀπὸ τούτων τῶ
μάτων τήν τε ἄκραν φυλάττων διέσωζεν αὐτο
τἆλλα διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν. καὶ
μὲν ἐνδεήσειε, παρ' ἑαυτοῦ προσετίθει, ὁπότε
ριγένοιτο τῆς προσόδου, ἀπελάμβανεν. ἦν δὲ κ
λως φιλόξενός τε καὶ μεγαλοπρεπὴς τὸν Θεττ
τρόπον. οὗτος οὖν ἐπεὶ ἀφίκετο εἰς τὴν Λακε
να, εἶπε τοιάδε.
4 Ἐγώ, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρόξενος ὑμ
καὶ εὐεργέτης ἐκ πάντων ὧν μεμνήμεθα προγ
ἀξιῶ, ἐάν τέ τι ἀπορῶ, πρὸς ὑμᾶς ἰέναι, ἐάν τε
λεπὸν ὑμῖν ἐν τῇ Θετταλίᾳ συνιστῆται, σημα
ἀκούετε μὲν οὖν εὖ οἶδ' ὅτι καὶ ὑμεῖς Ἰάσονος ὄ
ὁ γὰρ ἀνὴρ καὶ δύναμιν ἔχει μεγάλην καὶ ὀνομ
ἐστιν. οὗτος δὲ σπονδὰς ποιησάμενος συνεγένε
5 καὶ εἶπε τάδε. Ὅτι μέν, ὦ Πολυδάμα, καὶ
σαν τὴν ὑμετέραν πόλιν δυναίμην ἂν παρα
σθαι ἔξεστί σοι ἐκ τῶνδε λογίζεσθαι. ἐγὼ γάρ
ἔχω μὲν Θετταλίας τὰς πλείστας καὶ μεγίστας
συμμάχους· κατεστρεψάμην δ' αὐτὰς ὑμῶν συ
ταῖς τὰ ἐναντία ἐμοὶ στρατευομένων. καὶ μὴν
γε ὅτι ξένους ἔχω [μισθοφόρους] εἰς ἑξακισχιλίου
ὡς ἐγὼ οἶμαι, οὐδεμία πόλις δύναιτ' ἂν ῥᾳδίως
σθαι. ἀριθμὸς μὲν γάρ, ἔφη, καὶ ἄλλοθεν ο
ἐλάττων ἐξέλθοι· ἀλλὰ τὰ μὲν ἐκ τῶν πόλεων στ
ματα τοὺς μὲν προεληλυθότας ἤδη ταῖς ἡλικία
τοὺς δ' οὔπω ἀκμάζοντας· σωμασκοῦσί γε μὴ
ὀλίγοι τινὲς ἐν ἑκάστῃ πόλει· παρ' ἐμοὶ δὲ οὐδ
6 σθοφορεῖ, ὅστις μὴ ἱκανός ἐστιν ἐμοὶ ἴσα πονεῖ

τὸς δ' ἐστί, λέγειν γὰρ χρὴ πρὸς ὑμᾶς τἀληθῆ, καὶ τὸ
σῶμα μάλα εὔρωστος καὶ ἄλλως φιλόπονος. καὶ τοί-
νυν τῶν παρ' αὑτῷ πεῖραν λαμβάνει καθ' ἑκάστην
ἡμέραν· ἡγεῖται γὰρ σὺν τοῖς ὅπλοις καὶ ἐν τοῖς γυ-
μνασίοις καὶ ὅταν ποι στρατεύηται. καὶ οὓς μὲν ἂν μα-
λακοὺς τῶν ξένων αἰσθάνηται, ἐκβάλλει, οὓς δ' ἂν
ὁρᾷ φιλοπόνως καὶ φιλοκινδύνως ἔχοντας πρὸς τοὺς
πολέμους, τιμᾷ τοὺς μὲν διμοιρίαις, τοὺς δὲ τριμοι-
ρίαις, τοὺς δὲ καὶ τετραμοιρίαις, καὶ ἄλλοις δώροις,
καὶ νόσων γε θεραπείαις καὶ περὶ ταφὰς κόσμῳ· ὥστε
πάντες ἴσασιν οἱ παρ' ἐκείνῳ ξένοι ὅτι ἡ πολεμικὴ αὐ-
τοῖς ἀρετὴ ἐντιμότατόν τε βίον καὶ ἀφθονώτατον παρ-
έχεται. ἐπεδείκνυ δέ μοι εἰδότι ὅτι καὶ ὑπήκοοι ἤδη 7
αὐτῷ εἶεν Μαρακοὶ καὶ Δόλοπες καὶ Ἀλκέτας ὁ ἐν τῇ
Ἠπείρῳ ὕπαρχος· ὥστε, ἔφη, τί ἂν ἐγὼ φοβούμενος
οὐ ῥᾳδίως ἂν ὑμᾶς οἰοίμην καταστρέψασθαι; τάχα
οὖν ὑπολάβοι ἄν τις ἐμοῦ ἄπειρος, Τί οὖν μέλλεις καὶ
οὐκ ἤδη στρατεύεις ἐπὶ τοὺς Φαρσαλίους; ὅτι νὴ Δία
τῷ παντὶ κρεῖττόν μοι δοκεῖ εἶναι ἑκόντας ὑμᾶς μᾶλλον
ἢ ἄκοντας προσαγαγέσθαι. βιασθέντες μὲν γὰρ ὑμεῖς
τ' ἂν βουλεύοισθε ὅ,τι δύναισθε κακὸν ἐμοί, ἐγώ τ' ἂν
ὑμᾶς ὡς ἀσθενεστάτους βουλοίμην εἶναι· εἰ δὲ πει-
σθέντες μετ' ἐμοῦ γένοισθε, δῆλον ὅτι αὔξοιμεν ἂν
ὅ,τι δυναίμεθα ἀλλήλους. γιγνώσκω μὲν οὖν, ὦ Πο- 8
λυδάμα, ὅτι ἡ σὴ πατρὶς εἰς σὲ ἀποβλέπει· ἐὰν δέ μοι
φιλικῶς αὐτὴν ἔχειν παρασκευάσῃς, ὑπισχνοῦμαί σοι,
ἔφη, ἐγὼ μέγιστόν σε τῶν ἐν τῇ Ἑλλάδι μετ' ἐμὲ κα-
ταστήσειν. οἵων δὲ πραγμάτων τὰ δεύτερά σοι δίδωμι
ἄκουε, καὶ μηδὲν πίστευέ μοι ὅ,τι ἂν μὴ λογιζομένῳ
σοι ἀληθὲς φαίνηται. οὐκοῦν τοῦτο μὲν εὔδηλον ἡμῖν,
ὅτι Φαρσάλου προσγενομένης καὶ τῶν ἐξ ὑμῶν ἠρτη-
μένων πόλεων εὐπετῶς ἂν ἐγὼ ταγὸς Θετταλῶν ἁπάν-

των κατασταίην· ὥς γε μήν, ὅταν ταγεύηται Θεττα-
λία, εἰς ἑξακισχιλίους μὲν οἱ ἱππεύοντες γίγνονται,
9 ὁπλῖται δὲ πλείους ἢ μύριοι καθίστανται. ὧν ἐγὼ καὶ
τὰ σώματα καὶ τὴν μεγαλοψυχίαν ὁρῶν οἶμαι ἂν αὐ-
τῶν εἰ καλῶς τις ἐπιμέλοιτο, οὐκ εἶναι ἔθνος ὁποίῳ ἂν
ἀξιώσειαν ὑπήκοοι εἶναι Θετταλοί. πλατυτάτης γε μὴν
γῆς οὔσης Θετταλίας, πάντα τὰ κύκλῳ ἔθνη ὑπήκοα
μέν ἐστιν, ὅταν ταγὸς ἐνθάδε καταστῇ· σχεδὸν δὲ
πάντες οἱ ταύτῃ ἀκοντισταί εἰσιν· ὥστε καὶ πελταστι-
10 κῷ εἰκὸς ὑπερέχειν τὴν ἡμετέραν δύναμιν. καὶ μὴν
Βοιωτοί γε καὶ οἱ ἄλλοι πάντες ὅσοι Λακεδαιμονίοις
πολεμοῦντες ὑπάρχουσί μοι σύμμαχοι· καὶ ἀκολου-
θεῖν τοίνυν ἀξιοῦσιν ἐμοί, ἂν μόνον ἀπὸ Λακεδαιμο-
νίων ἐλευθερῶ αὐτούς. καὶ Ἀθηναῖοι δὲ εὖ οἶδ' ὅτι
πάντα ποιήσειαν ἂν ὥστε σύμμαχοι ἡμῖν γενέσθαι·
ἀλλ' ἐγὼ οὐκ ἄν μοι δοκῶ πρὸς αὐτοὺς φιλίαν ποιήσα-
σθαι. νομίζω γὰρ ἔτι ῥᾷον τὴν κατὰ θάλατταν ἢ τὴν
11 κατὰ γῆν ἀρχὴν παραλαβεῖν ἄν. εἰ δὲ εἰκότα λογίζο-
μαι, σκόπει, ἔφη, καὶ ταῦτα. ἔχοντες μέν γε Μακε-
δονίαν, ἔνθεν καὶ Ἀθηναῖοι τὰ ξύλα ἄγονται, πολὺ
δήπου πλείονας ἐκείνων ἱκανοὶ ἐσόμεθα ναῦς ποιήσα-
σθαι. ἀνδρῶν γε μὴν ταύτας πληροῦν πότερον Ἀθη-
ναίους ἢ ἡμᾶς εἰκὸς μᾶλλον δύνασθαι, τοσούτους καὶ
τοιούτους ἔχοντας πενέστας; τούς γε μὴν ναύτας τρέ-
φειν πότερον ἡμᾶς ἱκανωτέρους εἰκὸς εἶναι τοὺς δι'
ἀφθονίαν καὶ ἄλλοσε σῖτον ἐκπέμποντας ἢ Ἀθηναίους
12 τοὺς μηδ' αὐτοῖς ἱκανὸν ἔχοντας, ἂν μὴ πρίωνται; καὶ
χρήμασί γε εἰκὸς δήπου ἡμᾶς ἀφθονωτέροις χρῆσθαι
μὴ εἰς νησύδρια ἀποβλέποντας, ἀλλ' ἠπειρωτικὰ ἔθνη
καρπουμένους. πάντα γὰρ δήπου τὰ κύκλῳ φόρον
φέρει, ὅταν ταγεύηται τὰ κατὰ Θετταλίαν. οἶσθα δὲ
δήπου ὅτι καὶ βασιλεὺς ὁ Περσῶν οὐ νήσους ἀλλ' ἤπει-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρον καρπούμενος πλουσιώτατος ἀνθρώπων ἐστίν· ὃν
ἐγὼ ὑπήκοον ποιήσασθαι ἔτι εὐκατεργαστότερον ἡγοῦ-
μαι εἶναι ἢ τὴν Ἑλλάδα. οἶδα γὰρ πάντας τοὺς ἐκεῖ ἀν-
θρώπους πλὴν ἑνὸς μᾶλλον δουλείαν ἢ ἀλκὴν μεμελε-
τηκότας, οἶδα δὲ ὑφ' οἵας δυνάμεως καὶ τῆς μετὰ Κύ-
ρου ἀναβάσης καὶ τῆς μετ' Ἀγησιλάου εἰς πᾶν ἀφίκετο
βασιλεύς. ἐπεὶ δὲ ταῦτ' εἰπόντος αὐτοῦ ἐγὼ ἀπεκρι- 13
νάμην ὅτι τὰ μὲν ἄλλα ἀξιόσκεπτα λέγει, τὸ δὲ Λακε-
δαιμονίοις ὄντας φίλους ἀποστῆναι πρὸς τοὺς ἐναν-
τίους, μηδὲν ἔχοντας ἐγκαλεῖν, τοῦτ', ἔφην, ἄπορόν
μοι δοκεῖ εἶναι· ὁ δ' ἐπαινέσας με καὶ εἰπὼν ὅτι μᾶλ-
λον ἑκτέον μου εἴη, ὅτι τοιοῦτος εἴην, ἀφῆκέ μοι ἐλ-
θόντι πρὸς ὑμᾶς λέγειν τἀληθῆ, ὅτι διανοοῖτο στρα-
τεύειν ἐπὶ Φαρσαλίους, εἰ μὴ πεισοίμεθα. αἰτεῖν οὖν
ἐκέλευε βοήθειαν παρ' ὑμῶν. καὶ ἐάν μέν σοι, ἔφη,
διδῶσιν ὥστε σε πείθειν ἱκανὴν πέμπειν συμμαχίαν
ὡς ἐμοὶ πολεμεῖν, ἄγ', ἔφη, καὶ τούτῳ χρώμεθα ὅ,τι
ἂν ἀποβαίνῃ ἐκ τοῦ πολέμου· ἐὰν δέ σοι μὴ δοκῶσιν
ἱκανῶς βοηθεῖν, οὐκ ἤδη ἀνέγκλητος ἂν δικαίως εἴης
ἐν τῇ πατρίδι, ἥ σε τιμᾷ, καὶ σοὶ πράττοις τὰ κράτιστα;
περὶ τούτων δὴ ἐγὼ ἥκω πρὸς ὑμᾶς καὶ λέγω πάντα 14
ὅσα ἐκεῖ αὐτός τε ὁρῶ καὶ ἐκείνου ἀκήκοα. καὶ νομίζω
οὕτως ἔχειν, ὦ ἄνδρες Λακεδαιμόνιοι, ὡς εἰ μὲν πέμ-
ψετε ἐκεῖσε δύναμιν μὴ ἐμοὶ μόνον ἀλλὰ καὶ τοῖς ἄλ-
λοις Θετταλοῖς ἱκανὴν δοκοῦσαν εἶναι πρὸς Ἰάσονα
πολεμεῖν, ἀποστήσονται αὐτοῦ αἱ πόλεις· πᾶσαι γὰρ
φοβοῦνται ὅποι ποτὲ προβήσεται ἡ τοῦ ἀνδρὸς δύνα-
μις· εἰ δὲ νεοδαμώδεις καὶ ἄνδρα ἰδιώτην οἴεσθε ἀρ-
κέσειν, συμβουλεύω ἡσυχίαν ἔχειν. εὖ γὰρ ἴστε, 15
πρός τε μεγάλην ἔσται ῥώμην ὁ πόλεμος, καὶ πρὸς
ἄνδρα ὃς φρόνιμος μὲν οὕτω στρατηγός ἐστιν ὡς ὅσα
τε λανθάνειν καὶ ὅσα φθάνειν καὶ ὅσα βιάζεσθαι



Ψηφιακή Κεντρική Βιβλιοθήκη

ἐπιχειρεῖ οὐ μάλα ἀφαμαρτάνει. ἱκανὸς γάρ ἐστι καὶ νυκτὶ ὅσαπερ ἡμέρᾳ χρῆσθαι, καὶ ὅταν σπεύδῃ, ἄριστον καὶ δεῖπνον ποιησάμενος ἅμα πονεῖσθαι. οἴεται δὲ καὶ ἀναπαύεσθαι χρῆναι, ὅταν ἀφίκηται ἔνθ' ἂν ὡρμημένος ᾖ καὶ διαπράξηται ἃ δεῖ· καὶ τοὺς μεθ' αὑτοῦ δὲ ταῦτα εἴθικεν. ἐπίσταται δὲ καὶ ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πράξωσιν οἱ στρατιῶται, ἐκπλῆσαι τὰς γνώμας αὐτῶν· ὥστε καὶ τοῦτο μεμαθήκασι πάντες οἱ μετ' αὐτοῦ, ὅτι ἐκ τῶν πόνων καὶ τὰ μαλακὰ
16 γίγνεται. καὶ μὴν ἐγκρατέστατός γ' ἐστὶν ὧν ἐγὼ οἶδα τῶν περὶ τὸ σῶμα ἡδονῶν· ὥστε οὐδὲ διὰ ταῦτα ἀσχολίαν ἔχει τὸ μὴ πράττειν ἀεὶ τὸ δεόμενον. ὑμεῖς οὖν σκεψάμενοι εἴπατε πρός ἐμέ, ὥσπερ ὑμῖν προσήκει, ὁποῖα δυνήσεσθέ τε καὶ μέλλετε ποιήσειν.

17 Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δὲ Λακεδαιμόνιοι τότε μὲν ἀνεβάλοντο τὴν ἀπόκρισιν· τῇ δ' ὑστεραίᾳ καὶ τῇ τρίτῃ λογισάμενοι τάς τε ἔξω μόρας ὅσαι αὐτοῖς εἶεν καὶ τὰς περὶ Λακεδαίμονα πρὸς τὰς ἑξήκοντα τῶν Ἀθηναίων τριήρεις καὶ τὸν πρὸς τοὺς ὁμόρους πόλεμον, ἀπεκρίναντο ὅτι ἐν τῷ παρόντι οὐκ ἂν δύναιντο ἱκανὴν αὐτῷ ἐκπέμψαι ἐπικουρίαν, ἀλλ' ἀπιόντα συντίθεσθαι αὐτὸν ἐκέλευον ὅπῃ δύναιτο ἄριστα τά τε ἑαυτοῦ καὶ
18 τὰ τῆς πόλεως. κἀκεῖνος μέντοι ἐπαινέσας τὴν ἁπλότητα τῆς πόλεως ἀπῆλθε. καὶ τὴν μὲν ἀκρόπολιν τῶν Φαρσαλίων ἐδεῖτο τοῦ Ἰάσονος μὴ ἀναγκάσαι αὑτὸν παραδοῦναι, ὅπως τοῖς παρακαταθεμένοις διασώζῃ· τοὺς δ' ἑαυτοῦ παῖδας ἔδωκεν ὁμήρους, ὑποσχόμενος αὐτῷ τήν τε πόλιν πείσας ἑκοῦσαν σύμμαχον ποιήσειν καὶ ταγὸν συγκαταστήσειν αὐτόν. ὡς δὲ τὰ πιστὰ ἔδοσαν ἀλλήλοις, εὐθὺς μὲν οἱ Φαρσάλιοι εἰρήνην ἦγον, ταχὺ δὲ ὁ Ἰάσων ὁμολογουμένως ταγὸς τῶν Θετταλῶν
19 καθειστήκει. ἐπεί γε μὴν ἐτάγευσε, διέταξεν ἱππικόν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τε ὅσον ἑκάστη πόλις δυνατὴ ἦν παρέχειν καὶ ὁπλιτι-
κόν. καὶ ἐγένοντο αὐτῷ ἱππεῖς μὲν σὺν τοῖς συμμάχοις
πλείους ἢ ὀκτακισχίλιοι, ὁπλῖται δὲ ἐλογίσθησαν οὐκ
ἐλάττους δισμυρίων, πελταστικόν γε μὴν ἱκανὸν πρὸς
πάντας ἀνθρώπους ἀντιταχθῆναι· ἔργον γὰρ ἐκείνων
γε καὶ τὰς πόλεις ἀριθμῆσαι. προεῖπε δὲ τοῖς περιοί-
κοις πᾶσι καὶ τὸν φόρον ὥσπερ ἐπὶ Σκόπα τεταγμένος
ἦν φέρειν. καὶ ταῦτα μὲν οὕτως ἐπεραίνετο· ἐγὼ δὲ πά-
λιν ἐπάνειμι, ὅθεν εἰς τὰς περὶ Ἰάσονος πράξεις ἐξέβην.

Οἱ μὲν γὰρ Λακεδαιμόνιοι καὶ οἱ σύμμαχοι συνε- II.
λέγοντο εἰς τοὺς Φωκέας, οἱ δὲ Θηβαῖοι ἀναχωρήσαν-
τες εἰς τὴν αὐτῶν ἐφύλαττον τὰς εἰσβολάς. οἱ δ' Ἀθη-
ναῖοι, αὐξανομένους μὲν ὁρῶντες διὰ σφᾶς τοὺς Θη-
βαίους, χρήματά τε οὐ συμβαλλομένους εἰς τὸ ναυτι-
κόν, αὐτοὶ δὲ ἀποκναιόμενοι καὶ χρημάτων εἰσφοραῖς
καὶ λῃστείαις ἐξ Αἰγίνης καὶ φυλακαῖς τῆς χώρας, ἐπε-
θύμησαν παύσασθαι τοῦ πολέμου, καὶ πέμψαντες πρέ-
σβεις εἰς Λακεδαίμονα εἰρήνην ἐποιήσαντο.

Εὐθὺς δ' ἐκεῖθεν δύο τῶν πρέσβεων πλεύσαντες 2
κατὰ δόγμα τῆς πόλεως εἶπον τῷ Τιμοθέῳ ἀποπλεῖν
οἴκαδε ὡς εἰρήνης οὔσης· ὁ δ' ἅμα ἀποπλέων τοὺς τῶν
Ζακυνθίων φυγάδας ἀπεβίβασεν εἰς τὴν χώραν αὐ-
τῶν. ἐπεὶ δὲ οἱ ἐκ τῆς πόλεως Ζακύνθιοι πέμψαντες 3
πρὸς τοὺς Λακεδαιμονίους ἔλεγον οἷα πεπονθότες εἶεν a.C. 373
ὑπὸ τοῦ Τιμοθέου, εὐθὺς οἱ Λακεδαιμόνιοι ἀδι-
κεῖν τε ἡγοῦντο τοὺς Ἀθηναίους καὶ ναυτικὸν πάλιν
κατεσκεύαζον καὶ συνετάττοντο εἰς ἑξήκοντα ναῦς
ἀπ' αὐτῆς τε τῆς Λακεδαίμονος καὶ Κορίνθου καὶ
Λευκάδος καὶ Ἀμβρακίας καὶ Ἤλιδος καὶ Ζακύνθου
καὶ Ἀχαΐας καὶ Ἐπιδαύρου καὶ Τροιζῆνος καὶ Ἑρμιό-
νος καὶ Ἁλιέων. ἐπιστήσαντες δὲ ναύαρχον Μνάσιπ- 4
πον ἐκέλευον τῶν τε ἄλλων ἐπιμελεῖσθαι τῶν κατ'



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἐκείνην τὴν θάλατταν καὶ στρατεύειν ἐπὶ Κέρκυρ
ἔπεμψαν δὲ καὶ πρὸς Διονύσιον διδάσκοντες ὡς
ἐκείνῳ χρήσιμον εἴη τὴν Κέρκυραν μὴ ὑπ' Ἀθηνα
5 εἶναι. καὶ ὁ μὲν δὴ Μνάσιππος, ἐπεὶ συνελέγη α
τὸ ναυτικόν, ἔπλευσεν εἰς τὴν Κέρκυραν· εἶχε δὲ
μισθοφόρους σὺν τοῖς ἐκ Λακεδαίμονος μετ' αὐ
στρατευομένοις οὐκ ἐλάττους χιλίων καὶ πεντακοσ
6 ἐπεὶ δὲ ἀπέβη, ἐκράτει τε τῆς γῆς καὶ ἐδῄου ἐξειρ
σμένην μὲν παγκάλως καὶ πεφυτευμένην τὴν χώ
μεγαλοπρεπεῖς δὲ οἰκήσεις καὶ οἰνῶνας κατεσκ
σμένους ἐπὶ τῶν ἀγρῶν· ὥστ' ἔφασαν τοὺς σ
τιώτας εἰς τοῦτο τρυφῆς ἐλθεῖν ὥστ' οὐκ ἐθέλειν πίν
εἰ μὴ ἀνθοσμίας εἴη. καὶ ἀνδράποδα δὲ καὶ βοσκήμ
7 πάμπολλα ἡλίσκετο ἐκ τῶν ἀγρῶν. ἔπειτα δὲ κα
στρατοπεδεύσατο τῷ μὲν πεζῷ ἐπὶ λόφῳ ἀπέχοντι
πόλεως ὡς πέντε στάδια, πρὸ τῆς χώρας ὄντι, ὅ
ἀποτέμνοιτο ἐντεῦθεν, εἴ τις ἐπὶ τὴν χώραν τῶν Κ
κυραίων ἐξίοι· τὸ δὲ ναυτικὸν εἰς τἀπὶ θάτερα τῆς
λεως κατεστρατοπέδευσεν, ἔνθεν ᾤετ' ἂν τὰ προσπ
οντα καὶ προαισθάνεσθαι καὶ διακωλύειν. πρὸς
τούτοις καὶ ἐπὶ τῷ λιμένι, ὁπότε μὴ χειμὼν κωλ
8 ἐφώρμει. ἐπολιόρκει μὲν δὴ οὕτω τὴν πόλιν. ἐπε
οἱ Κερκυραῖοι ἐκ μὲν τῆς γῆς οὐδὲν ἐλάμβανον δι
κρατεῖσθαι κατὰ γῆν, κατὰ θάλατταν δὲ οὐδὲν ε
γετο αὐτοῖς διὰ τὸ ναυκρατεῖσθαι, ἐν πολλῇ ἀπο
9 ἦσαν· καὶ πέμποντες πρὸς τοὺς Ἀθηναίους βοηθεῖ
ἐδέοντο καὶ ἐδίδασκον ὡς μέγα μὲν ἀγαθὸν ἀποβάλ
ἄν, εἰ Κερκύρας στερηθεῖεν, τοῖς δὲ πολεμίοις με
λην ἂν ἰσχὺν προσβάλοιεν· ἐξ οὐδεμιᾶς γὰρ πόλ
πλήν γε Ἀθηνῶν οὔτε ναῦς οὔτε χρήματα πλεί
ἂν γενέσθαι. ἔτι δὲ κεῖσθαι τὴν Κέρκυραν ἐν κ
μὲν τοῦ Κορινθιακοῦ κόλπου καὶ τῶν πόλεων αἳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τούτου καθήκουσιν, ἐν καλῷ δὲ τοῦ τὴν Λακωνικὴν
χώραν βλάπτειν, ἐν καλλίστῳ δὲ τῆς τε ἀντιπέρας
Ἠπείρου καὶ τοῦ εἰς Πελοπόννησον ἀπὸ Σικελίας πα-
ράπλου. ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐνόμισαν 10
ἰσχυρῶς ἐπιμελητέον εἶναι, καὶ στρατηγὸν πέμπουσι
Κτησικλέα εἰς ἑξακοσίους ἔχοντα πελταστάς, Ἀλκέτου δὲ
ἐδεήθησαν συνδιαβιβάσαι τούτους. καὶ οὗτοι μὲν νυ- 11
κτὸς διακομισθέντες ποι τῆς χώρας εἰσῆλθον εἰς τὴν
πόλιν. ἐψηφίσαντο δὲ καὶ ἑξήκοντα ναῦς πληροῦν, Τι-
μόθεον δ' αὐτῶν στρατηγὸν ἐχειροτόνησαν. ὁ δ' οὐ 12
δυνάμενος αὐτόθεν τὰς ναῦς πληρῶσαι, ἐπὶ νήσων
πλεύσας ἐκεῖθεν ἐπειρᾶτο συμπληροῦν, οὐ φαῦλον
ἡγούμενος εἶναι ἐπὶ συγκεκροτημένας ναῦς εἰκῇ περι-
πλεῦσαι. οἱ δ' Ἀθηναῖοι νομίζοντες αὐτὸν ἀναλοῦν 13
τὸν τῆς ὥρας εἰς τὸν περίπλουν χρόνον, συγγνώμην
οὐκ ἔσχον αὐτῷ, ἀλλὰ παύσαντες αὐτὸν τῆς στρατη-
γίας Ἰφικράτη ἀνθαιροῦνται. ὁ δ' ἐπεὶ κατέστη στρα- 14
τηγός, μάλα ὀξέως τὰς ναῦς ἐπληροῦτο καὶ τοὺς τριη-
ράρχους ἠνάγκαζε. προσέλαβε δὲ παρὰ τῶν Ἀθηναίων
καὶ εἴ πού τις ναῦς περὶ τὴν Ἀττικὴν ἔπλει καὶ τὴν Πά-
ραλον καὶ τὴν Σαλαμινίαν, λέγων ὡς ἐὰν τἀκεῖ καλῶς
γένηται, πολλὰς αὐτοῖς ναῦς ἀποπέμψοι. καὶ ἐγένοντο
αὐτῷ αἱ ἅπασαι περὶ ἑβδομήκοντα. ἐν δὲ τούτῳ τῷ χρό- 15
νῳ οἱ Κερκυραῖοι οὕτω σφόδρα ἐπείνων ὥστε διὰ τὸ
πλῆθος τῶν αὐτομολούντων ἐκήρυξεν ὁ Μνάσιππος πε-
πρᾶσθαι ὅστις αὐτομολοίη. ἐπεὶ δὲ οὐδὲν ἧττον ηὐτομό-
λουν, τελευτῶν καὶ μαστιγῶν ἀπέπεμπεν. οἱ μέντοι ἔν-
δοθεν τούς γε δούλους οὐκ ἐδέχοντο πάλιν εἰς τὸ τεῖχος,
ἀλλὰ πολλοὶ ἔξω ἀπέθνησκον. ὁ δ' αὖ Μνάσιππος ὁρῶν 16
ταῦτα, ἐνόμιζέ τε ὅσον οὐκ ἤδη ἔχειν τὴν πόλιν καὶ
περὶ τοὺς μισθοφόρους ἐκαινούργει, καὶ τοὺς μέν τι-
νας αὐτῶν ἀπομίσθους ἐπεποιήκει, τοῖς δέ τισι καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη

δυοῖν ἤδη μηνοῖν ὤφειλε τὸν μισθόν, οὐκ ἀπορῶν,
ἐλέγετο, χρημάτων· καὶ γὰρ τῶν πόλεων αἱ πολ
αὐτῷ ἀργύριον ἀντὶ τῶν ἀνδρῶν ἔπεμπον, ἅτε
17 διαποντίου τῆς στρατείας οὔσης. κατιδόντες δὲ ἀ
τῶν πύργων οἱ ἐκ τῆς πόλεως τάς τε φυλακὰς χεῖ
ἢ πρόσθεν φυλαττομένας ἐσπαρμένους τε κατὰ
χώραν τοὺς ἀνθρώπους, ἐπεκδραμόντες τοὺς μέν
18 νας αὐτῶν ἔλαβον, τοὺς δὲ κατέκοψαν. αἰσθόμε
δὲ ὁ Μνάσιππος, αὐτός τε ἐξωπλίζετο καὶ ὅσους εἰ
ὁπλίτας ἅπασιν ἐβοήθει, καὶ τοὺς λοχαγοὺς καὶ τ
19 ταξιάρχους ἐξάγειν ἐκέλευε τοὺς μισθοφόρους. ἀ
κριναμένων δέ τινων λοχαγῶν ὅτι οὐ ῥᾴδιον εἴη μὴ
δόντας τὰ ἐπιτήδεια πειθομένους παρέχειν, τὸν
τινα βακτηρίᾳ, τὸν δὲ τῷ στύρακι ἐπάταξεν. οὕτω
δὴ ἀθύμως ἔχοντες καὶ μισοῦντες αὐτὸν συνεξῆλ
20 πάντες· ὅπερ ἥκιστα εἰς μάχην συμφέρει. ὁ δ' ἐ
παρετάξατο, αὐτὸς μὲν τοὺς κατὰ τὰς πύλας τῶν
λεμίων τρεψάμενος ἐπεδίωκεν· οἱ δ' ἐπεὶ ἐγγὺς
τείχους ἐγένοντο, ἀνεστρέφοντό τε καὶ ἀπὸ τῶν μ
μάτων ἔβαλλον καὶ ἠκόντιζον· ἄλλοι δ' ἐκδραμόν
καθ' ἑτέρας πύλας ἐπιτίθενται ἀθρόοι τοῖς ἐσχάτ
21 οἱ δ' ἐπ' ὀκτὼ τεταγμένοι, ἀσθενὲς νομίσαντες
ἄκρον τῆς φάλαγγος ἔχειν, ἀναστρέφειν ἐπειρῶν
ὡς δ' ἤρξαντο ἐπαναχωρεῖν, οἱ μὲν πολέμιοι ὡς φ
γουσιν ἐπέθεντο, οἱ δ' οὐκέτι ἐπανέστρεψαν· καὶ
22 ἐχόμενοι δ' αὐτῶν εἰς φυγὴν ὥρμων. ὁ δὲ Μνάσιπ
τοῖς μὲν πιεζομένοις οὐκ ἐδύνατο βοηθεῖν διὰ τοὺς
τοῦ κατ' ἀντικρὺ προσκειμένους, ἀεὶ δ' ἐλείπετο
ἐλάττοσι. τέλος δ' οἱ πολέμιοι ἀθρόοι γενόμενοι π
τες ἐπετίθεντο τοῖς περὶ τὸν Μνάσιππον, ἤδη μ
ὀλίγοις οὖσι. καὶ οἱ πολῖται ὁρῶντες τὸ γιγνόμε
23 ἐπεξῆσαν. ἐπεὶ δ' ἐκεῖνον ἀπέκτειναν, ἐδίωκον

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἅπαντες. ἐκινδύνευσαν δ' ἂν καὶ τὸ στρατόπεδον ἑλεῖν
σὺν τῷ χαρακώματι, εἰ μὴ οἱ διώκοντες τὸν ἀγοραῖόν
τε ὄχλον ἰδόντες καὶ τὸν τῶν θεραπόντων καὶ τὸν τῶν
ἀνδραπόδων, οἰηθέντες ὄφελός τι αὐτῶν εἶναι, ἀπε-
στρέφοντο. καὶ τότε μὲν τρόπαιόν τε ἵστασαν οἱ Κερ- 24
κυραῖοι τούς τε νεκροὺς ὑποσπόνδους ἀπεδίδοσαν.
ἐκ δὲ τούτου οἱ μὲν ἐν τῇ πόλει ἐρρωμενέστεροι ἐγεγέ-
νηντο, οἱ δ' ἔξω ἐν παντὶ δὴ ἀθυμίας ἦσαν. καὶ γὰρ ἐλέ-
γετο ὅτι Ἰφικράτης τε ὅσον οὐκ ἤδη παρείη, καὶ οἱ
Κερκυραῖοι δὲ τῷ ὄντι ναῦς ἐπλήρουν. Ὑπερμένης δέ, 25
ὃς ἐτύγχανεν ἐπιστολιαφόρος τῷ Μνασίππῳ ὤν, τό τε
ναυτικὸν πᾶν ὅσον ἦν ἐκεῖ συνεπλήρωσε, καὶ περι-
πλεύσας πρὸς τὸ χαράκωμα τὰ πλοῖα πάντα γεμίσας
τῶν τε ἀνδραπόδων καὶ τῶν χρημάτων ἀπέστελλεν·
αὐτὸς δὲ σύν τε τοῖς ἐπιβάταις καὶ τοῖς περισωθεῖσι
τῶν στρατιωτῶν διεφύλαττε τὸ χαράκωμα· τέλος δὲ 26
καὶ οὗτοι μάλα τεταραγμένοι ἀναβάντες ἐπὶ τὰς
τριήρεις ἀπέπλεον, πολὺν μὲν σῖτον, πολὺν δὲ οἶνον,
πολλὰ δὲ ἀνδράποδα καὶ ἀσθενοῦντας στρατιώτας κα-
ταλιπόντες· δεινῶς γὰρ ἐπεφόβηντο μὴ καταληφθεῖεν
ὑπὸ τῶν Ἀθηναίων ἐν τῇ νήσῳ. καὶ ἐκεῖνοι μὲν εἰς
Λευκάδα ἀπεσώθησαν.

Ὁ δὲ Ἰφικράτης ἐπεὶ ἤρξατο τοῦ περίπλου, ἅμα 27
μὲν ἔπλει, ἅμα δὲ πάντα ὅσα εἰς ναυμαχίαν παρε-
σκευάζετο· εὐθὺς μὲν γὰρ τὰ μεγάλα ἱστία αὐτοῦ κατ-
έλιπεν, ὡς ἐπὶ ναυμαχίαν πλέων· καὶ τοῖς ἀκατίοις
δέ, καὶ εἰ φορὸν πνεῦμα εἴη, ὀλίγα ἐχρῆτο· τῇ δὲ κώ-
πῃ τὸν πλοῦν ποιούμενος ἄμεινόν τε τὰ σώματα ἔχειν
τοὺς ἄνδρας καὶ ἄμεινον τὰς ναῦς πλεῖν ἐποίει. πολ- 28
λάκις δὲ καὶ ὅπου μέλλοι ἀριστοποιεῖσθαι τὸ στράτευ-
μα ἢ δειπνοποιεῖσθαι, ἐπανήγαγεν ἂν τὸ κέρας ἀπὸ
τῆς γῆς κατὰ ταῦτα τὰ χωρία, ἔπειτ' ἐπιστρέψας ἂν

καὶ ἀντιπρῴρους καταστήσας τὰς τριήρεις ἀπὸ σημείου
ἀφίει ἀνθαμιλλᾶσθαι εἰς τὴν γῆν. μέγα δὴ νικητήριον
ἦν τὸ πρώτους καὶ ὕδωρ λαβεῖν καὶ εἴ του ἄλλου ἐδέ-
οντο, καὶ πρώτους ἀριστῆσαι· τοῖς δ' ὑστάτοις ἀφικο-
μένοις μεγάλη ζημία ἦν τό τε ἐλαττοῦσθαι πᾶσι τού-
τοις καὶ ὅτι ἀνάγεσθαι ἅμα ἔδει, ἐπεὶ σημήνειε· συν-
έβαινε γὰρ τοῖς μὲν πρώτοις ἀφικνουμένοις καθ' ἡσυ-
χίαν ἅπαντα ποιεῖν, τοῖς δὲ τελευταίοις διὰ σπουδῆς.
29 φυλακάς γε μήν, εἰ τύχοι ἐν τῇ πολεμίᾳ ἀριστοποιού-
μενος, τὰς μὲν ἐν τῇ γῇ, ὥσπερ προσήκει, καθίστη,
ἐν δὲ ταῖς ναυσὶν αἰρόμενος αὖ τοὺς ἱστοὺς ἀπὸ τού-
των ἐσκοπεῖτο. πολὺ οὖν ἐπὶ πλέον οὗτοι καθεώρων ἢ
οἱ ἐκ τοῦ ὁμαλοῦ, ἀφ' ὑψηλοτέρου καθορῶντες. ὅπου
δὲ δειπνοποιοῖτο καὶ καθεύδοι, ἐν μὲν τῷ στρατοπέδῳ
νύκτωρ πῦρ οὐκ ἔκαε, πρὸ δὲ τοῦ στρατεύματος φῶς
ἐποίει, ἵνα μηδεὶς λάθῃ προσιών. πολλάκις δέ, εἰ εὐ-
δία εἴη, εὐθὺς δειπνήσας ἀνήγετο· καὶ εἰ μὲν αὔρα
φέροι, θέοντες ἅμα ἀνεπαύοντο· εἰ δὲ ἐλαύνειν δέοι,
30 κατὰ μέρος τοὺς ναύτας ἀνέπαυεν. ἐν δὲ τοῖς μεθ'
ἡμέραν πλοῖς ἀπὸ σημείων τοτὲ μὲν ἐπὶ κέρως ἦγε, το-
τὲ δ' ἐπὶ φάλαγγος· ὥστε ἅμα μὲν ἔπλεον, ἅμα δὲ
πάντα ὅσα εἰς ναυμαχίαν καὶ ἠσκηκότες καὶ ἐπιστάμε-
νοι εἰς τὴν ὑπὸ τῶν πολεμίων, ὡς ᾤοντο, κατεχομέ-
νην θάλατταν ἀφικνοῦντο. καὶ τὰ μὲν πολλὰ ἐν τῇ
πολεμίᾳ καὶ ἠρίστων καὶ ἐδείπνουν· διὰ δὲ τὸ τἀναγ-
καῖα μόνον πράττειν καὶ τὰς βοηθείας ἔφθανεν ἀνα-
31 γόμενος καὶ ταχὺ ἐπέραινε. περὶ δὲ τὸν Μνασίππου
θάνατον ἐτύγχανεν ὢν τῆς Λακωνικῆς περὶ τὰς Σφα-
γίας. εἰς τὴν Ἠλείαν δὲ ἀφικόμενος καὶ παραπλεύσας
τὸ τοῦ Ἀλφειοῦ στόμα ὑπὸ τὸν Ἰχθῦν καλούμενον ὡρ-
μίσατο. τῇ δ' ὑστεραίᾳ ἐντεῦθεν ἀνήγετο ἐπὶ τῆς Κε-
φαλληνίας, οὕτω καὶ τεταγμένος καὶ τὸν πλοῦν ποιού-

μενος ὡς, εἰ δέοι, πάντα ὅσα χρὴ παρεσκευασμένος ναυμαχοίη. καὶ γὰρ τὰ περὶ τοῦ Μνασίππου αὐτόπτου μὲν οὐδενὸς ἠκηκόει, ὑπώπτευε δὲ μὴ ἀπάτης ἕνεκα λέγοιτο, καὶ ἐφυλάττετο· ἐπεὶ μέντοι ἀφίκετο εἰς τὴν Κεφαλληνίαν, ἐνταῦθα δὴ σαφῶς ἐπύθετο, καὶ ἀνέπαυε τὸ στράτευμα.

Οἶδα μὲν οὖν ὅτι ταῦτα πάντα, ὅταν οἴωνται 32 ναυμαχήσειν ἄνθρωποι, καὶ ἀσκεῖται καὶ μελετᾶται· ἀλλὰ τοῦτο ἐπαινῶ, ὅτι ἐπεὶ ἀφικέσθαι ταχὺ ἔδει ἔνθα τοῖς πολεμίοις ναυμαχήσειν ᾤετο, ηὕρετο ὅπως μήτε διὰ τὸν πλοῦν ἀνεπιστήμονας εἶναι τῶν εἰς ναυμαχίαν μήτε διὰ τὸ ταῦτα μελετᾶν βραδύτερόν τι ἀφικέσθαι.

Καταστρεψάμενος δὲ τὰς ἐν τῇ Κεφαλληνίᾳ πό- 33 λεις ἔπλευσεν εἰς Κέρκυραν. ἐκεῖ δὲ πρῶτον μὲν ἀκούσας ὅτι προσπλέοιεν δέκα τριήρεις παρὰ Διονυσίου, βοηθήσουσαι τοῖς Λακεδαιμονίοις, αὐτὸς ἐλθὼν καὶ σκεψάμενος τῆς χώρας ὅθεν τούς τε προσπλέοντας δυνατὸν ἦν ὁρᾶν καὶ τοὺς σημαίνοντας εἰς τὴν πόλιν καταφανεῖς εἶναι, ἐνταῦθα κατέστησε τοὺς σκοπούς. κά- 34 κείνοις μὲν συνέθετο προσπλεόντων τε καὶ ὁρμούντων ὡς δέοι σημαίνειν· αὐτὸς δὲ τῶν τριηράρχων προσέταξεν εἴκοσιν, οὓς δεήσοι, ἐπεὶ κηρύξειεν, ἀκολουθεῖν· εἰ δέ τις μὴ ἀκολουθήσοι, προεῖπε μὴ μέμψεσθαι τὴν δίκην. ἐπεὶ δ' ἐσημάνθησαν προσπλέουσαι καὶ ἐκηρύχθη, ἀξία ἐγένετο θέας ἡ σπουδή· οὐδεὶς γὰρ ὅστις οὐ δρόμῳ τῶν μελλόντων πλεῖν εἰσέβη εἰς τὰς ναῦς. πλεύσας δὲ ἔνθα ἦσαν αἱ πολέμιαι τριήρεις, καταλαμ- 35 βάνει ἀπὸ μὲν τῶν ἄλλων τριήρων εἰς τὴν γῆν τοὺς ἄνδρας ἐκβεβηκότας, Μελάνιππος μέντοι ὁ Ῥόδιος τοῖς τε ἄλλοις συνεβούλευε μὴ μένειν ἐνταῦθα καὶ αὐτὸς πληρωσάμενος τὴν ναῦν ἐξέπλει. ἐκεῖνος μὲν οὖν καί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περ ἁπάντων ταῖς Ἰφικράτους ναυσὶν ὅμως ἀπέφυγεν·
αἱ δὲ ἀπὸ Συρακουσῶν νῆες ἅπασαι ἑάλωσαν αὐτοῖς
36 ἀνδράσιν. ὁ μέντοι Ἰφικράτης τὰς μὲν τριήρεις ἀκρω-
τηριασάμενος ἕλκων κατηγάγετο εἰς τὸν τῶν Κερκυ-
ραίων λιμένα, τῶν δὲ ἀνδρῶν συνέβη ἕκαστον τακτὸν
ἀργύριον ἀποτῖσαι, πλὴν Κρινίππου τοῦ ἄρχοντος· τοῦ-
τον δ' ἐφύλαττεν, ὡς ἢ πραξόμενος πάμπολλα χρήματα
ἢ ὡς πωλήσων. κἀκεῖνος μὲν ὑπὸ λύπης αὐθαιρέτῳ θα-
νάτῳ ἀποθνήσκει, τοὺς δ' ἄλλους ὁ Ἰφικράτης ἀφῆκε,
37 Κερκυραίους ἐγγυητὰς δεξάμενος τῶν χρημάτων. καὶ
τοὺς μὲν ναύτας γεωργοῦντας τοῖς Κερκυραίοις τὸ
πλεῖστον διέτρεφε, τοὺς δὲ πελταστὰς καὶ τοὺς ἀπὸ τῶν
νεῶν ὁπλίτας ἔχων διέβαινεν εἰς τὴν Ἀκαρνανίαν· καὶ
ἐκεῖ ταῖς μὲν φιλίαις πόλεσιν ἐπεκούρει, εἴ τίς [τι] δέοι-
το, Θυριεῦσι δέ, μάλα καὶ ἀνδράσιν ἀλκίμοις καὶ χω-
38 ρίον καρτερὸν ἔχουσιν, ἐπολέμει. καὶ τὸ ἀπὸ Κερκύ-
a.C. 372. ρας ναυτικὸν προσλαβών, σχεδὸν περὶ ἐνενήκοντα
ναῦς, πρῶτον μὲν εἰς Κεφαλληνίαν πλεύσας χρή-
ματα ἐπράξατο, τὰ μὲν παρ' ἑκόντων, τὰ δὲ παρ'
ἀκόντων· ἔπειτα δὲ παρεσκευάζετο τήν τε τῶν Λα-
κεδαιμονίων χώραν κακῶς ποιεῖν καὶ τῶν ἄλλων
τῶν κατ' ἐκεῖνα πόλεων πολεμίων οὐσῶν τὰς μὲν
ἐθελούσας προσλαμβάνειν, τοῖς δὲ μὴ πειθομένοις
πολεμεῖν.

39 Ἐγὼ μὲν δὴ ταύτην τὴν στρατηγίαν τῶν Ἰφικρά-
τους οὐχ ἥκιστα ἐπαινῶ, ἔπειτα καὶ τὸ προσελέσθαι
κελεῦσαι ἑαυτῷ Καλλίστρατόν τε τὸν δημηγόρον, οὐ
μάλα ἐπιτήδειον ὄντα, καὶ Χαβρίαν, μάλα στρατηγὸν
νομιζόμενον. εἴτε γὰρ φρονίμους αὐτοὺς ἡγούμενος
εἶναι συμβούλους λαβεῖν ἐβούλετο, σῶφρόν μοι δοκεῖ
διαπράξασθαι, εἴτε ἀντιπάλους νομίζων, οὕτω θρα-
σέως μήτε καταρραθυμῶν μήτε καταμελῶν μηδὲν φαί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νεσθαι, μέγα φρονοῦντος ἐφ' ἑαυτῷ τοῦτό μοι δοκεῖ ἀνδρὸς εἶναι. κἀκεῖνος μὲν δὴ ταῦτ' ἔπραττεν.

Οἱ δὲ Ἀθηναῖοι, ἐκπεπτωκότας μὲν ὁρῶντες ἐκ τῆς III. Βοιωτίας Πλαταιέας, φίλους ὄντας, καὶ καταπεφευγότας πρὸς αὐτούς, ἱκετεύοντας δὲ Θεσπιέας μὴ σφᾶς περιιδεῖν ἀπόλιδας γενομένους, οὐκέτι ἐπῄνουν τοὺς Θηβαίους, ἀλλὰ πολεμεῖν μὲν αὐτοῖς τὰ μὲν ᾐσχύνοντο, τὰ δὲ ἀσυμφόρως ἔχειν ἐλογίζοντο· κοινωνεῖν γε μὴν αὐτοῖς ὧν ἔπραττον οὐκέτι ἤθελον, ἐπεὶ ἑώρων στρατεύοντάς τε αὐτοὺς ἐπὶ φίλους ἀρχαίους τῇ πόλει Φωκέας, καὶ πόλεις πιστάς τ' ἐν τῷ πρὸς τὸν βάρβαρον πολέμῳ καὶ φίλας ἑαυτοῖς ἀφανίζοντας. ἐκ τούτων δὲ 2
ψηφισάμενος ὁ δῆμος εἰρήνην ποιεῖσθαι, πρῶτον μὲν εἰς Θήβας πρέσβεις ἔπεμψε παρακαλοῦντας ἀκολουθεῖν, εἰ βούλοιντο, εἰς Λακεδαίμονα περὶ εἰρήνης· ἔπειτα δὲ ἐξέπεμψαν καὶ αὐτοὶ πρέσβεις. ἦν δὲ τῶν αἱρεθέντων Καλλίας Ἱππονίκου, Αὐτοκλῆς Στρομβιχίδου, Δημόστρατος Ἀριστοφῶντος, Ἀριστοκλῆς, Κηφισόδοτος, Μελάνωπος, Λύκαιθος. [ἐπεὶ δὲ προσ- 3
ῆλθον ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων καὶ a.C. 371.
τοὺς συμμάχους·] καὶ Καλλίστρατος δὲ ὁ δημηγόρος παρῆν· ὑποσχόμενος γὰρ Ἰφικράτει, εἰ αὐτὸν ἀφείη, ἢ χρήματα πέμψειν τῷ ναυτικῷ ἢ εἰρήνην ποιήσειν, οὕτως Ἀθήνησί τε ἦν καὶ ἔπραττε περὶ εἰρήνης· ἐπεὶ δὲ κατέστησαν ἐπὶ τοὺς ἐκκλήτους τε τῶν Λακεδαιμονίων καὶ τοὺς συμμάχους, πρῶτος ἔλεξεν αὐτῶν Καλλίας ὁ δᾳδοῦχος. ἦν δ' οὗτος οἷος μηδὲν ἧττον ἥδεσθαι ὑφ' αὑτοῦ ἢ ὑπ' ἄλλων ἐπαινούμενος· καὶ τότε δὴ ἤρξατο ὧδέ πως.

Ὦ ἄνδρες Λακεδαιμόνιοι, τὴν μὲν προξενίαν ὑμῶν 4
οὐκ ἐγὼ μόνος, ἀλλὰ καὶ πατρὸς πατὴρ πατρῴαν ἔχων παρεδίδου τῷ γένει. βούλομαι δὲ καὶ τοῦτο ὑμῖν δη-

λῶσαι, ὡς ἔχουσα ἡ πόλις διατελεῖ πρὸς ἡμᾶς. ἐκεί γάρ, ὅταν μὲν πόλεμος ᾖ, στρατηγοὺς ἡμᾶς αἱρεῖτ ὅταν δὲ ἡσυχίας ἐπιθυμήσῃ, εἰρηνοποιοὺς ἡμᾶς ἐκπε πει. κἀγὼ πρόσθεν δὶς ἤδη ἦλθον περὶ πολέμου κ ταλύσεως, καὶ ἐν ἀμφοτέραις ταῖς πρεσβείαις διεπραξ μην καὶ ὑμῖν καὶ ἡμῖν εἰρήνην· νῦν δὲ τρίτον ἥκ καὶ ἡγοῦμαι πολὺ δικαιότατα νῦν ἂν διαλλαγῆς τυχεῖ

5 ὁρῶ γὰρ οὐκ ἄλλα μὲν ὑμῖν, ἄλλα δὲ ἡμῖν δοκοῦντ ἀλλ' ὑμᾶς τε ἀχθομένους καὶ ἡμᾶς τῇ Πλαταιῶν καὶ Θεσπιῶν ἀναιρέσει. πῶς οὖν οὐκ εἰκὸς τὰ αὐ γιγνώσκοντας φίλους μᾶλλον ἀλλήλοις ἢ πολεμίο εἶναι; καὶ σωφρόνων μὲν δήπου ἐστὶ μηδὲ εἰ μικρὰ διαφέροντα εἴη πόλεμον ἀναιρεῖσθαι· εἰ δὲ δὴ κ ὁμογνωμονοῖμεν, οὐκ ἂν πάνυ τῶν θαυμαστῶν εἴη

6 εἰρήνην ποιεῖσθαι; δίκαιον μὲν οὖν ἦν μηδὲ ὅπλα ἐπ φέρειν ἀλλήλοις ἡμᾶς, ἐπεὶ λέγεται μὲν Τριπτόλεμ ὁ ἡμέτερος πρόγονος τὰ Δήμητρος καὶ Κόρης ἄρρη ἱερὰ πρώτοις ξένοις δεῖξαι Ἡρακλεῖ τε τῷ ὑμετέρῳ ἀ χηγέτῃ καὶ Διοσκόροιν τοῖν ὑμετέροιν πολίταιν, κ τοῦ Δήμητρος δὲ καρποῦ εἰς πρώτην τὴν Πελοπόνν σον σπέρμα δωρήσασθαι. πῶς οὖν δίκαιον ἢ ὑμ παρ' ὧν ἐλάβετε σπέρματα, τὸν τούτων ποτὲ καρπ ἐλθεῖν δῃώσοντας, ἡμᾶς τε, οἷς ἐδώκαμεν, μὴ οὐ βούλεσθαι ὡς πλείστην τούτοις ἀφθονίαν τροφῆς γ νέσθαι; εἰ δὲ ἄρα ἐκ θεῶν πεπρωμένον ἐστὶ πολέμο ἐν ἀνθρώποις γίγνεσθαι, ἡμᾶς δὴ χρὴ ἄρχεσθαι μ αὐτοῦ ὡς σχολαίτατα, ὅταν δὲ γένηται, καταλύεσθ ᾗ δυνατὸν τάχιστα.

7 Μετὰ τοῦτον Αὐτοκλῆς, μάλα δοκῶν ἐπιστρεφ εἶναι ῥήτωρ, ὧδε ἠγόρευεν. Ἄνδρες Λακεδαιμόνι ὅτι μὲν ἃ μέλλω λέγειν οὐ πρὸς χάριν ὑμῖν ῥηθήσετ οὐκ ἀγνοῶ· ἀλλὰ δοκεῖ μοι, οἵτινες βούλονται, ἣν

ποιήσωνται φιλίαν, ταύτην ὡς πλεῖστον χρόνον διαμένειν, διδακτέον εἶναι ἀλλήλους τὰ αἴτια τῶν πολέμων. ὑμεῖς δὲ ἀεὶ μέν φατε ὡς αὐτονόμους τὰς πόλεις χρὴ εἶναι, αὐτοὶ δ' ἐστὲ μάλιστα ἐμποδὼν τῇ αὐτονομίᾳ. συντίθεσθε μὲν γὰρ πρὸς τὰς συμμαχίδας πόλεις τοῦτο πρῶτον, ἀκολουθεῖν ὅποι ἂν ὑμεῖς ἡγῆσθε. καίτοι τί τοῦτο αὐτονομίᾳ προσήκει; ποιεῖσθε δὲ πολεμίους 8
οὐκ ἀνακοινούμενοι τοῖς συμμάχοις, καὶ ἐπὶ τούτους ἡγεῖσθε· ὥστε πολλάκις ἐπὶ τοὺς εὐμενεστάτους ἀναγκάζονται στρατεύειν οἱ λεγόμενοι αὐτόνομοι εἶναι. ἔτι δὲ τὸ πάντων ἐναντιώτατον αὐτονομίᾳ, καθίστατε ἔνθα μὲν δεκαρχίας, ἔνθα δὲ τριακονταρχίας· καὶ τούτων τῶν ἀρχόντων ἐπιμελεῖσθε οὐχ ὅπως νομίμως ἄρχωσιν, ἀλλ' ὅπως δύνωνται βίᾳ κατέχειν τὰς πόλεις. ὥστ' ἐοίκατε τυραννίσι μᾶλλον ἢ πολιτείαις ἡδομένοις. καὶ ὅτε μὲν βασιλεὺς προσέταττεν αὐτονόμους τὰς πό- 9
λεις εἶναι, μάλα γιγνώσκοντες ἐφαίνεσθε ὅτι εἰ μὴ ἐάσοιεν οἱ Θηβαῖοι ἑκάστην τῶν πόλεων ἄρχειν τε ἑαυτῆς καὶ οἷς ἂν βούληται νόμοις χρῆσθαι, οὐ ποιήσουσι κατὰ τὰ βασιλέως γράμματα· ἐπεὶ δὲ παρελάβετε τὴν Καδμείαν, οὐδ' αὐτοῖς Θηβαίοις ἐπετρέπετε αὐτονόμους εἶναι. δεῖ δὲ τοὺς μέλλοντας φίλους ἔσεσθαι οὐ παρὰ τῶν ἄλλων μὲν ἀξιοῦν τῶν δικαίων τυγχάνειν, αὐτοὺς δὲ ὅπως ἂν πλεῖστα δύνωνται πλεονεκτοῦντας φαίνεσθαι.

Ταῦτα εἰπὼν σιωπὴν μὲν παρὰ πάντων ἐποίησεν, 10
ἡδομένους δὲ τοὺς ἀχθομένους τοῖς Λακεδαιμονίοις ἐποίησε. μετὰ τοῦτον Καλλίστρατος ἔλεξεν, Ἀλλ' ὅπως μέν, ὦ ἄνδρες Λακεδαιμόνιοι, οὐκ ἐγγεγένηται ἁμαρτήματα καὶ ἀφ' ἡμῶν καὶ ἀφ' ὑμῶν ἐγὼ μὲν οὐκ ἂν ἔχειν μοι δοκῶ εἰπεῖν· οὐ μέντοι οὕτω γιγνώσκω ὡς τοῖς ἁμαρτάνουσιν οὐδέποτε ἔτι χρηστέον· ὁρῶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὰρ τῶν ἀνθρώπων οὐδένα ἀναμάρτητον διατελοῦν-
τα· δοκοῦσι δέ μοι καὶ εὐπορώτεροι ἐνίοτε γίγνεσθα
ἄνθρωποι ἁμαρτάνοντες, ἄλλως τε καὶ ἐὰν κολασθῶ-
11 σιν ὑπὸ τῶν ἁμαρτημάτων, ὡς ἡμεῖς. καὶ ὑμῖν δ
ἔγωγε ὁρῶ διὰ τὰ ἀγνωμόνως πραχθέντα ἔστιν ὅτ
πολλὰ ἀντίτυπα γιγνόμενα· ὧν ἦν καὶ ἡ καταληφθεῖ-
σα ἐν Θήβαις Καδμεία· νῦν γοῦν, ὡς ἐσπουδάσατ
αὐτονόμους τὰς πόλεις γενέσθαι, πᾶσαι πάλιν, ἐπε
ἠδικήθησαν οἱ Θηβαῖοι, ἐπ' ἐκείνοις γεγένηνται. ὥστ
πεπαιδευμένους ἡμᾶς ὡς τὸ πλεονεκτεῖν ἀκερδές ἐστ
νῦν ἐλπίζω πάλιν μετρίους ἐν τῇ πρὸς ἀλλήλους φιλί
12 ἔσεσθαι. ἃ δὲ βουλόμενοί τινες ἀποτρέπειν τὴν εἰρή-
νην διαβάλλουσιν, ὡς ἡμεῖς οὐ φιλίας δεόμενοι, ἀλλ
φοβούμενοι μὴ Ἀνταλκίδας ἔλθῃ ἔχων παρὰ βασιλέως
χρήματα, διὰ τοῦθ' ἥκομεν, ἐνθυμήθητε ὡς φλυαροῦ-
σι. βασιλεὺς μὲν γὰρ δήπου ἔγραψε πάσας τὰς ἐν τῇ
Ἑλλάδι πόλεις αὐτονόμους εἶναι· ἡμεῖς δὲ ταὐτὰ ἐκεί-
νῳ λέγοντές τε καὶ πράττοντες τί ἂν φοβοίμεθα βασι-
λέα; ἢ τοῦτο οἴεταί τις, ὡς ἐκεῖνος βούλεται χρήματα
ἀναλώσας ἄλλους μεγάλους ποιῆσαι μᾶλλον ἢ ἄνευ δα-
πάνης ἃ ἔγνω ἄριστα εἶναι, ταῦτα ἑαυτῷ πεπρᾶχθαι;
13 εἶεν. τί μὴν ἥκομεν; ὅτι μὲν οὖν οὐκ ἀποροῦντες
γνοίητε ἄν, εἰ μὲν βούλεσθε, πρὸς τὰ κατὰ θάλατταν
ἰδόντες, εἰ δὲ βούλεσθε, πρὸς τὰ κατὰ γῆν ἐν τῷ παρ-
όντι. τί μήν ἐστιν; εὔδηλον ὅτι τῶν συμμάχων τινὲς
οὐκ ἀρεστὰ πράττουσιν ἡμῖν ἢ ὑμῖν ἀρεστά. ἴσως δὲ
καὶ βουλοίμεθ' ἂν ὧν ἕνεκα περιεσώσατε ἡμᾶς ἃ ὀρ-
14 θῶς ἔγνωμεν ὑμῖν ἐπιδεῖξαι. ἵνα δὲ καὶ τοῦ συμφό-
ρου ἔτι ἐπιμνησθῶ, εἰσὶ μὲν δήπου πασῶν τῶν πό-
λεων αἱ μὲν τὰ ὑμέτερα, αἱ δὲ τὰ ἡμέτερα φρονοῦσαι
καὶ ἐν ἑκάστῃ πόλει οἱ μὲν λακωνίζουσιν, οἱ δὲ ἀττικί-
ζουσιν. εἰ οὖν ἡμεῖς φίλοι γενοίμεθα, πόθεν ἂν εἰκό-

Αριστοτέλειο Κεντρική Βιβλιοθήκη Βιβλίων

τως χαλεπόν τι προσδοκήσαιμεν; καὶ γὰρ δὴ κατὰ γῆν
μὲν τίς ἂν ὑμῶν φίλων ὄντων ἱκανὸς γένοιτο ἡμᾶς λυ-
πῆσαι; κατὰ θάλαττάν γε μὴν τίς ἂν ὑμᾶς βλάψαι τι
ἡμῶν ὑμῖν ἐπιτηδείων ὄντων; ἀλλὰ μέντοι ὅτι μὲν πό- 15
λεμοι ἀεί ποτε γίγνονται καὶ ὅτι καταλύονται πάντες
ἐπιστάμεθα, καὶ ὅτι ἡμεῖς, ἂν μὴ νῦν, ἀλλ' αὖθίς ποτε
εἰρήνης ἐπιθυμήσομεν. τί οὖν δεῖ ἐκεῖνον τὸν χρόνον
ἀναμένειν, ἕως ἂν ὑπὸ πλήθους κακῶν ἀπείπωμεν,
μᾶλλον ἢ οὐχ ὡς τάχιστα πρίν τι ἀνήκεστον γενέσθαι
τὴν εἰρήνην ποιήσασθαι; ἀλλὰ μὴν οὐδ' ἐκείνους ἔγω- 16
γ' ἐπαινῶ οἵτινες ἀγωνισταὶ γενόμενοι καὶ νενικηκό-
τες ἤδη πολλάκις καὶ δόξαν ἔχοντες οὕτω φιλονικοῦ-
σιν ὥστε οὐ πρότερον παύονται, πρὶν ἂν ἡττηθέντες
τὴν ἄσκησιν καταλύσωσιν, οὐδέ γε τῶν κυβευτῶν
οἵτινες αὖ ἐὰν ἕν τι ἐπιτύχωσι, περὶ διπλασίων κυ-
βεύουσιν· ὁρῶ γὰρ καὶ τῶν τοιούτων τοὺς πλείους
ἀπόρους παντάπασι γιγνομένους. ἃ χρὴ καὶ ἡμᾶς 17
ὁρῶντας εἰς μὲν τοιοῦτον ἀγῶνα μηδέποτε καταστῆ-
ναι, ὥστ' ἢ πάντα λαβεῖν ἢ πάντ' ἀποβαλεῖν, ἕως δὲ καὶ
ἐρρώμεθα καὶ εὐτυχοῦμεν, φίλους ἀλλήλοις γενέσθαι.
οὕτω γὰρ ἡμεῖς τ' ἂν δι' ὑμᾶς καὶ ὑμεῖς δι' ἡμᾶς ἔτι
μείζους ἢ τὸν παρελθόντα χρόνον ἐν τῇ Ἑλλάδι ἀνα-
στρεφοίμεθα.

Δοξάντων δὲ τούτων καλῶς εἰπεῖν, ἐψηφίσαντο καὶ 18
οἱ Λακεδαιμόνιοι δέχεσθαι τὴν εἰρήνην, ἐφ' ᾧ τούς τε
ἁρμοστὰς ἐκ τῶν πόλεων ἐξάγειν, τά τε στρατόπεδα
διαλύειν καὶ τὰ ναυτικὰ καὶ τὰ πεζά, τάς τε πόλεις
αὐτονόμους ἐᾶν. εἰ δέ τις παρὰ ταῦτα ποιοίη, τὸν
μὲν βουλόμενον βοηθεῖν ταῖς ἀδικουμέναις πόλεσι, τῷ
δὲ μὴ βουλομένῳ μὴ εἶναι ἔνορκον συμμαχεῖν τοῖς ἀδι-
κουμένοις. ἐπὶ τούτοις ὤμοσαν Λακεδαιμόνιοι μὲν 19
ὑπὲρ αὐτῶν καὶ τῶν συμμάχων, Ἀθηναῖοι δὲ καὶ οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη

σύμμαχοι κατὰ πόλεις ἕκαστοι. ἀπογραψάμενοι δ' ἐν ταῖς ὀμωμοκυίαις πόλεσι καὶ οἱ Θηβαῖοι, προσελθόντες πάλιν τῇ ὑστεραίᾳ οἱ πρέσβεις αὐτῶν ἐκέλευον μεταγράφειν ἀντὶ Θηβαίων Βοιωτοὺς ὀμωμοκότας. ὁ δὲ Ἀγησίλαος ἀπεκρίνατο ὅτι μεταγράψει μὲν οὐδὲν ὧν τὸ πρῶτον ὤμοσάν τε καὶ ἀπεγράψαντο· εἰ μέντοι μὴ βούλοιντο ἐν ταῖς σπονδαῖς εἶναι, ἐξαλείφειν ἂν ἔφη,
20 εἰ κελεύοιεν. οὕτω δὴ εἰρήνην τῶν ἄλλων πεποιημένων, πρὸς δὲ Θηβαίους μόνους ἀντιλογίας οὔσης, οἱ μὲν Ἀθηναῖοι οὕτως εἶχον τὴν γνώμην ὡς νῦν Θηβαίους τὸ λεγόμενον δὴ δεκατευθῆναι ἐλπὶς εἴη, αὐτοὶ δὲ οἱ Θηβαῖοι παντελῶς ἀθύμως ἔχοντες ἀπῆλθον.

IV. Ἐκ δὲ τούτου οἱ μὲν Ἀθηναῖοι τάς τε φρουρὰς ἐκ τῶν πόλεων ἀπῆγον καὶ Ἰφικράτη καὶ τὰς ναῦς μετεπέμποντο, καὶ ὅσα ὕστερον ἔλαβε μετὰ τοὺς ὅρκους τοὺς ἐν Λακεδαίμονι γενομένους, πάντα ἠνάγκασαν
2 ἀποδοῦναι. Λακεδαιμόνιοι μέντοι ἐκ μὲν τῶν ἄλλων πόλεων τούς τε ἁρμοστὰς καὶ τοὺς φρουροὺς ἀπήγαγον, Κλεόμβροτον δὲ ἔχοντα τὸ ἐν Φωκεῦσι στράτευμα καὶ ἐπερωτῶντα τὰ οἴκοι τέλη τί χρὴ ποιεῖν, Προθόου λέξαντος ὅτι αὐτῷ δοκοίη διαλύσαντας τὸ στράτευμα κατὰ τοὺς ὅρκους καὶ περιαγγείλαντας ταῖς πόλεσι συμβαλέσθαι εἰς τὸν ναὸν τοῦ Ἀπόλλωνος ὁπόσον βούλοιτο ἑκάστη πόλις, ἔπειτα εἰ μή τις ἐῴη αὐτονόμους τὰς πόλεις εἶναι, τότε πάλιν παρακαλέσαντας, ὅσοι τῇ αὐτονομίᾳ βούλοιντο βοηθεῖν, ἄγειν ἐπὶ τοὺς ἐναντιουμένους· οὕτω γὰρ ἂν ἔφη οἴεσθαι τούς τε θεοὺς εὐμενεστάτους εἶναι καὶ τὰς πόλεις ἥκιστ'
3 ἂν ἄχθεσθαι· ἡ δ' ἐκκλησία ἀκούσασα ταῦτα ἐκεῖνον μὲν φλυαρεῖν ἡγήσατο· ἤδη γάρ, ὡς ἔοικε, τὸ δαιμόνιον ἦγεν· ἐπέστειλαν δὲ τῷ Κλεομβρότῳ μὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

διαλύειν τὸ στράτευμα, ἀλλ' εὐθὺς ἄγειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ αὐτονόμους ἀφίοιεν τὰς πόλεις. [ὁ δὲ Κλεόμβροτος, ἐπειδὴ ἐπύθετο τὴν εἰρήνην γεγενημένην, πέμψας πρὸς τοὺς ἐφόρους ἠρώτα τί χρὴ ποιεῖν· οἱ δ' ἐκέλευσαν αὐτὸν στρατεύειν ἐπὶ τοὺς Θηβαίους, εἰ μὴ ἀφίοιεν τὰς Βοιωτίας πόλεις αὐτονόμους.] ἐπεὶ οὖν ᾔσθετο οὐχ ὅπως τὰς πόλεις ἀφιέντας, ἀλλ' οὐδὲ τὸ στράτευμα διαλύοντας, [ὡς ἀντετάττοντο πρὸς αὐτούς,] οὕτω δὴ ἄγει τὴν στρατιὰν εἰς τὴν Βοιωτίαν. καὶ ᾗ μὲν οἱ Θηβαῖοι ἐμβαλεῖν αὐτὸν ἐκ τῶν Φωκέων προσεδόκων καὶ ἐπὶ στενῷ τινι ἐφύλαττον οὐκ ἐμβάλλει· διὰ Θισβῶν δὲ ὀρεινὴν καὶ ἀπροσδόκητον πορευθεὶς ἀφικνεῖται εἰς Κρεῦσιν, καὶ τὸ τεῖχος αἱρεῖ, καὶ τριήρεις τῶν Θηβαίων δώδεκα λαμβάνει. ταῦτα δὲ ποιή- 4
σας καὶ ἀναβὰς ἀπὸ τῆς θαλάττης, ἐστρατοπεδεύσατο ἐν Λεύκτροις τῆς Θεσπικῆς. οἱ δὲ Θηβαῖοι ἐστρατοπεδεύσαντο ἐπὶ τῷ ἀπαντικρὺ λόφῳ οὐ πολὺ διαλείποντες, οὐδένας ἔχοντες συμμάχους ἀλλ' ἢ τοὺς Βοιωτούς. ἔνθα δὴ τῷ Κλεομβρότῳ οἱ μὲν φίλοι προσιόντες ἔλεγον, Ὦ Κλεόμβροτε, εἰ ἀφήσεις τοὺς Θηβαίους ἄνευ 5
μάχης, κινδυνεύσεις ὑπὸ τῆς πόλεως τὰ ἔσχατα παθεῖν. ἀναμνησθήσονται γάρ σου καὶ ὅτε εἰς Κυνὸς κεφαλὰς ἀφικόμενος οὐδὲν τῆς χώρας τῶν Θηβαίων ἐδῄωσας, καὶ ὅτε ὕστερον στρατεύων ἀπεκρούσθης τῆς ἐμβολῆς, Ἀγησιλάου ἀεὶ ἐμβάλλοντος διὰ τοῦ Κιθαιρῶνος. εἴπερ οὖν ἢ σαυτοῦ κήδει ἢ τῆς πατρίδος ἐπιθυμεῖς, ἀκτέον ἐπὶ τοὺς ἄνδρας. οἱ μὲν φίλοι τοιαῦτα ἔλεγον· οἱ δ' ἐναντίοι, Νῦν δή, ἔφασαν, δηλώσει ὁ ἀνὴρ εἰ τῷ ὄντι κήδεται τῶν Θηβαίων, ὥσπερ λέγεται. ὁ μὲν δὴ Κλε- 6
όμβροτος ταῦτα ἀκούων παρωξύνετο πρὸς τὸ μάχην συνάπτειν. τῶν δ' αὖ Θηβαίων οἱ προεστῶτες ἐλογίζοντο ὡς εἰ μὴ μαχοῖντο, ἀποστήσοιντο μὲν αἱ περιοι-



Δημοτική Κεντρική Βιβλιοθήκη Βέρροιας

κίδες αὐτῶν πόλεις, αὐτοὶ δὲ πολιορκήσοιντο· εἰ δὲ μὴ
ἕξοι ὁ δῆμος ὁ Θηβαίων τἀπιτήδεια, ὅτι κινδυνεύσοι
καὶ ἡ πόλις αὐτοῖς ἐναντία γενέσθαι. ἅτε δὲ καὶ πε-
φευγότες πρόσθεν πολλοὶ αὐτῶν ἐλογίζοντο κρεῖττον
7 εἶναι μαχομένους ἀποθνήσκειν ἢ πάλιν φεύγειν. πρὸς
δὲ τούτοις παρεθάρρυνε μέν τι αὐτοὺς καὶ ὁ χρησμὸς
ὁ λεγόμενος ὡς δέοι ἐνταῦθα Λακεδαιμονίους ἡττηθῆ-
ναι ἔνθα τὸ τῶν παρθένων ἦν μνῆμα, αἳ λέγονται διὰ
τὸ βιασθῆναι ὑπὸ Λακεδαιμονίων τινῶν ἀποκτεῖναι
ἑαυτάς. καὶ ἐκόσμησαν δὴ τοῦτο τὸ μνῆμα οἱ Θηβαῖοι
πρὸ τῆς μάχης. ἀπηγγέλλετο δὲ καὶ ἐκ τῆς πόλεως αὐ-
τοῖς ὡς οἵ τε νεῴ πάντες αὐτόματοι ἀνεῴγοντο, αἵ τε
ἱέρειαι λέγοιεν ὡς νίκην οἱ θεοὶ φαίνοιεν. ἐκ δὲ τοῦ
Ἡρακλείου καὶ τὰ ὅπλα ἔφασαν ἀφανῆ εἶναι, ὡς τοῦ
Ἡρακλέους εἰς τὴν μάχην ἐξωρμημένου. οἱ μὲν δή τι-
νες λέγουσιν ὡς ταῦτα πάντα τεχνάσματα ἦν τῶν προ-
8 εστηκότων. εἰς δ' οὖν τὴν μάχην τοῖς μὲν Λακεδαιμο-
νίοις πάντα τἀναντία ἐγίγνετο, τοῖς δὲ πάντα καὶ ὑπὸ
τῆς τύχης κατωρθοῦτο. ἦν μὲν γὰρ μετ' ἄριστον τῷ
Κλεομβρότῳ ἡ τελευταία βουλὴ περὶ τῆς μάχης· ἐν δὲ
τῇ μεσημβρίᾳ ὑποπινόντων καὶ τὸν οἶνον παροξῦναί
9 τι αὐτοὺς ἔλεγον. ἐπεὶ δὲ ὡπλίζοντο ἑκάτεροι καὶ πρό-
δηλον ἤδη ἦν ὅτι μάχη ἔσοιτο, πρῶτον μὲν ἀπιέναι
ὡρμημένων ἐκ τοῦ Βοιωτίου στρατεύματος τῶν τὴν
ἀγορὰν παρεσκευακότων καὶ σκευοφόρων τινῶν καὶ
τῶν οὐ βουλομένων μάχεσθαι, περιιόντες κύκλῳ οἵ τε
μετὰ τοῦ Ἱέρωνος μισθοφόροι καὶ οἱ τῶν Φωκέων πελ-
τασταὶ καὶ τῶν ἱππέων Ἡρακλεῶται καὶ Φλιάσιοι ἐπι-
θέμενοι τοῖς ἀπιοῦσιν ἐπέστρεψάν τε αὐτοὺς καὶ κατε-
δίωξαν πρὸς τὸ στρατόπεδον τὸ τῶν Βοιωτῶν· ὥστε
πολὺ μὲν ἐποίησαν μεῖζόν τε καὶ ἀθροώτερον ἢ πρό-
10 σθεν τὸ τῶν Βοιωτῶν στράτευμα. ἔπειτα δέ, ἅτε καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

πεδίου ὄντος τοῦ μεταξύ, προυτάξαντο μὲν τῆς ἑαυτῶν φάλαγγος οἱ Λακεδαιμόνιοι τοὺς ἱππέας, ἀντετάξαντο δ' αὐτοῖς καὶ οἱ Θηβαῖοι τοὺς ἑαυτῶν. ἦν δὲ τὸ μὲν τῶν Θηβαίων ἱππικὸν μεμελετηκὸς διά τε τὸν πρὸς Ὀρχομενίους πόλεμον καὶ διὰ τὸν πρὸς Θεσπιέας, τοῖς δὲ Λακεδαιμονίοις κατ' ἐκεῖνον τὸν χρόνον πονηρότατον ἦν τὸ ἱππικόν. ἔτρεφον μὲν γὰρ τοὺς ἵππους οἱ 11 πλουσιώτατοι· ἐπεὶ δὲ φρουρὰ φανθείη, τότε ἧκεν ὁ συντεταγμένος· λαβὼν δ' ἂν τὸν ἵππον καὶ ὅπλα ὁποῖα δοθείη αὐτῷ ἐκ τοῦ παραχρῆμα ἂν ἐστρατεύετο· τῶν δ' αὖ στρατιωτῶν οἱ τοῖς σώμασιν ἀδυνατώτατοι καὶ ἥκιστα φιλότιμοι ἐπὶ τῶν ἵππων ἦσαν. τοιοῦτον μὲν 12 οὖν τὸ ἱππικὸν ἑκατέρων ἦν. τῆς δὲ φάλαγγος τοὺς μὲν Λακεδαιμονίους ἔφασαν εἰς τρεῖς τὴν ἐνωμοτίαν ἄγειν· τοῦτο δὲ συμβαίνειν αὐτοῖς οὐ πλέον ἢ εἰς δώδεκα τὸ βάθος. οἱ δὲ Θηβαῖοι οὐκ ἔλαττον ἢ ἐπὶ πεντήκοντα ἀσπίδων συνεστραμμένοι ἦσαν, λογιζόμενοι ὡς εἰ νικήσειαν τὸ περὶ τὸν βασιλέα, τὸ ἄλλο πᾶν εὐχείρωτον ἔσοιτο. ἐπεὶ δὲ ἤρξατο ἄγειν ὁ Κλεόμβροτος 13 πρὸς τοὺς πολεμίους, πρῶτον μὲν πρὶν καὶ αἰσθέσθαι τὸ μετ' αὐτοῦ στράτευμα ὅτι ἡγοῖτο, καὶ δὴ καὶ οἱ ἱππεῖς συνεβεβλήκεσαν καὶ ταχὺ ἥττηντο οἱ τῶν Λακεδαιμονίων· φεύγοντες δὲ ἐνεπεπτώκεσαν τοῖς ἑαυτῶν ὁπλίταις, ἔτι δὲ ἐνέβαλλον οἱ τῶν Θηβαίων λόχοι. ὅμως δὲ ὡς οἱ μὲν περὶ τὸν Κλεόμβροτον τὸ πρῶτον ἐκράτουν τῇ μάχῃ σαφεῖ τούτῳ τεκμηρίῳ γνοίη τις ἄν· οὐ γὰρ ἂν ἐδύναντο αὐτὸν ἀνελέσθαι καὶ ζῶντα ἀπενεγκεῖν, εἰ μὴ οἱ πρὸ αὐτοῦ μαχόμενοι ἐπεκράτουν ἐν ἐκείνῳ τῷ χρόνῳ. ἐπεὶ μέντοι ἀπέθανε Δείνων τε ὁ 14 πολέμαρχος καὶ Σφοδρίας τῶν περὶ δαμοσίαν καὶ Κλεώνυμος ὁ υἱὸς αὐτοῦ, καὶ οἱ μὲν ἵπποι καὶ οἱ συμφορεῖς τοῦ πολεμάρχου καλούμενοι οἵ τε ἄλλοι ὑπὸ



Δημόσια Κεντρική Βιβλιοθήκη Μ...

τοῦ ὄχλου ὠθούμενοι ἀνεχώρουν, οἱ δὲ τοῦ εὐωνύμου ὄντες τῶν Λακεδαιμονίων ὡς ἑώρων τὸ δεξιὸν ὠθούμενον, ἐνέκλιναν· ὅμως δὲ πολλῶν τεθνεώτων καὶ ἡττημένοι ἐπεὶ διέβησαν τὴν τάφρον ἣ πρὸ τοῦ στρατοπέδου ἔτυχεν οὖσα αὐτοῖς, ἔθεντο τὰ ὅπλα κατὰ χώραν ἔνθεν ὥρμηντο. ἦν μέντοι οὐ πάνυ ἐν ἐπιπέδῳ, ἀλλὰ πρὸς ὀρθίῳ μᾶλλόν τι τὸ στρατόπεδον. ἐκ δὲ τούτου ἦσαν μέν τινες τῶν Λακεδαιμονίων οἳ ἀφόρητον τὴν συμφορὰν ἡγούμενοι τό τε τρόπαιον ἔφασαν χρῆναι κωλύειν ἱστάναι τοὺς πολεμίους, τούς τε νεκροὺς μὴ ὑποσπόνδους, ἀλλὰ διὰ μάχης πειρᾶσθαι ἀναιρεῖσθαι.

15 οἱ δὲ πολέμαρχοι, ὁρῶντες μὲν τῶν συμπάντων Λακεδαιμονίων τεθνεῶτας ἐγγὺς χιλίους, ὁρῶντες δ' αὐτῶν Σπαρτιατῶν, ὄντων τῶν ἐκεῖ ὡς ἑπτακοσίων, τεθνηκότας περὶ τετρακοσίους, αἰσθανόμενοι δὲ τοὺς συμμάχους πάντας μὲν ἀθύμως ἔχοντας πρὸς τὸ μάχεσθαι, ἔστι δὲ οὓς αὐτῶν οὐδὲ ἀχθομένους τῷ γεγενημένῳ, συλλέξαντες τοὺς ἐπικαιριωτάτους ἐβουλεύοντο τί χρὴ ποιεῖν. ἐπεὶ δὲ πᾶσιν ἐδόκει ὑποσπόνδους τοὺς νεκροὺς ἀναιρεῖσθαι, οὕτω δὴ ἔπεμψαν κήρυκα περὶ σπονδῶν. οἱ μέντοι Θηβαῖοι μετὰ ταῦτα καὶ τρόπαιον ἐστήσαντο καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

16 Γενομένων δὲ τούτων, ὁ μὲν εἰς τὴν Λακεδαίμονα ἀγγελῶν τὸ πάθος ἀφικνεῖται γυμνοπαιδιῶν τε οὔσης τῆς τελευταίας καὶ τοῦ ἀνδρικοῦ χοροῦ ἔνδον ὄντος· οἱ δὲ ἔφοροι ἐπεὶ ἤκουσαν τὸ πάθος, ἐλυποῦντο μέν, ὥσπερ, οἶμαι, ἀνάγκη· τὸν μέντοι χορὸν οὐκ ἐξήγαγον, ἀλλὰ διαγωνίσασθαι εἴων. καὶ τὰ μὲν ὀνόματα πρὸς τοὺς οἰκείους ἑκάστου τῶν τεθνεώτων ἀπέδοσαν· προεῖπον δὲ ταῖς γυναιξὶ μὴ ποιεῖν κραυγήν, ἀλλὰ σιγῇ τὸ πάθος φέρειν. τῇ δ' ὑστεραίᾳ ἦν ὁρᾶν, ὧν μὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κίθνασαν οἱ προσήκοντες, λιπαροὺς καὶ φαιδροὺς ἐν τῷ φανερῷ ἀναστρεφομένους, ὧν δὲ ζῶντες ἠγγελμένοι ἦσαν, ὀλίγους ἂν εἶδες, τούτους δὲ σκυθρωποὺς καὶ ταπεινοὺς περιιόντας.

17 Ἐκ δὲ τούτου φρουρὰν μὲν ἔφαινον οἱ ἔφοροι ταῖν ὑπολοίποιν μόραιν μέχρι τῶν τετταράκοντα ἀφ' ἥβης· ἐξέπεμπον δὲ καὶ ἀπὸ τῶν ἔξω μορῶν μέχρι τῆς αὐτῆς ἡλικίας· τὸ γὰρ πρόσθεν εἰς τοὺς Φωκέας μέχρι τῶν πέντε καὶ τριάκοντα ἀφ' ἥβης ἐστράτευντο· καὶ τοὺς ἐπ' ἀρχαῖς δὲ τότε καταλειφθέντας ἀκολουθεῖν ἐκέλευον. 18 ὁ μὲν οὖν Ἀγησίλαος ἐκ τῆς ἀσθενείας οὔπω ἴσχυεν· ἡ δὲ πόλις Ἀρχίδαμον τὸν υἱὸν ἐκέλευεν αὐτοῦ ἡγεῖσθαι. προθύμως δ' αὐτῷ συνεστρατεύοντο Τεγεᾶται· ἔτι γὰρ ἔζων οἱ περὶ Στάσιππον, λακωνίζοντες καὶ οὐκ ἐλάχιστον δυνάμενοι ἐν τῇ πόλει. ἐρρωμένως δὲ καὶ οἱ Μαντινεῖς ἐκ τῶν κωμῶν συνεστρατεύοντο· ἀριστοκρατούμενοι γὰρ ἐτύγχανον. καὶ Κορίνθιοι δὲ καὶ Σικυώνιοι καὶ Φλιάσιοι καὶ Ἀχαιοὶ μάλα προθύμως ἠκολούθουν, καὶ ἄλλαι δὲ πόλεις ἐξέπεμπον στρατιώτας. ἐπλήρουν δὲ καὶ τριήρεις αὐτοί τε οἱ Λακεδαιμόνιοι καὶ Κορίνθιοι, καὶ ἐδέοντο καὶ Σικυωνίων συμπληροῦν, ἐφ' ὧν διενοοῦντο τὸ στράτευμα διαβιβάζειν. 19 καὶ ὁ μὲν δὴ Ἀρχίδαμος ἐθύετο ἐπὶ τῇ διαβάσει.

Οἱ δὲ Θηβαῖοι εὐθὺς μὲν μετὰ τὴν μάχην ἔπεμψαν εἰς Ἀθήνας ἄγγελον ἐστεφανωμένον, καὶ ἅμα μὲν τῆς νίκης τὸ μέγεθος ἔφραζον, ἅμα δὲ βοηθεῖν ἐκέλευον, λέγοντες ὡς νῦν ἐξείη Λακεδαιμονίους πάντων ὧν ἐπεποιήκεσαν αὐτοὺς τιμωρήσασθαι. 20 τῶν δὲ Ἀθηναίων ἡ βουλὴ ἐτύγχανεν ἐν ἀκροπόλει καθημένη. ἐπεὶ δ' ἤκουσαν τὸ γεγενημένον, ὅτι μὲν σφόδρα ἠνιάθησαν πᾶσι δῆλον ἐγένετο· οὔτε γὰρ ἐπὶ ξένια τὸν κήρυκα

Ψηφιακή Κεντρική Βιβλιοθήκη Ιδρύματος Ευγενίδου

ἐκάλεσαν, περί τε τῆς βοηθείας οὐδὲν ἀπεκρίναντο. καὶ
Ἀθήνηθεν μὲν οὕτως ἀπῆλθεν ὁ κῆρυξ. πρὸς μέντοι
Ἰάσονα, σύμμαχον ὄντα, ἔπεμπον σπουδῇ οἱ Θηβαῖοι,
κελεύοντες βοηθεῖν, διαλογιζόμενοι πῇ τὸ μέλλον ἀπο-
21 βήσοιτο. ὁ δ' εὐθὺς τριήρεις μὲν ἐπλήρου, ὡς βοηθή-
σων κατὰ θάλατταν, συλλαβὼν δὲ τό τε ξενικὸν καὶ
τοὺς περὶ αὐτὸν ἱππέας, καίπερ ἀκηρύκτῳ πολέμῳ τῶν
Φωκέων χρωμένων, πεζῇ διεπορεύθη εἰς τὴν Βοιωτίαν,
ἐν πολλαῖς τῶν πόλεων πρότερον ὀφθεὶς ἢ ἀγγελθεὶς
ὅτι πορεύοιτο. πρὶν οὖν συλλέγεσθαί τι πανταχόθεν
ἔφθανε πόρρω γιγνόμενος, δῆλον ποιῶν ὅτι πολλαχοῦ
22 τὸ τάχος μᾶλλον τῆς βίας διαπράττεται τὰ δέοντα. ἐπεὶ
δὲ ἀφίκετο εἰς τὴν Βοιωτίαν, λεγόντων τῶν Θηβαίων
ὡς καιρὸς εἴη ἐπιτίθεσθαι τοῖς Λακεδαιμονίοις, ἄνω-
θεν μὲν ἐκεῖνον σὺν τῷ ξενικῷ, σφᾶς δὲ ἀντιπροσώ-
πους, ἀπέτρεπεν αὐτοὺς ὁ Ἰάσων, διδάσκων ὡς καλοῦ
ἔργου γεγενημένου οὐκ ἄξιον αὐτοῖς εἴη διακινδυνεύ-
σαι, ὥστε ἢ ἔτι μείζω καταπρᾶξαι ἢ στερηθῆναι καὶ τῆς
23 γεγενημένης νίκης. οὐχ ὁρᾶτε, ἔφη, ὅτι καὶ ὑμεῖς, ἐπεὶ
ἐν ἀνάγκῃ ἐγένεσθε, ἐκρατήσατε; οἴεσθαι οὖν χρὴ καὶ
Λακεδαιμονίους ἄν, εἰ ἀναγκάζοιντο [ἐκγενέσθαι τοῦ
ζῆν], ἀπονοηθέντας διαμάχεσθαι. καὶ ὁ θεὸς δέ, ὡς ἔοι-
κε, πολλάκις χαίρει τοὺς μὲν μικροὺς μεγάλους ποιῶν,
24 τοὺς δὲ μεγάλους μικρούς. τοὺς μὲν οὖν Θηβαίους
τοιαῦτα λέγων ἀπέτρεπε τοῦ διακινδυνεύειν· τοὺς δ'
αὖ Λακεδαιμονίους ἐδίδασκεν οἷον μὲν εἴη ἡττημένον
στράτευμα, οἷον δὲ νενικηκός. εἰ δ' ἐπιλαθέσθαι, ἔφη,
βούλεσθε τὸ γεγενημένον πάθος, συμβουλεύω ἀνα-
πνεύσαντας καὶ ἀναπαυσαμένους καὶ μείζους γεγενη-
μένους τοῖς ἀηττήτοις οὕτως εἰς μάχην ἰέναι. νῦν δέ,
ἔφη, εὖ ἴστε ὅτι καὶ τῶν συμμάχων ὑμῖν εἰσὶν οἳ διαλέ-
γονται περὶ φιλίας τοῖς πολεμίοις· ἀλλὰ ἐκ παντὸς τρο-

του πειρᾶσθε σπονδὰς λαβεῖν. ταῦτα δ', ἔφη, ἐγὼ
προθυμοῦμαι, σῶσαι ὑμᾶς βουλόμενος διά τε τὴν τοῦ
πατρὸς φιλίαν πρὸς ὑμᾶς καὶ διὰ τὸ προξενεῖν ὑμῶν.
ἔλεγε μὲν οὖν τοιαῦτα, ἔπραττε δ' ἴσως ὅπως διάφοροι 25
καὶ οὗτοι ἀλλήλοις ὄντες ἀμφότεροι ἐκείνου δέοιντο.
οἱ μέντοι Λακεδαιμόνιοι, ἀκούσαντες αὐτοῦ, πράττειν
περὶ τῶν σπονδῶν ἐκέλευον· ἐπεὶ δ' ἀπηγγέλθη ὅτι
εἴησαν αἱ σπονδαί, παρήγγειλαν οἱ πολέμαρχοι δειπνή-
σαντας συνεσκευάσθαι πάντας, ὡς τῆς νυκτὸς πορευ-
σομένους, ὅπως ἅμα τῇ ἡμέρᾳ πρὸς τὸν Κιθαιρῶνα
ἀναβαίνοιεν. ἐπεὶ δ' ἐδείπνησαν, πρὶν καθεύδειν παρ-
αγγείλαντες ἀκολουθεῖν, ἡγοῦντο εὐθὺς ἀφ' ἑσπέρας
τὴν διὰ Κρεύσιος, τῷ λαθεῖν πιστεύοντες μᾶλλον ἢ
ταῖς σπονδαῖς. μάλα δὲ χαλεπῶς πορευόμενοι, οἷα δὴ 26
ἐν νυκτί τε καὶ ἐν φόβῳ ἀπιόντες καὶ χαλεπὴν ὁδόν,
εἰς Αἰγόσθενα τῆς Μεγαρικῆς ἀφικνοῦνται. ἐκεῖ δὲ
περιτυγχάνουσι τῷ μετὰ Ἀρχιδάμου στρατεύματι. ἔν-
θα δὴ ἀναμείνας, ἕως καὶ οἱ σύμμαχοι πάντες παρεγέ-
νοντο, ἀπῆγε πᾶν ὁμοῦ τὸ στράτευμα μέχρι Κορίνθου·
ἐκεῖθεν δὲ τοὺς μὲν συμμάχους ἀφῆκε, τοὺς δὲ πολί-
τας οἴκαδε ἀπήγαγεν.

Ὁ μέντοι Ἰάσων ἀπιὼν διὰ τῆς Φωκίδος Ὑαμπο- 27
λιτῶν μὲν τό τε προάστειον εἷλε καὶ τὴν χώραν ἐπόρ-
θησε καὶ ἀπέκτεινε πολλούς· τὴν δ' ἄλλην Φωκίδα
διῆλθεν ἀπραγμόνως. ἀφικόμενος δὲ εἰς Ἡράκλειαν
κατέβαλε τὸ Ἡρακλεωτῶν τεῖχος, δῆλον ὅτι οὐ τοῦτο
φοβούμενος, μή τινες ἀναπεπταμένης ταύτης τῆς παρ-
όδου πορεύσοιντο ἐπὶ τὴν ἐκείνου [δύναμιν], ἀλλὰ
μᾶλλον ἐνθυμούμενος μή τινες τὴν Ἡράκλειαν ἐπὶ
στενῷ οὖσαν καταλαβόντες εἴργοιεν αὐτόν, εἴ ποι βού-
λοιτο τῆς Ἑλλάδος πορεύεσθαι. ἐπεὶ δὲ ἀπῆλθε πάλιν 28
εἰς τὴν Θετταλίαν, μέγας μὲν ἦν καὶ διὰ τὸ νόμῳ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θετταλῶν ταγὸς καθεστάναι καὶ διὰ τὸ μισθοφόρους
πολλοὺς τρέφειν περὶ αὑτὸν καὶ πεζοὺς καὶ ἱππέας, καὶ
τούτους ἐκπεπονημένους ὡς ἂν κράτιστοι εἶεν· ἔτι δὲ
μείζων καὶ διὰ τὸ συμμάχους πολλοὺς τοὺς μὲν ἤδη
εἶναι αὐτῷ, τοὺς δὲ καὶ ἔτι βούλεσθαι γίγνεσθαι. μέ-
γιστος δ' ἦν τῶν καθ' αὑτὸν τῷ μηδ' ὑφ' ἑνὸς εὐκατα-
29 φρόνητος εἶναι. ἐπιόντων δὲ Πυθίων παρήγγειλε μὲν
B.C. 370. ταῖς πόλεσι βοῦς καὶ οἶς καὶ αἶγας καὶ ὗς παρασκευάζε-
σθαι ὡς εἰς τὴν θυσίαν· καὶ ἔφασαν πάνυ μετρίως
ἑκάστῃ πόλει ἐπαγγελλομένων γενέσθαι βοῦς μὲν οὐκ
ἐλάττους χιλίων, τὰ δὲ ἄλλα βοσκήματα πλείω ἢ μύ-
ρια. ἐκήρυξε δὲ καὶ νικητήριον χρυσοῦν στέφανον ἔσε-
σθαι, ἥτις τῶν πόλεων βοῦν ἡγεμόνα κάλλιστον τῷ
30 θεῷ θρέψειε. παρήγγειλε δὲ καὶ ὡς στρατευσομένοις
εἰς τὸν περὶ τὰ Πύθια χρόνον Θετταλοῖς παρασκευάζε-
σθαι· διενοεῖτο γάρ, ὡς ἔφασαν, καὶ τὴν πανήγυριν
τῷ θεῷ καὶ τοὺς ἀγῶνας αὐτὸς διατιθέναι. περὶ μέν-
τοι τῶν ἱερῶν χρημάτων ὅπως μὲν διενοεῖτο ἔτι καὶ
νῦν ἄδηλον· λέγεται δὲ ἐπερομένων τῶν Δελφῶν τί
χρὴ ποιεῖν, ἐὰν λαμβάνῃ τῶν τοῦ θεοῦ χρημάτων,
31 ἀποκρίνασθαι τὸν θεὸν ὅτι αὐτῷ μελήσει. ὁ δ' οὖν
ἀνὴρ τηλικοῦτος ὢν καὶ τοσαῦτα καὶ τοιαῦτα διανοού-
μενος, ἐξέτασιν πεποιηκὼς καὶ δοκιμασίαν τοῦ Φεραίων
ἱππικοῦ, καὶ ἤδη καθήμενος καὶ ἀποκρινόμενος, εἴ τις
δεόμενός του προσίοι, ὑπὸ νεανίσκων ἑπτὰ προσελ-
θόντων ὡς διαφερομένων τι ἀλλήλοις ἀποσφάττεται
32 καὶ κατακόπτεται. βοηθησάντων δὲ ἐρρωμένως τῶν
παραγενομένων δορυφόρων εἷς μὲν ἔτι τύπτων τὸν
Ἰάσονα λόγχῃ πληγεὶς ἀποθνήσκει· ἕτερος δὲ ἀναβαί-
νων ἐφ' ἵππον ἐγκαταληφθεὶς καὶ πολλὰ τραύματα λα-
βὼν ἀπέθανεν· οἱ δ' ἄλλοι ἀναπηδήσαντες ἐπὶ τοὺς
παρεσκευασμένους ἵππους ἀπέφυγον· ὅποι δὲ ἀφί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κοιντο τῶν Ἑλληνίδων πόλεων, ἐν ταῖς πλείσταις ἐτι-
μῶντο. ᾧ καὶ δῆλον ἐγένετο ὅτι ἰσχυρῶς ἔδεισαν οἱ
Ἕλληνες αὐτὸν μὴ τύραννος γένοιτο.
Ἀποθανόντος μέντοι ἐκείνου Πολύδωρος ἀδελφὸς 33
αὐτοῦ καὶ Πολύφρων ταγοὶ κατέστησαν. καὶ ὁ μὲν
Πολύδωρος, πορευομένων ἀμφοτέρων εἰς Λάρισαν,
νύκτωρ καθεύδων ἀποθνήσκει ὑπὸ Πολύφρονος τοῦ
ἀδελφοῦ, ὡς ἐδόκει· ὁ γὰρ θάνατος αὐτοῦ ἐξαπιναῖός
τε καὶ οὐκ ἔχων φανερὰν πρόφασιν ἐγένετο. ὁ δ' αὖ 34
Πολύφρων ἦρξε μὲν ἐνιαυτόν, κατεσκευάσατο δὲ τὴν
ταγείαν τυραννίδι ὁμοίαν. ἔν τε γὰρ Φαρσάλῳ τὸν
Πολυδάμαντα καὶ ἄλλους τῶν πολιτῶν ὀκτὼ τοὺς κρα-
τίστους ἀπέκτεινεν, ἔκ τε Λαρίσης πολλοὺς φυγάδας
ἐποίησε. ταῦτα δὲ ποιῶν καὶ οὗτος ἀποθνήσκει ὑπ' a.C. 369.
Ἀλεξάνδρου, ὡς τιμωροῦντος τῷ Πολυδώρῳ καὶ τὴν 35
τυραννίδα καταλύοντος. ἐπεὶ δ' αὐτὸς παρέλαβε τὴν
ἀρχήν, χαλεπὸς μὲν Θετταλοῖς ταγὸς ἐγένετο, χαλεπὸς
δὲ Θηβαίοις καὶ Ἀθηναίοις πολέμιος, ἄδικος δὲ λῃστὴς
καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. τοιοῦτος δ' ὢν καὶ a.C. 359.
αὐτὸς αὖ ἀποθνήσκει, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυ-
ναικὸς ἀδελφῶν, βουλῇ δὲ ὑπ' αὐτῆς ἐκείνης. τοῖς τε 36
γὰρ ἀδελφοῖς ἐξήγγειλεν ὡς ὁ Ἀλέξανδρος ἐπιβουλεύοι
αὐτοῖς καὶ ἔκρυψεν αὐτοὺς ἔνδον ὄντας ὅλην τὴν ἡμέ-
ραν, καὶ δεξαμένη μεθύοντα τὸν Ἀλέξανδρον, ἐπεὶ
κατεκοίμισεν, ὁ μὲν λύχνος ἐκάετο, τὸ δὲ ξίφος αὐτοῦ
ἐξήνεγκεν. ὡς δ' ᾔσθετο ὀκνοῦντας εἰσιέναι ἐπὶ τὸν
Ἀλέξανδρον τοὺς ἀδελφούς, εἶπεν ὡς εἰ μὴ ἤδη πρά-
ξοιεν, ἐξεγερεῖ αὐτόν. ὡς δ' εἰσῆλθον, ἐπισπάσασα
τὴν θύραν εἴχετο τοῦ ῥόπτρου, ἕως ἀπέθανεν ὁ ἀνήρ.
ἡ δὲ ἔχθρα λέγεται αὐτῇ πρὸς τὸν ἄνδρα γενέσθαι ὑπὸ 37
μέν τινων ὡς ἐπεὶ ἔδησε τὰ ἑαυτοῦ παιδικὰ ὁ Ἀλέξαν-
δρος, νεανίσκον ὄντα καλόν, δεηθείσης αὐτῆς λῦσαι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξαγαγὼν αὐτὸν ἀπέσφαξεν· οἱ δέ τινες ὡς ἐπεὶ παῖδε αὐτῷ οὐκ ἐγίγνοντο ἐκ ταύτης, ὅτι πέμπων εἰς Θή βας ἐμνήστευε τὴν Ἰάσονος γυναῖκα. τὰ μὲν οὐ αἴτια τῆς ἐπιβουλῆς ὑπὸ τῆς γυναικὸς οὕτω λέγε ται· τῶν δὲ ταῦτα πραξάντων ἄχρι οὗ ὅδε ὁ λόγο ἐγράφετο Τισίφονος πρεσβύτατος ὢν τῶν ἀδελφῶν τή ἀρχὴν εἶχε.

V. B.C. 370. Καὶ τὰ μὲν Θετταλικά, ὅσα περὶ Ἰάσονα ἐπράχθ καὶ μετὰ τὸν ἐκείνου θάνατον μέχρι τῆς Τισιφόνο ἀρχῆς, δεδήλωται· νῦν δ' ἐπάνειμι ἔνθεν ἐπὶ ταῦτ ἐξέβην. ἐπεὶ γὰρ Ἀρχίδαμος ἐκ τῆς ἐπὶ Λεῦκτρα βοη θείας ἀπήγαγε τὸ στράτευμα, ἐνθυμηθέντες οἱ Ἀθη ναῖοι ὅτι οἱ Πελοποννήσιοι ἔτι οἴονται χρῆναι ἀκολου θεῖν καὶ οὔπω διακέοιντο οἱ Λακεδαιμόνιοι ὥσπερ τοὺ Ἀθηναίους διέθεσαν, μεταπέμπονται τὰς πόλεις ὅσ βούλοιντο τῆς εἰρήνης μετέχειν ἣν βασιλεὺς κατέπεμ
2 ψεν. ἐπεὶ δὲ συνῆλθον, δόγμα ἐποιήσαντο μετὰ τῶ κοινωνεῖν βουλομένων ὀμόσαι τόνδε τὸν ὅρκον. Ἐμ μενῶ ταῖς σπονδαῖς ἃς βασιλεὺς κατέπεμψε καὶ το ψηφίσμασι τοῖς Ἀθηναίων καὶ τῶν συμμάχων. ἐὰν δ τις στρατεύῃ ἐπί τινα πόλιν τῶν ὀμοσασῶν τόνδε τὸ ὅρκον, βοηθήσω παντὶ σθένει. οἱ μὲν οὖν ἄλλοι πάν τες ἔχαιρον τῷ ὅρκῳ· Ἠλεῖοι δὲ ἀντέλεγον ὡς οὐ δέο αὐτονόμους ποιεῖν οὔτε Μαργανέας οὔτε Σκιλλουν τίους οὔτε Τριφυλίους· σφετέρας γὰρ εἶναι ταύτα
3 τὰς πόλεις. οἱ δ' Ἀθηναῖοι καὶ οἱ ἄλλοι ψηφισάμενο ὥσπερ βασιλεὺς ἔγραψεν, αὐτονόμους εἶναι ὁμοίω καὶ μικρὰς καὶ μεγάλας πόλεις, ἐξέπεμψαν τοὺς ὁρκω τάς, καὶ ἐκέλευσαν τὰ μέγιστα τέλη ἐν ἑκάστῃ πόλ ὁρκῶσαι. καὶ ὤμοσαν πάντες πλὴν Ἠλείων.

Ἐξ ὧν δὴ καὶ οἱ Μαντινεῖς, ὡς ἤδη αὐτόνομ παντάπασιν ὄντες, συνῆλθόν τε πάντες καὶ ἐψηφίσα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

το μίαν πόλιν τὴν Μαντίνειαν ποιεῖν καὶ τειχίζειν τὴν πόλιν. οἱ δ' αὖ Λακεδαιμόνιοι ἡγοῦντο, εἰ τοῦτο ἄνευ 4 τῆς σφετέρας γνώμης ἔσοιτο, χαλεπὸν ἔσεσθαι. πέμπουσιν οὖν Ἀγησίλαον πρεσβευτὴν πρὸς τοὺς Μαντινέας, ὅτι ἐδόκει πατρικὸς φίλος αὐτοῖς εἶναι. ἐπεὶ δὲ ἀφίκετο πρὸς αὐτούς, τὸν μὲν δῆμον τῶν Μαντινέων οἱ ἄρχοντες οὐκ ἤθελον συλλέξαι αὐτῷ, πρὸς δὲ σφᾶς ἐκέλευον λέγειν ὅτου δέοιτο. ὁ δὲ ὑπισχνεῖτο αὐτοῖς, ἐὰν νῦν ἐπίσχωσι τῆς τειχίσεως, ποιήσειν ὥστε μετὰ τῆς Λακεδαίμονος γνώμης καὶ μὴ δαπανηρῶς τειχισθῆναι τὸ τεῖχος. ἐπεὶ δὲ ἀπεκρίναντο ὅτι ἀδύνατον 5 εἴη ἐπισχεῖν, δόγματος γεγενημένου πάσῃ τῇ πόλει ἤδη τειχίζειν, ἐκ τούτου ὁ μὲν Ἀγησίλαος ἀπῄει ὀργιζόμενος· στρατεύειν γε μέντοι ἐπ' αὐτοὺς οὐ δυνατὸν ἐδόκει εἶναι, ἐπ' αὐτονομίᾳ τῆς εἰρήνης γεγενημένης. τοῖς δὲ Μαντινεῦσιν ἔπεμπον μὲν καὶ τῶν Ἀρκαδικῶν πόλεών τινες συντειχιοῦντας, οἱ δὲ Ἠλεῖοι καὶ ἀργυρίου τρία τάλαντα συνεβάλοντο αὐτοῖς εἰς τὴν περὶ τὸ τεῖχος δαπάνην. καὶ οἱ μὲν Μαντινεῖς περὶ ταῦτ' ἦσαν.

Τῶν δὲ Τεγεατῶν οἱ μὲν περὶ τὸν Καλλίβιον καὶ 6 Πρόξενον ἐνῆγον ἐπὶ τὸ συνιέναι τε πᾶν τὸ Ἀρκαδικόν, καὶ ὅ,τι νικῴη ἐν τῷ κοινῷ, τοῦτο κύριον εἶναι καὶ τῶν πόλεων· οἱ δὲ περὶ τὸν Στάσιππον ἔπραττον ἐᾶν τε κατὰ χώραν τὴν πόλιν καὶ τοῖς πατρίοις νόμοις χρῆσθαι. ἡττώμενοι δὲ οἱ περὶ τὸν Πρόξενον καὶ Καλ- 7 λίβιον ἐν τοῖς θεαροῖς, νομίσαντες, εἰ συνέλθοι ὁ δῆμος, πολὺ ἂν τῷ πλήθει κρατῆσαι, ἐκφέρονται τὰ ὅπλα. ἰδόντες δὲ τοῦτο οἱ περὶ τὸν Στάσιππον, καὶ αὐτοὶ ἀνθωπλίσαντο, καὶ ἀριθμῷ μὲν οὐκ ἐλάττους ἐγένοντο· ἐπεὶ μέντοι εἰς μάχην ὥρμησαν, τὸν μὲν Πρόξενον καὶ ἄλλους ὀλίγους μετ' αὐτοῦ ἀποκτείνουσι, τοὺς δ' ἄλλους τρεψάμενοι οὐκ ἐδίωκον· καὶ γὰρ τοι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὗτος ὁ Στάσιππος ἦν οἷος μὴ βούλεσθαι πολλοὺς ἀπο-
8 κτιννύναι τῶν πολιτῶν. οἱ δὲ περὶ τὸν Καλλίβιον ἀνα-
κεχωρηκότες ὑπὸ τὸ πρὸς Μαντινείας τεῖχος καὶ τὰς
πύλας, ἐπεὶ οὐκέτι αὐτοῖς οἱ ἐναντίοι ἐπεχείρουν, ἡσυ-
χίαν εἶχον ἠθροισμένοι. καὶ πάλαι μὲν ἐπεπόμφεσαν
ἐπὶ τοὺς Μαντινέας βοηθεῖν κελεύοντες· πρὸς δὲ τοὺς
περὶ Στάσιππον διελέγοντο περὶ συναλλαγῶν. ἐπεὶ δὲ
καταφανεῖς ἦσαν οἱ Μαντινεῖς προσιόντες, οἱ μὲν αὐ-
τῶν ἀναπηδῶντες ἐπὶ τὸ τεῖχος ἐκέλευον βοηθεῖν τὴν
ταχίστην, καὶ βοῶντες σπεύδειν διεκελεύοντο· ἄλλοι
9 δὲ ἀνοίγουσι τὰς πύλας αὐτοῖς. οἱ δὲ περὶ τὸν Στάσιπ-
πον ὡς ᾔσθοντο τὸ γιγνόμενον, ἐκπίπτουσι κατὰ τὰς
ἐπὶ τὸ Παλλάντιον φερούσας πύλας, καὶ φθάνουσι πρὶν
καταληφθῆναι ὑπὸ τῶν διωκόντων εἰς τὸν τῆς Ἀρτέ-
μιδος νεὼν καταφυγόντες, καὶ ἐγκλεισάμενοι ἡσυχίαν
εἶχον. οἱ δὲ μεταδιώξαντες ἐχθροὶ αὐτῶν ἀναβάντες
ἐπὶ τὸν νεὼν καὶ τὴν ὀροφὴν διελύοντες ἔπαιον ταῖς κε-
ραμῖσιν. οἱ δὲ ἐπεὶ ἔγνωσαν τὴν ἀνάγκην, παύεσθαι
τε ἐκέλευον καὶ ἐξιέναι ἔφασαν. οἱ δ' ἐναντίοι ὡς ὑπο-
χειρίους ἔλαβον αὐτούς, δήσαντες καὶ ἀναλαβόντες
ἐπὶ τὴν ἁρμάμαξαν ἀπήγαγον εἰς Τεγέαν. ἐκεῖ δὲ μετὰ
τῶν Μαντινέων καταγνόντες ἀπέκτειναν.
10 Τούτων δὲ γιγνομένων ἔφυγον εἰς Λακεδαίμονα
τῶν περὶ Στάσιππον Τεγεατῶν περὶ ὀκτακοσίους. με-
τὰ δὲ ταῦτα τοῖς Λακεδαιμονίοις ἐδόκει βοηθητέον εἶ-
ναι κατὰ τοὺς ὅρκους τοῖς τεθνεῶσί τε τῶν Τεγεα-
τῶν καὶ ἐκπεπτωκόσι· καὶ οὕτω στρατεύουσιν ἐπὶ
τοὺς Μαντινέας, ὡς παρὰ τοὺς ὅρκους σὺν ὅπλοις
ἐληλυθότων αὐτῶν ἐπὶ τοὺς Τεγεάτας. καὶ φρουρὰν
μὲν οἱ ἔφοροι ἔφαινον, Ἀγησίλαον δ' ἐκέλευεν ἡ πόλις
11 ἡγεῖσθαι. οἱ μὲν οὖν ἄλλοι Ἀρκάδες εἰς Ἀσέαν συνε-
λέγοντο· Ὀρχομενίων δὲ οὐκ ἐθελόντων κοινωνεῖν τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀρκαδικοῦ διὰ τὴν πρὸς Μαντινέας ἔχθραν, ἀλλὰ καὶ δεδεγμένων εἰς τὴν πόλιν τὸ ἐν Κορίνθῳ συνειλεγμένον ξενικόν, οὗ Πολύτροπος ἦρχεν, ἔμενον οἴκοι οἱ Μαντινεῖς τούτων ἐπιμελόμενοι. Ἡραιεῖς δὲ καὶ Λεπρεᾶται συνεστρατεύοντο τοῖς Λακεδαιμονίοις ἐπὶ τοὺς Μαντινέας. ὁ δὲ Ἀγησίλαος, ἐπεὶ ἐγένετο αὐτῷ τὰ διαβατήρια, εὐθὺς ἐχώρει ἐπὶ τὴν Ἀρκαδίαν. καὶ καταλαβὼν πόλιν ὅμορον οὖσαν Εὔταιαν, καὶ εὑρὼν ἐκεῖ τοὺς μὲν πρεσβυτέρους καὶ τὰς γυναῖκας καὶ τοὺς παῖδας οἰκοῦντας ἐν ταῖς οἰκίαις, τοὺς δ' ἐν τῇ στρατευσίμῳ ἡλικίᾳ οἰχομένους εἰς τὸ Ἀρκαδικόν, ὅμως οὐκ ἠδίκησε τὴν πόλιν, ἀλλ' εἴα τε αὐτοὺς οἰκεῖν, καὶ ὠνούμενοι ἐλάμβανον ὅσων δέοιντο· εἰ δέ τι καὶ ἡρπάσθη, ὅτε εἰσῄει εἰς τὴν πόλιν, ἐξευρὼν ἀπέδωκε. καὶ ἐπῳκοδόμει δὲ τὸ τεῖχος αὐτῶν ὅσα ἐδεῖτο, ἕωσπερ αὐτοῦ διέτριβεν ἀναμένων τοὺς μετὰ Πολυτρόπου μισθοφόρους. 12

Ἐν δὲ τούτῳ οἱ Μαντινεῖς στρατεύουσιν ἐπὶ τοὺς 13 Ὀρχομενίους. καὶ ἀπὸ μὲν τοῦ τείχους μάλα χαλεπῶς ἀπῆλθον, καὶ ἀπέθανόν τινες αὐτῶν· ἐπεὶ δὲ ἀποχωροῦντες ἐν τῇ Ἐλυμίᾳ ἐγένοντο, καὶ οἱ μὲν Ὀρχομένιοι ὁπλῖται οὐκέτι ἠκολούθουν, οἱ δὲ περὶ τὸν Πολύτροπον ἐπέκειντο καὶ μάλα θρασέως, ἐνταῦθα γνόντες οἱ Μαντινεῖς ὡς εἰ μὴ ἀποκρούσονται αὐτούς, ὅτι πολλοὶ σφῶν κατακοντισθήσονται, ὑποστρέψαντες ὁμόσε ἐχώρησαν τοῖς ἐπικειμένοις. καὶ ὁ μὲν Πολύτροπος μαχόμενος αὐτοῦ ἀποθνήσκει· τῶν δ' ἄλλων φευγόντων πάμπολλοι ἂν ἀπέθανον, εἰ μὴ οἱ Φλιάσιοι ἱππεῖς παραγενόμενοι καὶ εἰς τὸ ὄπισθεν περιελάσαντες τῶν Μαντινέων ἐπέσχον αὐτοὺς τῆς διώξεως. καὶ οἱ μὲν Μαντινεῖς ταῦτα πράξαντες οἴκαδε ἀπῆλθον. 14

Ὁ δὲ Ἀγησίλαος ἀκούσας ταῦτα, καὶ νομίσας οὐκ 15 ἂν ἔτι συμμῖξαι αὐτῷ τοὺς ἐκ τοῦ Ὀρχομενοῦ μισθο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φόρους, οὕτω προήει· καὶ τῇ μὲν πρώτῃ ἐν τῇ Τε-
γεάτιδι χώρᾳ ἐδειπνοποιήσατο, τῇ δ' ὑστεραίᾳ διαβαί-
νει εἰς τὴν Μαντινικήν, καὶ ἐστρατοπεδεύσατο ὑπὸ
τοῖς πρὸς ἑσπέραν ὄρεσι τῆς Μαντινείας· καὶ ἐκεῖ ἅμα
ἐδῄου τὴν χώραν καὶ ἐπόρθει τοὺς ἀγρούς. τῶν δὲ Ἀρ-
κάδων οἱ συλλεγέντες ἐν τῇ Ἀσέᾳ νυκτὸς παρῆλθον εἰς
16 τὴν Τεγέαν. τῇ δ' ὑστεραίᾳ ὁ μὲν Ἀγησίλαος ἀπέχων
Μαντινείας ὅσον εἴκοσι σταδίους ἐστρατοπεδεύσατο·
οἱ δ' ἐκ τῆς Τεγέας Ἀρκάδες, ἐχόμενοι τῶν μεταξὺ
Μαντινείας καὶ Τεγέας ὀρῶν, παρῆσαν μάλα πολλοὶ
ὁπλῖται, συμμῖξαι βουλόμενοι τοῖς Μαντινεῦσι· καὶ γὰρ
οἱ Ἀργεῖοι οὐ πανδημεὶ ἠκολούθουν αὐτοῖς· καὶ ἦσαν
μέν τινες οἳ τὸν Ἀγησίλαον ἔπειθον χωρὶς τούτοις ἐπι-
θέσθαι· ὁ δὲ φοβούμενος μὴ ἐν ὅσῳ πρὸς ἐκείνους πο-
ρεύοιτο, ἐκ τῆς πόλεως οἱ Μαντινεῖς ἐξελθόντες κατὰ
κέρας τε καὶ ἐκ τοῦ ὄπισθεν ἐπιπέσοιεν αὐτῷ, ἔγνω
κράτιστον εἶναι ἐᾶσαι συνελθεῖν αὐτούς, καὶ εἰ βού-
λοιντο μάχεσθαι, ἐκ τοῦ δικαίου καὶ φανεροῦ τὴν μά-
χην ποιεῖσθαι. καὶ οἱ μὲν δὴ Ἀρκάδες ὁμοῦ ἤδη ἐγε-
17 γένηντο. οἱ δ' ἐκ τοῦ Ὀρχομενοῦ πελτασταὶ καὶ οἱ τῶν
Φλιασίων ἱππεῖς μετ' αὐτῶν τῆς νυκτὸς διεξελθόντες
παρὰ τὴν Μαντίνειαν θυομένῳ τῷ Ἀγησιλάῳ πρὸ τοῦ
στρατοπέδου ἐπιφαίνονται ἅμα τῇ ἡμέρᾳ, καὶ ἐποίη-
σαν τοὺς μὲν ἄλλους εἰς τὰς τάξεις δραμεῖν, Ἀγησί-
λαον δ' ἐπαναχωρῆσαι πρὸς τὰ ὅπλα. ἐπεὶ δ' ἐκεῖνοι
μὲν ἐγνώσθησαν φίλοι ὄντες, Ἀγησίλαος δὲ ἐκεκαλ-
λιέρητο, ἐξ ἀρίστου προῆγε τὸ στράτευμα. ἑσπέρας δ'
ἐπιγιγνομένης ἔλαθε στρατοπεδευσάμενος εἰς τὸν ὄπι-
σθεν κόλπον τῆς Μαντινικῆς, μάλα σύνεγγυς καὶ κύ-
18 κλῳ ὄρη ἔχοντα. τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ ἐθύετο
μὲν πρὸ τοῦ στρατεύματος· ἰδὼν δὲ συλλεγομένους ἐκ
τῆς τῶν Μαντινέων πόλεως ἐπὶ τοῖς ὄρεσι τοῖς ὑπὲρ

τῆς οὐρᾶς τοῦ ἑαυτῶν στρατεύματος, ἔγνω ἐξακτέον
εἶναι τὴν ταχίστην ἐκ τοῦ κόλπου. εἰ μὲν οὖν αὐτὸς
ἀφηγοῖτο, ἐφοβεῖτο μὴ τῇ οὐρᾷ ἐπίθοιντο οἱ πολέμιοι·
ἡσυχίαν δὲ ἔχων καὶ τὰ ὅπλα πρὸς τοὺς πολεμίους φαί-
νων, ἀναστρέψαντας ἐκέλευε τοὺς ἀπ᾽ οὐρᾶς εἰς δόρυ
ὄπισθεν τῆς φάλαγγος ἡγεῖσθαι πρὸς αὐτόν· καὶ οὔ-
τως ἅμα ἔκ τε τοῦ στενοῦ ἐξῆγε καὶ ἰσχυροτέραν ἀεὶ
τὴν φάλαγγα ἐποιεῖτο. ἐπειδὴ δὲ ἐδεδίπλωτο ἡ φά- 19
λαγξ, οὕτως ἔχοντι τῷ ὁπλιτικῷ προελθὼν εἰς τὸ πε-
δίον ἐξέτεινε πάλιν ἐπ᾽ ἐννέα ἢ δέκα τὸ στράτευμα
ἀσπίδων. οἱ μέντοι Μαντινεῖς οὐκ ἔτι ἐξῇσαν· καὶ
γὰρ οἱ Ἠλεῖοι συστρατευόμενοι αὐτοῖς ἔπειθον μὴ
ποιεῖσθαι μάχην, πρὶν οἱ Θηβαῖοι παραγένοιντο· εὖ
δὲ εἰδέναι ἔφασαν ὅτι παρέσοιντο· καὶ γὰρ δέκα τά-
λαντα δεδανεῖσθαι αὐτοὺς παρὰ σφῶν εἰς τὴν βοήθει-
αν. οἱ μὲν δὴ Ἀρκάδες ταῦτα ἀκούσαντες ἡσυχίαν εἶ- 20
χον ἐν τῇ Μαντινείᾳ· ὁ δ᾽ Ἀγησίλαος καὶ μάλα βουλό-
μενος ἀπάγειν τὸ στράτευμα, καὶ γὰρ ἦν μέσος χειμών,
ὅμως ἐκεῖ κατέμεινε τρεῖς ἡμέρας, οὐ πολὺ ἀπέχων τῆς
τῶν Μαντινέων πόλεως, ὅπως μὴ δοκοίη φοβούμενος
σπεύδειν τὴν ἄφοδον. τῇ δὲ τετάρτῃ πρῳ ἀριστοποι-
ησάμενος ἀπῆγεν ὡς στρατοπεδευσόμενος ἔνθαπερ τὸ
πρῶτον ἀπὸ τῆς Εὐταίας ἐξώρμητο. ἐπεὶ δὲ οὐδεὶς 21
ἐφαίνετο τῶν Ἀρκάδων, ἦγε τὴν ταχίστην εἰς τὴν Εὔ-
ταιαν, καίπερ μάλα ὀψίζων, βουλόμενος ἀπαγαγεῖν
τοὺς ὁπλίτας πρὶν καὶ τὰ πυρὰ τῶν πολεμίων ἰδεῖν, ἵνα
μή τις εἴποι ὡς φεύγων ἀπαγάγοι. ἐκ γὰρ τῆς πρόσθεν
ἀθυμίας ἐδόκει τι ἀνειληφέναι τὴν πόλιν, ὅτι καὶ ἐνεβε-
βλήκει εἰς τὴν Ἀρκαδίαν καὶ δῃοῦντι τὴν χώραν οὐδεὶς
ἠθελήκει μάχεσθαι. ἐπεὶ δ᾽ ἐν τῇ Λακωνικῇ ἐγένετο,
τοὺς μὲν Σπαρτιάτας ἀπέλυσεν οἴκαδε, τοὺς δὲ περιοί-
κους ἀφῆκεν ἐπὶ τὰς ἑαυτῶν πόλεις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

22 Οἱ δὲ Ἀρκάδες, ἐπεὶ ὁ Ἀγησίλαος ἀπεληλύθει καὶ
a.C. 369. ᾔσθοντο διαλελυμένον αὐτῷ τὸ στράτευμα, αὐτοὶ δὲ ἠθροισμένοι ἐτύγχανον, στρατεύουσιν ἐπὶ τοὺς Ἡραιέας, ὅτι τε οὐκ ἤθελον τοῦ Ἀρκαδικοῦ μετέχειν καὶ ὅτι συνεισεβεβλήκεσαν εἰς τὴν Ἀρκαδίαν μετὰ τῶν Λακεδαιμονίων. ἐμβαλόντες δ' ἐνεπίμπρων τε τὰς οἰκίας καὶ ἔκοπτον τὰ δένδρα.

Ἐπεὶ δὲ οἱ Θηβαῖοι βεβοηθηκότες παρεῖναι ἐλέγοντο εἰς τὴν Μαντίνειαν, οὕτως ἀπαλλάττονται ἐκ τῆς
23 Ἡραίας καὶ συμμιγνύασι τοῖς Θηβαίοις. ὡς δ' ὁμοῦ ἐγένοντο, οἱ μὲν Θηβαῖοι καλῶς σφίσιν ᾤοντο ἔχειν, ἐπεὶ ἐβεβοηθήκεσαν μέν, πολέμιον δὲ οὐδένα ἔτι ἑώρων ἐν τῇ χώρᾳ, καὶ ἀπιέναι παρεσκευάζοντο· οἱ δὲ Ἀρκάδες καὶ Ἀργεῖοι καὶ Ἠλεῖοι ἔπειθον αὐτοὺς ἡγεῖσθαι ὡς τάχιστα εἰς τὴν Λακωνικήν, ἐπιδεικνύντες μὲν τὸ ἑαυτῶν πλῆθος, ὑπερεπαινοῦντες δὲ τὸ τῶν Θηβαίων στράτευμα. καὶ γὰρ οἱ μὲν Βοιωτοὶ ἐγυμνάζοντο πάντες περὶ τὰ ὅπλα, ἀγαλλόμενοι τῇ ἐν Λεύκτροις νίκῃ· ἠκολούθουν δ' αὐτοῖς καὶ Φωκεῖς ὑπήκοοι γεγενημένοι καὶ Εὐβοεῖς ἀπὸ πασῶν τῶν πόλεων καὶ Λοκροὶ ἀμφότεροι καὶ Ἀκαρνᾶνες καὶ Ἡρακλεῶται καὶ Μηλιεῖς· ἠκολούθουν δ' αὐτοῖς καὶ ἐκ Θετταλίας ἱππεῖς τε καὶ πελτασταί. ταῦτα δὴ συνειδόμενοι καὶ τὴν ἐν Λακεδαίμονι ἐρημίαν λέγοντες ἱκέτευον μηδαμῶς ἀποτρέπεσθαι, πρὶν ἐμβαλεῖν εἰς τὴν τῶν Λακε-
24 δαιμονίων χώραν. οἱ δὲ Θηβαῖοι ἤκουον μὲν ταῦτα, ἀντελογίζοντο δὲ ὅτι δυσεμβολωτάτη μὲν ἡ Λακωνικὴ ἐλέγετο εἶναι, φρουρὰς δὲ καθεστάναι ἐνόμιζον ἐπὶ τοῖς εὐπροσοδωτάτοις. καὶ γὰρ ἦν Ἰσχόλαος μὲν ἐν Οἰῷ τῆς Σκιρίτιδος, ἔχων νεοδαμώδεις τε φρουροὺς καὶ τῶν Τεγεατῶν φυγάδων τοὺς νεωτάτους περὶ τετρακοσίους· ἦν δὲ καὶ ἐπὶ Λεύκτρῳ ὑπὲρ τῆς Μαλεάτιδος

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλη φρουρά. ἐλογίζοντο δὲ καὶ τοῦτο οἱ Θηβαῖοι, ὡς
καὶ συνελθοῦσαν ἂν ταχέως τὴν τῶν Λακεδαιμονίων
δύναμιν καὶ μάχεσθαι ἂν αὐτοὺς οὐδαμοῦ ἄμεινον ἢ
ἐν τῇ ἑαυτῶν. ἃ δὴ πάντα λογιζόμενοι οὐ πάνυ προ-
πετεῖς ἦσαν εἰς τὸ ἰέναι εἰς τὴν Λακεδαίμονα. ἐπεὶ 25
μέντοι ἧκον ἔκ τε Καρυῶν λέγοντες τὴν ἐρημίαν καὶ
ὑπισχνούμενοι αὐτοὶ ἡγήσεσθαι, καὶ κελεύοντες, ἄν τι
ἐξαπατῶντες φαίνωνται, ἀποσφάττειν σφᾶς, παρῆσαν
δέ τινες καὶ τῶν περιοίκων ἐπικαλούμενοι καὶ φάσκον-
τες ἀποστήσεσθαι, εἰ μόνον φανείησαν εἰς τὴν χώραν,
ἔλεγον δὲ ὡς καὶ νῦν καλούμενοι οἱ περίοικοι ὑπὸ τῶν
Σπαρτιατῶν οὐκ ἐθέλοιεν βοηθεῖν· πάντα οὖν ταῦτα
ἀκούοντες καὶ παρὰ πάντων οἱ Θηβαῖοι ἐπείσθησαν,
καὶ αὐτοὶ μὲν κατὰ Καρύας ἐνέβαλον, οἱ δὲ Ἀρκάδες
κατὰ Οἰὸν τῆς Σκιρίτιδος. καὶ εἰ μὲν ἐπὶ τὰ δύσβατα 26
προελθὼν ὁ Ἰσχόλαος ὑφίστατο, οὐδένα ἂν ταύτῃ γ'
ἔφασαν ἀναβῆναι· νῦν δὲ βουλόμενος τοῖς Οἰάταις
συμμάχοις χρῆσθαι, ἔμεινεν ἐν τῇ κώμῃ· οἱ δὲ ἀνέβη-
σαν παμπληθεῖς Ἀρκάδες. ἐνταῦθα δὴ ἀντιπρόσωποι
μὲν μαχόμενοι οἱ περὶ τὸν Ἰσχόλαον ἐπεκράτουν· ἐπεὶ
δὲ καὶ ὄπισθεν καὶ ἐκ πλαγίου καὶ ἀπὸ τῶν οἰκιῶν ἀνα-
βαίνοντες ἔπαιον καὶ ἔβαλλον αὐτούς, ἐνταῦθα ὅ τε
Ἰσχόλαος ἀποθνήσκει καὶ οἱ ἄλλοι πάντες, εἰ μή τις ἀμ-
φιγνοηθεὶς διέφυγε. διαπραξάμενοι δὲ ταῦτα οἱ Ἀρκά- 27
δες ἐπορεύοντο πρὸς τοὺς Θηβαίους ἐπὶ τὰς Καρύας. οἱ
δὲ Θηβαῖοι ἐπεὶ ᾔσθοντο τὰ πεπραγμένα ὑπὸ τῶν Ἀρ-
κάδων, πολὺ δὴ θρασύτερον κατέβαινον. καὶ τὴν μὲν
Σελλασίαν εὐθὺς ἔκαον καὶ ἐπόρθουν· ἐπεὶ δὲ ἐν τῷ
πεδίῳ ἐγένοντο ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος, ἐνταῦθα
ἐστρατοπεδεύσαντο· τῇ δ' ὑστεραίᾳ ἐπορεύοντο. καὶ
διὰ μὲν τῆς γεφύρας οὐδ' ἐπεχείρουν διαβαίνειν ἐπὶ
τὴν πόλιν· καὶ γὰρ ἐν τῷ τῆς Ἀλέας ἱερῷ ἐφαίνοντο



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐναντίοι οἱ ὁπλῖται· ἐν δεξιᾷ δ' ἔχοντες τὸν Εὐρώταν
παρῆσαν κάοντες καὶ πορθοῦντες πολλῶν κἀγαθῶν
28 μεστὰς οἰκίας. τῶν δ' ἐκ τῆς πόλεως αἱ μὲν γυναῖκες
οὐδὲ τὸν καπνὸν ὁρῶσαι ἠνείχοντο, ἅτε οὐδέποτε ἰδοῦ-
σαι πολεμίους· οἱ δὲ Σπαρτιᾶται ἀτείχιστον ἔχοντες τὴν
πόλιν, ἄλλος ἄλλῃ διαταχθείς, μάλα ὀλίγοι καὶ ὄντες
καὶ φαινόμενοι ἐφύλαττον. ἔδοξε δὲ τοῖς τέλεσι καὶ
προειπεῖν τοῖς Εἵλωσιν, εἴ τις βούλοιτο ὅπλα λαμβά-
νειν καὶ εἰς τάξιν τίθεσθαι, τὰ πιστὰ λαμβάνειν ὡς
29 ἐλευθέρους ἐσομένους ὅσοι συμπολεμήσειαν. καὶ τὸ
μὲν πρῶτον ἔφασαν ἀπογράψασθαι πλέον ἢ ἑξακισχι-
λίους, ὥστε φόβον αὖ οὗτοι παρεῖχον συντεταγμένοι
καὶ λίαν ἐδόκουν πολλοὶ εἶναι· ἐπεὶ μέντοι ἔμενον μὲν
οἱ ἐξ Ὀρχομενοῦ μισθοφόροι, ἐβοήθησαν δὲ τοῖς Λα-
κεδαιμονίοις Φλιάσιοί τε καὶ Κορίνθιοι καὶ Ἐπιδαύριοι
καὶ Πελληνεῖς καὶ ἄλλαι δέ τινες τῶν πόλεων, ἤδη καὶ
30 τοὺς ἀπογεγραμμένους ἧττον ὠρρώδουν. ὡς δὲ προϊὸν
τὸ στράτευμα ἐγένετο κατ' Ἀμύκλας, ταύτῃ διέβαινον
τὸν Εὐρώταν. καὶ οἱ μὲν Θηβαῖοι, ὅπου στρατοπεδεύ-
οιντο, εὐθὺς ὧν ἔκοπτον δένδρων κατέβαλλον πρὸ τῶν
τάξεων ὡς ἐδύναντο πλεῖστα, καὶ οὕτως ἐφυλάττοντο·
οἱ δὲ Ἀρκάδες τούτων τε οὐδὲν ἐποίουν, καταλιπόντες
δὲ τὰ ὅπλα εἰς ἁρπαγὴν ἐπὶ τὰς οἰκίας ἐτρέποντο. ἐκ
τούτου δὴ ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ προῆλθον οἱ ἱππεῖς
εἰς τὸν ἱππόδρομον εἰς Γαιαόχου κατὰ τάξεις, οἵ τε Θη-
βαῖοι πάντες καὶ οἱ Ἠλεῖοι καὶ ὅσοι Φωκέων ἢ Θετ-
31 ταλῶν ἢ Λοκρῶν ἱππεῖς παρῆσαν. οἱ δὲ τῶν Λακεδαι-
μονίων ἱππεῖς, μάλα ὀλίγοι φαινόμενοι, ἀντιτεταγμέ-
νοι αὐτοῖς ἦσαν. ἐνέδραν δὲ ποιήσαντες ὁπλιτῶν τῶν
νεωτέρων ὅσον τριακοσίων ἐν τῇ τῶν Τυνδαριδῶν,
ἅμα οὗτοι μὲν ἐξέθεον, οἱ δ' ἱππεῖς ἤλαυνον· οἱ δὲ πο-
λέμιοι οὐκ ἐδέξαντο, ἀλλ' ἐνέκλιναν. ἰδόντες δὲ ταῦτα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλοὶ καὶ τῶν πεζῶν εἰς φυγὴν ὥρμησαν. ἐπεὶ μέν-
τοι οἵ τε διώκοντες ἐπαύσαντο καὶ τὸ τῶν Θηβαίων
στράτευμα ἔμενε, πάλιν δὴ κατεστρατοπεδεύσαντο.
καὶ τὸ μὲν μὴ πρὸς τὴν πόλιν προσβαλεῖν ἂν ἔτι αὐ- 32
τοὺς ἤδη τι ἐδόκει θαρραλεώτερον εἶναι· ἐκεῖθεν μέν-
τοι ἀπᾶραν τὸ στράτευμα ἐπορεύετο τὴν ἐφ' Ἕλος
καὶ Γύθειον. καὶ τὰς μὲν ἀτειχίστους τῶν πόλεων ἐνε-
πίμπρασαν, Γυθείῳ δέ, ἔνθα τὰ νεώρια τοῖς Λακεδαι-
μονίοις ἦν, καὶ προσέβαλλον τρεῖς ἡμέρας. ἦσαν δέ
τινες τῶν περιοίκων οἳ καὶ ἐπέθεντο καὶ συνεστρατεύ-
οντο τοῖς μετὰ Θηβαίων.
Ἀκούοντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐν φροντίδι 33
ἦσαν ὅ,τι χρὴ ποιεῖν περὶ Λακεδαιμονίων, καὶ ἐκκλη-
σίαν ἐποίησαν κατὰ δόγμα βουλῆς. ἔτυχον δὲ παρόν-
τες πρέσβεις Λακεδαιμονίων τε καὶ τῶν ἔτι ὑπολοίπων
συμμάχων αὐτοῖς. ὅθεν δὴ οἱ Λακεδαιμόνιοι Ἄρακος
καὶ Ὤκυλλος καὶ Φάραξ καὶ Ἐτυμοκλῆς καὶ Ὀλονθεὺς
σχεδὸν πάντες παραπλήσια ἔλεγον. ἀνεμίμνησκόν τε
γὰρ τοὺς Ἀθηναίους ὡς ἀεί ποτε ἀλλήλοις ἐν τοῖς με-
γίστοις καιροῖς παρίσταντο ἐπ' ἀγαθῷ· αὐτοί τε γὰρ
ἔφασαν τοὺς τυράννους συνεκβαλεῖν Ἀθήνηθεν, καὶ
Ἀθηναίους, ὅτε αὐτοὶ ἐπολιορκοῦντο ὑπὸ Μεσσηνίων,
προθύμως βοηθεῖν. ἔλεγον δὲ καὶ ὅσ' ἀγαθὰ εἴη, ὅτε 34
κοινῇ ἀμφότεροι ἔπραττον, ὑπομιμνήσκοντες μὲν ὡς
τὸν βάρβαρον κοινῇ ἀπεμαχέσαντο, ἀναμιμνήσκοντες
δὲ ὡς Ἀθηναῖοί τε ὑπὸ τῶν Ἑλλήνων ᾑρέθησαν ἡγε-
μόνες τοῦ ναυτικοῦ καὶ τῶν κοινῶν χρημάτων φύλα-
κες, τῶν Λακεδαιμονίων ταῦτα συμβουλομένων, αὐτοί
τε κατὰ γῆν ὁμολογουμένως ὑφ' ἁπάντων τῶν Ἑλλή-
νων ἡγεμόνες προκριθείησαν, συμβουλομένων αὖ
ταῦτα τῶν Ἀθηναίων. εἷς δὲ αὐτῶν καὶ ὧδέ πως εἶ- 35
πεν. Ἐὰν δὲ ὑμεῖς καὶ ἡμεῖς, ὦ ἄνδρες, ὁμονοήσω-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεν, νῦν ἐλπὶς τὸ πάλαι λεγόμενον δεκατευθῆναι Θηβαίους. οἱ μέντοι Ἀθηναῖοι οὐ πάνυ ἐδέξαντο, ἀλλὰ θροῦς τις τοιοῦτος διῆλθεν ὡς νῦν ταῦτα λέγοιεν, ὅτε δὲ εὖ ἔπραττον, ἐπέκειντο ἡμῖν. μέγιστον δὲ τῶν λεχθέντων παρὰ Λακεδαιμονίων ἐδόκει εἶναι ὅτι ἡνίκα κατεπολέμησαν αὐτούς, Θηβαίων βουλομένων ἀναστάτους ποιῆσαι τὰς Ἀθήνας, σφεῖς ἐμποδὼν γένοιν-
36 το. ὁ δὲ πλεῖστος ἦν λόγος ὡς κατὰ τοὺς ὅρκους βοηθεῖν δέοι· οὐ γὰρ ἀδικησάντων σφῶν ἐπιστρατεύοιεν οἱ Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν τοῖς Λακεδαιμονίοις, ἀλλὰ βοηθησάντων τοῖς Τεγεάταις, ὅτι οἱ Μαντινεῖς παρὰ τοὺς ὅρκους ἐπεστράτευσαν αὐτοῖς. διέθει οὖν καὶ κατὰ τούτους τοὺς λόγους θόρυβος ἐν τῇ ἐκκλησίᾳ· οἱ μὲν γὰρ δικαίως τοὺς Μαντινέας ἔφασαν βοηθῆσαι τοῖς περὶ Πρόξενον ἀποθανοῦσιν ὑπὸ τῶν περὶ τὸν Στάσιππον, οἱ δὲ ἀδικεῖν, ὅτι ὅπλα ἐπήνεγκαν Τεγεάταις.

37 Τούτων δὲ διοριζομένων ὑπ' αὐτῆς τῆς ἐκκλησίας, ἀνέστη Κλειτέλης Κορίνθιος καὶ εἶπε τάδε. Ἀλλὰ ταῦτα μέν, ὦ ἄνδρες Ἀθηναῖοι, ἴσως ἀντιλέγεται, τίνες ἦσαν οἱ ἄρξαντες ἀδικεῖν· ἡμῶν δέ, ἐπεὶ εἰρήνη ἐγένετο, ἔχει τις κατηγορῆσαι ἢ ὡς ἐπὶ πόλιν τινὰ ἐστρατεύσαμεν ἢ ὡς χρήματά τινων ἐλάβομεν ἢ ὡς γῆν ἀλλοτρίαν ἐδῃώσαμεν; ἀλλ' ὅμως οἱ Θηβαῖοι εἰς τὴν χώραν ἡμῶν ἐλθόντες καὶ δένδρα ἐκκεκόφασι καὶ οἰκίας κατακεκαύκασι καὶ χρήματα καὶ πρόβατα διηρπάκασι. πῶς οὖν, ἐὰν μὴ βοηθῆτε οὕτω περιφανῶς ἡμῖν ἀδικουμένοις, οὐ παρὰ τοὺς ὅρκους ποιήσετε; καὶ ταῦτα ὧν αὐτοὶ ἐπεμελήθητε ὅρκων ὅπως πᾶσιν ὑμῖν πάντες ἡμεῖς ὀμόσαιμεν; ἐνταῦθα μέντοι οἱ Ἀθηναῖοι ἐπεθορύβησαν ὡς ὀρθῶς τε καὶ δίκαια εἰρηκότος τοῦ Κλει-
38 τέλους. ἐπὶ δὲ τούτῳ ἀνέστη Προκλῆς Φλιάσιος καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶπεν· Ὅτι μέν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐκποδὼν γέ-
νοιντο Λακεδαιμόνιοι, ἐπὶ πρώτους ἂν ὑμᾶς στρατεύ-
σειαν οἱ Θηβαῖοι, πᾶσιν οἶμαι τοῦτο δῆλον εἶναι· τῶν
γὰρ ἄλλων μόνους ἂν ὑμᾶς οἴονται ἐμποδὼν γενέσθαι
τοῦ ἄρξαι αὐτοὺς τῶν Ἑλλήνων. εἰ δ' οὕτως ἔχει, ἐγὼ 39
μὲν οὐδὲν μᾶλλον Λακεδαιμονίοις ἂν ὑμᾶς ἡγοῦμαι
στρατεύσαντας βοηθῆσαι ἢ καὶ ὑμῖν αὐτοῖς. τὸ γὰρ
δυσμενεῖς ὄντας ὑμῖν Θηβαίους καὶ ὁμόρους οἰκοῦντας
ἡγεμόνας γενέσθαι τῶν Ἑλλήνων πολὺ οἶμαι χαλεπώ-
τερον ἂν ὑμῖν φανῆναι ἢ ὁπότε πόρρω τοὺς ἀντιπά-
λους εἴχετε. συμφορώτερόν γε μεντἂν ὑμῖν αὐτοῖς
βοηθήσαιτε ἐν ᾧ ἔτι εἰσὶν οἳ συμμαχοῖεν ἂν ἢ εἰ ἀπολο-
μένων αὐτῶν μόνοι ἀναγκάζοισθε διαμάχεσθαι πρὸς
τοὺς Θηβαίους. εἰ δέ τινες φοβοῦνται μὴ ἐὰν νῦν ἀνα- 40
φύγωσιν οἱ Λακεδαιμόνιοι, ἔτι ποτὲ πράγματα παρέ-
χωσιν ὑμῖν, ἐνθυμήθητε ὅτι οὐχ οὓς ἂν εὖ ἀλλ' οὓς ἂν
κακῶς τις ποιῇ φοβεῖσθαι δεῖ μή ποτε μέγα δυνασθῶ-
σιν. ἐνθυμεῖσθαι δὲ καὶ τάδε χρή, ὅτι κτᾶσθαι μέν τι
ἀγαθὸν καὶ ἰδιώταις καὶ πόλεσι προσήκει, ὅταν ἐρρω-
μενέστατοι ὦσιν, ἵνα ἔχωσιν, ἐάν ποτ' ἀδύνατοι γέ-
νωνται, ἐπικουρίαν τῶν προπεπονημένων. ὑμῖν δὲ 41
νῦν ἐκ θεῶν τινος καιρὸς παραγεγένηται, ἐὰν δεομέ-
νοις βοηθήσητε Λακεδαιμονίοις, κτήσασθαι τούτους
εἰς τὸν ἅπαντα χρόνον φίλους ἀπροφασίστους. καὶ
γὰρ δὴ οὐκ ἐπ' ὀλίγων μοι δοκοῦσι μαρτύρων νῦν ἂν
εὖ παθεῖν ὑφ' ὑμῶν· ἀλλ' εἴσονται μὲν ταῦτα θεοὶ οἱ
πάντα ὁρῶντες καὶ νῦν καὶ εἰς ἀεί, συνεπίστανται δὲ
τὰ γιγνόμενα οἵ τε σύμμαχοι καὶ οἱ πολέμιοι, πρὸς δὲ
τούτοις καὶ ἅπαντες Ἕλληνές τε καὶ βάρβαροι· οὐδενὶ
γὰρ τούτων ἀμελές. ὥστε εἰ κακοὶ φανείησαν περὶ 42
ὑμᾶς, τίς ἄν ποτε ἔτι πρόθυμος εἰς αὐτοὺς γένοιτο;
ἐλπίζειν δὲ χρὴ [ὡς] ἄνδρας ἀγαθοὺς μᾶλλον ἢ κακοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοὺς γενήσεσθαι· εἰ γάρ τινες ἄλλοι, καὶ οὗτοι δοκοῦσι διατετελεκέναι ἐπαίνου μὲν ὀρεγόμενοι, αἰσχρῶν
43 δὲ ἔργων ἀπεχόμενοι. πρὸς δὲ τούτοις ἐνθυμήθητε καὶ τάδε. εἴ ποτε πάλιν ἔλθοι τῇ Ἑλλάδι κίνδυνος ὑπὸ βαρβάρων, τίσιν ἂν μᾶλλον πιστεύσαιτε ἢ Λακεδαιμονίοις; τίνας δὲ ἂν παραστάτας ἥδιον τούτων ποιήσαισθε, ὧν γε καὶ οἱ ταχθέντες ἐν Θερμοπύλαις ἅπαντες εἵλοντο μαχόμενοι ἀποθανεῖν μᾶλλον ἢ ζῶντες ἐπεισφρέσθαι τὸν βάρβαρον τῇ Ἑλλάδι; πῶς οὖν οὐ δίκαιον ὧν τε ἕνεκα ἐγένοντο ἄνδρες ἀγαθοὶ μεθ' ὑμῶν καὶ ὧν ἐλπὶς καὶ αὖθις γενέσθαι πᾶσαν προθυμίαν εἰς
44 αὐτοὺς καὶ ὑμᾶς καὶ ἡμᾶς παρέχεσθαι; ἄξιον δὲ καὶ τῶν παρόντων συμμάχων αὐτοῖς ἕνεκα προθυμίαν ἐνδείξασθαι. εὖ γὰρ ἴστε ὅτι οἵπερ τούτοις πιστοὶ διαμένουσιν ἐν ταῖς συμφοραῖς, οὗτοι καὶ ὑμῖν αἰσχύνοιντ' ἂν μὴ ἀποδιδόντες χάριτας. εἰ δὲ μικραὶ δοκοῦμεν πόλεις εἶναι αἱ τοῦ κινδύνου μετέχειν αὐτοῖς ἐθέλουσαι, ἐνθυμήθητε ὅτι ἐὰν ἡ ὑμετέρα πόλις προσγένηται, οὐκέτι μικραὶ πόλεις ἐσόμεθα αἱ βοηθοῦσαι
45 αὐτοῖς. ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, πρόσθεν μὲν ἀκούων ἐζήλουν τήνδε τὴν πόλιν ὅτι πάντας καὶ τοὺς ἀδικουμένους καὶ τοὺς φοβουμένους ἐνθάδε καταφεύγοντας ἐπικουρίας ἤκουον τυγχάνειν· νῦν δ' οὐκέτ' ἀκούω, ἀλλ' αὐτὸς ἤδη παρὼν ὁρῶ Λακεδαιμονίους τε τοὺς ὀνομαστοτάτους καὶ μετ' αὐτῶν τοὺς πιστοτάτους φίλους αὐτῶν πρὸς ὑμᾶς τε ἥκοντας καὶ δεομέ-
46 νους αὖ ὑμῶν ἐπικουρῆσαι. ὁρῶ δὲ καὶ Θηβαίους, οἳ τότε οὐκ ἔπεισαν Λακεδαιμονίους ἐξανδραποδίσασθαι ὑμᾶς, νῦν δεομένους ὑμῶν περιιδεῖν ἀπολομένους τοὺς σώσαντας ὑμᾶς. τῶν μὲν οὖν ὑμετέρων προγόνων καλὸν λέγεται, ὅτε τοὺς Ἀργείων τελευτήσαντας ἐπὶ τῇ Καδμείᾳ οὐκ εἴασαν ἀτάφους γενέσθαι· ὑμῖν δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολὺ κάλλιον ἂν γένοιτο, εἰ τοὺς ἔτι ζῶντας Λακεδαι-
μονίων μήτε ὑβρισθῆναι μήτε ἀπολέσθαι ἐάσαιτε. κα- 47
λοῦ γε μὴν κἀκείνου ὄντος, ὅτε σχόντες τὴν Εὐρυ-
σθέως ὕβριν διεσώσατε τοὺς Ἡρακλέους παῖδας, πῶς
οὐκ ἐκείνου τόδε κάλλιον, εἰ μὴ μόνον τοὺς ἀρχηγέτας,
ἀλλὰ καὶ ὅλην τὴν πόλιν περισώσαιτε; πάντων δὲ κάλ-
λιστον, εἰ ψήφῳ ἀκινδύνῳ σωσάντων ὑμᾶς τότε τῶν
Λακεδαιμονίων, νῦν ὑμεῖς σὺν ὅπλοις τε καὶ διὰ κιν-
δύνων ἐπικουρήσετε αὐτοῖς. ὁπότε δὲ καὶ ἡμεῖς ἀγαλ- 48
λόμεθα οἱ συναγορεύοντες βοηθῆσαι ἀνδράσιν ἀγα-
θοῖς, ἦπου ὑμῖν γε τοῖς ἔργῳ δυναμένοις βοηθῆσαι
γενναῖα ἂν ταῦτα φανείη, εἰ πολλάκις καὶ φίλοι καὶ
πολέμιοι γενόμενοι Λακεδαιμονίοις μὴ ὧν ἐβλάβητε
μᾶλλον ἢ ὧν εὖ ἐπάθετε μνησθείητε καὶ χάριν ἀπο-
δοίητε αὐτοῖς μὴ ὑπὲρ ὑμῶν αὐτῶν μόνον, ἀλλὰ καὶ
ὑπὲρ πάσης τῆς Ἑλλάδος, ὅτι ἄνδρες ἀγαθοὶ ὑπὲρ αὐ-
τῆς ἐγένοντο.

Μετὰ ταῦτα ἐβουλεύοντο οἱ Ἀθηναῖοι, καὶ τῶν 49
μὲν ἀντιλεγόντων οὐκ ἠνείχοντο ἀκούοντες, ἐψηφί-
σαντο δὲ βοηθεῖν πανδημεί, καὶ Ἰφικράτη στρατηγὸν
εἵλοντο. ἐπεὶ δὲ τὰ ἱερὰ ἐγένετο καὶ παρήγγειλεν ἐν
Ἀκαδημείᾳ δειπνοποιεῖσθαι, πολλοὺς ἔφασαν προτέ-
ρους αὐτοῦ Ἰφικράτους ἐξελθεῖν. ἐκ δὲ τούτου ἡγεῖτο
μὲν ὁ Ἰφικράτης, οἱ δ' ἠκολούθουν, νομίζοντες ἐπὶ
καλόν τι ἔργον ἡγήσεσθαι. ἐπεὶ δὲ ἀφικόμενος εἰς Κό-
ρινθον διέτριβέ τινας ἡμέρας, εὐθὺς μὲν ἐπὶ ταύτῃ τῇ
διατριβῇ πρῶτον ἔψεγον αὐτόν· ὡς δ' ἐξήγαγέ ποτε,
προθύμως μὲν ἠκολούθουν ὅποι ἡγοῖτο, προθύμως
δ', εἰ πρὸς τεῖχος προσάγοι, προσέβαλλον. τῶν δ' ἐν 50
τῇ Λακεδαίμονι πολεμίων Ἀρκάδες μὲν καὶ Ἀργεῖοι
καὶ Ἠλεῖοι πολλοὶ ἀπεληλύθεσαν, ἅτε ὅμοροι οἰκοῦν-
τες, οἱ μὲν ἄγοντες οἱ δὲ φέροντες ὅ,τι ἡρπάκεσαν. οἱ

δὲ Θηβαῖοι καὶ οἱ ἄλλοι τὰ μὲν καὶ διὰ τοῦτο ἀπιέναι
ἐβούλοντο ἐκ τῆς χώρας, ὅτι ἑώρων ἐλάττονα τὴν
στρατιὰν καθ' ἡμέραν γιγνομένην, τὰ δέ, ὅτι σπανιώ-
τερα τὰ ἐπιτήδεια ἦν· τὰ μὲν γὰρ ἀνήλωτο, τὰ δὲ δι-
ήρπαστο, τὰ δὲ ἐξεκέχυτο, τὰ δὲ κατεκέκαυτο· πρὸς
δ' ἔτι καὶ χειμὼν ἦν, ὥστ' ἤδη πάντες ἀπιέναι ἐβού-
51 λοντο. ὡς δ' ἐκεῖνοι ἀπεχώρουν ἐκ τῆς Λακεδαίμονος,
οὕτω δὴ καὶ ὁ Ἰφικράτης τοὺς Ἀθηναίους ἀπῆγεν ἐκ
τῆς Ἀρκαδίας εἰς Κόρινθον. εἰ μὲν οὖν ἄλλο τι καλῶς
ἐστρατήγησεν, οὐ ψέγω· ἐκεῖνα μέντοι ἃ ἐν τῷ χρόνῳ
ἐκείνῳ ἔπραξε, πάντα εὑρίσκω τὰ μὲν μάτην, τὰ δὲ καὶ
ἀσυμφόρως πεπραγμένα αὐτῷ. ἐπιχειρήσας μὲν γὰρ
φυλάττειν ἐπὶ τῷ Ὀνείῳ, ὅπως μὴ δύναιντο οἱ Βοιωτοὶ
ἀπελθεῖν οἴκαδε, παρέλιπεν ἀφύλακτον τὴν καλλίστην
52 παρὰ Κεγχρείας πάροδον. μαθεῖν δὲ βουλόμενος εἰ
παρεληλυθότες εἶεν οἱ Θηβαῖοι τὸ Ὄνειον ἔπεμψε σκο-
ποὺς τούς τε Ἀθηναίων ἱππέας καὶ τοὺς Κορινθίων
ἅπαντας. καίτοι ἰδεῖν μὲν οὐδὲν ἧττον ὀλίγοι τῶν πολ-
λῶν ἱκανοί· εἰ δὲ δέοι ἀποχωρεῖν, πολὺ ῥᾷον τοῖς ὀλί-
γοις ἢ τοῖς πολλοῖς καὶ ὁδοῦ εὐπόρου τυχεῖν καὶ καθ'
ἡσυχίαν ἀποχωρῆσαι· τὸ δὲ πολλούς τε προσάγειν καὶ
ἥττονας τῶν ἐναντίων πῶς οὐ πολλὴ ἀφροσύνη; καὶ
γὰρ δὴ ἅτε ἐπὶ πολὺ παραταξάμενοι χωρίον οἱ ἱππεῖς
διὰ τὸ πολλοὶ εἶναι, ἐπεὶ ἔδει ἀποχωρεῖν, πολλῶν καὶ
χαλεπῶν χωρίων ἐπελάβοντο· ὥστε οὐκ ἔλαττον ἀπώ-
λοντο εἴκοσιν ἱππέων. καὶ τότε μὲν οἱ Θηβαῖοι ὅπως
ἐβούλοντο ἀπῆλθον.

---

[Z.]

I. Τῷ δ' ὑστέρῳ ἔτει Λακεδαιμονίων καὶ τῶν συμμα-
a.C. 369. χων πρέσβεις ἦλθον αὐτοκράτορες Ἀθήναζε, βουλευ

σόμενοι καθ' ὅ,τι ἡ συμμαχία Λακεδαιμονίοις καὶ Ἀθηναίοις ἔσοιτο. λεγόντων δὲ πολλῶν μὲν ξένων, πολλῶν δὲ Ἀθηναίων, ὡς δέοι ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις τὴν συμμαχίαν εἶναι, Προκλῆς Φλιάσιος εἶπε τόνδε τὸν λόγον.

Ἐπείπερ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀγαθὸν ὑμῖν ἔδοξεν 2
εἶναι Λακεδαιμονίους φίλους ποιεῖσθαι, δοκεῖ μοι χρῆναι τοῦτο σκοπεῖν, ὅπως ἡ φιλία ὅτι πλεῖστον χρόνον συμμενεῖ. ἐὰν οὖν ᾗ ἑκατέροις μάλιστα συνοίσει, ταύτῃ καὶ τὰς συνθήκας ποιησώμεθα, οὕτω κατά γε τὸ εἰκὸς μάλιστα συμμένοιεν ἄν. τὰ μὲν οὖν ἄλλα σχεδόν τι συνωμολόγηται, περὶ δὲ τῆς ἡγεμονίας νῦν ἡ σκέψις. τῇ μὲν οὖν βουλῇ προβεβούλευται ὑμετέραν μὲν εἶναι τὴν κατὰ θάλατταν, Λακεδαιμονίων δὲ τὴν κατὰ γῆν· ἐμοὶ δὲ καὶ αὐτῷ δοκεῖ ταῦτα οὐκ ἀνθρωπίνῃ μᾶλλον ἢ θείᾳ φύσει τε καὶ τύχῃ διωρίσθαι. πρῶτον μὲν γὰρ 3
τόπον ἔχετε κάλλιστα πεφυκότα πρὸς τοῦτο· πλεῖσται γὰρ πόλεις τῶν δεομένων τῆς θαλάττης περὶ τὴν ὑμετέραν πόλιν οἰκοῦσι, καὶ αὗται πᾶσαι ἀσθενέστεραι τῆς ὑμετέρας. πρὸς τούτοις δὲ λιμένας ἔχετε, ὧν ἄνευ οὐχ οἷόν τε ναυτικῇ δυνάμει χρῆσθαι. ἔτι δὲ τριήρεις κέκτησθε πολλάς, καὶ πάτριον ὑμῖν ἐστι ναυτικὸν ἐπικτᾶσθαι. ἀλλὰ μὴν τάς γε τέχνας τὰς περὶ ταῦτα πά- 4
σας οἰκείας ἔχετε. καὶ μὴν ἐμπειρίᾳ γε πολὺ προέχετε τῶν ἄλλων περὶ τὰ ναυτικά· ὁ γὰρ βίος τοῖς πλείστοις ὑμῶν ἀπὸ τῆς θαλάττης· ὥστε τῶν ἰδίων ἐπιμελόμενοι ἅμα καὶ τῶν κατὰ θάλατταν ἀγώνων ἔμπειροι γίγνεσθε. ἔτι δὲ καὶ τόδε· οὐδαμόθεν ἂν τριήρεις πλείους ἀθρόαι ἐκπλεύσειαν ἢ παρ' ὑμῶν. ἔστι δὲ τοῦτο οὐκ ἐλάχιστον πρὸς ἡγεμονίαν· πρὸς γὰρ τὸ πρῶτον ἰσχυρὸν γενόμενον ἥδιστα πάντες συλλέγονται. ἔτι δὲ 5
καὶ ἀπὸ τῶν θεῶν δέδοται ὑμῖν εὐτυχεῖν ἐν τούτῳ·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλείστους γὰρ καὶ μεγίστους ἀγῶνας ἠγωνισμένοι κα-
τὰ θάλατταν ἐλάχιστα μὲν ἀποτετυχήκατε, πλεῖστα δὲ
κατωρθώκατε. εἰκὸς οὖν καὶ τοὺς συμμάχους μεθ'
ὑμῶν ἂν ἥδιστα τούτου τοῦ κινδύνου μετέχειν. ὡς δὲ
δὴ καὶ ἀναγκαία καὶ προσήκουσα ὑμῖν αὕτη ἡ ἐπιμέ-
6 λεια ἐκ τῶνδε ἐνθυμήθητε. Λακεδαιμόνιοι ὑμῖν ἐπο-
λέμουν ποτὲ πολλὰ ἔτη, καὶ κρατοῦντες τῆς χώρας οὐ-
δὲν προύκοπτον εἰς τὸ ἀπολέσαι ὑμᾶς. ἐπεὶ δ' ὁ θεὸς
ἔδωκέ ποτε αὐτοῖς κατὰ θάλατταν ἐπικρατῆσαι, εὐθὺς
ὑπ' ἐκείνοις παντελῶς ἐγένεσθε. οὐκοῦν εὔδηλον ἐν
τούτοις ἐστὶν ὅτι ἐκ τῆς θαλάττης ἅπασα ὑμῖν ἤρτηται
7 ἡ σωτηρία. οὕτως οὖν πεφυκότων πῶς ἂν ἔχοι καλῶς
ὑμῖν Λακεδαιμονίοις ἐπιτρέψαι κατὰ θάλατταν ἡγεῖ-
σθαι, οἳ πρῶτον μὲν καὶ αὐτοὶ ὁμολογοῦσιν ἀπειρότε-
ροι ὑμῶν τούτου τοῦ ἔργου εἶναι, ἔπειτα δ' οὐ περὶ
τῶν ἴσων ὁ κίνδυνός ἐστιν ἐν τοῖς κατὰ θάλατταν ἀγῶ-
σιν, ἀλλ' ἐκείνοις μὲν περὶ τῶν ἐν ταῖς τριήρεσι μόνον
ἀνθρώπων, ὑμῖν δὲ καὶ περὶ παίδων καὶ γυναικῶν καὶ
8 ὅλης τῆς πόλεως. καὶ τὰ μὲν δὴ ὑμέτερα οὕτως ἔχει·
τὰ δὲ δὴ τῶν Λακεδαιμονίων ἐπισκέψασθε. πρῶτον μὲν
γὰρ οἰκοῦσιν ἐν μεσογείᾳ· ὥστε τῆς γῆς κρατοῦντες
καὶ εἰ θαλάττης εἴργοιντο, δύναιντ' ἂν καλῶς διαζῆν.
ἐγνωκότες οὖν καὶ οὗτοι ταῦτα εὐθὺς ἐκ παίδων πρὸς
τὸν κατὰ γῆν πόλεμον τὴν ἄσκησιν ποιοῦνται. καὶ τὸ
πλείστου δ' ἄξιον, τὸ πείθεσθαι τοῖς ἄρχουσιν, οὗτοι
9 μὲν κράτιστοι κατὰ γῆν, ὑμεῖς δὲ κατὰ θάλατταν. ἔπει-
τα δὲ ὥσπερ ὑμεῖς ναυτικῷ, οὕτως αὖ ἐκεῖνοι κατὰ
γῆν πλεῖστοι καὶ τάχιστ' ἂν ἐξέλθοιεν· ὥστε πρὸς
τούτους αὖ εἰκὸς τοὺς συμμάχους εὐθαρσεστάτους
προσιέναι. ἔτι δὲ καὶ ὁ θεὸς αὐτοῖς δέδωκεν, ὥσπερ
ὑμῖν κατὰ θάλατταν εὐτυχεῖν, οὕτως ἐκείνοις κατὰ γῆν·
πλείστους γὰρ αὖ οὗτοι ἀγῶνας ἐν τῇ γῇ ἠγωνισμένοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλάχιστα μὲν ἐσφαλμένοι εἰσί, πλεῖστα δὲ κατωρθω-
κότες. ὡς δὲ καὶ ἀναγκαία οὐδὲν ἧττον τούτοις ἡ κατὰ 10
γῆν ἐπιμέλεια ἢ ὑμῖν ἡ κατὰ θάλατταν ἐκ τῶν ἔργων
ἔξεστι γιγνώσκειν. ὑμεῖς γὰρ τούτοις πολλὰ ἔτη πολε-
μοῦντες καὶ πολλάκις καταναυμαχοῦντες οὐδὲν προὔρ-
γου ἐποιεῖτε πρὸς τὸ τούτους καταπολεμῆσαι· ἐπεὶ δ'
ἅπαξ ἡττήθησαν ἐν τῇ γῇ, εὐθὺς καὶ περὶ παίδων καὶ
περὶ γυναικῶν καὶ περὶ ὅλης τῆς πόλεως ὁ κίνδυνος
αὐτοῖς ἐγένετο. πῶς οὖν οὐ τούτοις αὖ δεινὸν ἄλλοις 11
μὲν ἐπιτρέπειν κατὰ γῆν ἡγεῖσθαι, αὐτοὺς δὲ ἄριστα
τῶν κατὰ γῆν ἐπιμελεῖσθαι; ἐγὼ μὲν οὖν, ὥσπερ τῇ
βουλῇ προβεβούλευται, ταῦτα εἴρηκά τε καὶ συμφο-
ρώτατα ἡγοῦμαι ἀμφοῖν εἶναι· ὑμεῖς δὲ εὐτυχοῖτε τὰ
κράτιστα πᾶσιν ἡμῖν βουλευσάμενοι.

Ὁ μὲν ταῦτ' εἶπεν. οἱ δ' Ἀθηναῖοί τε καὶ οἱ τῶν 12
Λακεδαιμονίων παρόντες ἐπῄνεσαν ἀμφότεροι ἰσχυρῶς
τὸν λόγον αὐτοῦ. Κηφισόδοτος δὲ παρελθών, Ἄνδρες
Ἀθηναῖοι, ἔφη, οὐκ αἰσθάνεσθε ἐξαπατώμενοι· ἀλλ'
ἐὰν ἀκούσητέ μου, ἐγὼ ὑμῖν αὐτίκα μάλα ἐπιδείξω.
ἤδη γὰρ ἡγήσεσθε κατὰ θάλατταν· Λακεδαιμόνιοι δὲ
ὑμῖν ἐὰν συμμαχῶσι, δῆλον ὅτι πέμψουσι τοὺς μὲν
τριηράρχους Λακεδαιμονίους καὶ ἴσως τοὺς ἐπιβάτας,
οἱ δὲ ναῦται δῆλον ὅτι ἔσονται ἢ Εἵλωτες ἢ μισθοφό-
ροι. οὐκοῦν ὑμεῖς μὲν τούτων ἡγήσεσθε. οἱ δὲ Λακε- 13
δαιμόνιοι ὅταν παραγγείλωσιν ὑμῖν κατὰ γῆν στρατεί-
αν, δῆλον ὅτι πέμψετε τοὺς ὁπλίτας καὶ τοὺς ἱππέας.
οὐκοῦν οὕτως ἐκεῖνοι μὲν ὑμῶν αὐτῶν γίγνονται ἡγε-
μόνες, ὑμεῖς δὲ τῶν ἐκείνων δούλων καὶ ἐλαχίστου
ἀξίων. ἀπόκριναι δή μοι, ἔφη, ὦ Λακεδαιμόνιε Τι-
μόκρατες, οὐκ ἄρτι ἔλεγες ὡς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις
ἥκοις τὴν συμμαχίαν ποιούμενος; Εἶπον ταῦτα. Ἔστιν 14
οὖν, ἔφη ὁ Κηφισόδοτος, ἰσαίτερον ἢ ἐν μέρει μὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἑκατέρους ἡγεῖσθαι τοῦ ναυτικοῦ, ἐν μέρει δὲ τοῦ πε-
ζοῦ, καὶ ὑμᾶς τε, εἴ τι ἀγαθόν ἐστιν ἐν τῇ κατὰ θά-
λατταν ἀρχῇ, τούτων μετέχειν, καὶ ἡμᾶς ἐν τῇ κατὰ
γῆν; ἀκούσαντες ταῦτα οἱ Ἀθηναῖοι μετεπείσθησαν,
καὶ ἐψηφίσαντο κατὰ πενθήμερον ἑκατέρους ἡγεῖσθαι.
15 Στρατευομένων δ' ἀμφοτέρων αὐτῶν καὶ τῶν
a.C. 368. συμμάχων εἰς Κόρινθον ἔδοξε κοινῇ φυλάττειν τὸ
Ὄνειον. καὶ ἐπεὶ ἐπορεύοντο οἱ Θηβαῖοι καὶ οἱ σύμμα-
χοι, παραταξάμενοι ἐφύλαττον ἄλλοι ἄλλοθι τοῦ
Ὀνείου, Λακεδαιμόνιοι δὲ καὶ Πελληνεῖς κατὰ τὸ ἐπι-
μαχώτατον. οἱ δὲ Θηβαῖοι καὶ οἱ σύμμαχοι ἐπεὶ ἀπεῖ-
χον τῶν φυλαττόντων τριάκοντα στάδια, κατεστρατο-
πεδεύσαντο ἐν τῷ πεδίῳ. συντεκμηράμενοι δὲ ἡνίκ'
ἂν ᾤοντο ὁρμηθέντες κατανύσαι ἅμα κνέφᾳ πρὸς τὴν
16 τῶν Λακεδαιμονίων φυλακὴν ἐπορεύοντο. καὶ μέντοι
οὐκ ἐψεύσθησαν τῆς ὥρας, ἀλλ' ἐπιπίπτουσι τοῖς Λα-
κεδαιμονίοις καὶ τοῖς Πελληνεῦσιν ἡνίκα αἱ μὲν νυκτε-
ριναὶ φυλακαὶ ἤδη ἔληγον, ἐκ δὲ τῶν στιβάδων ἀνί-
σταντο ὅποι ἐδεῖτο ἕκαστος. ἐνταῦθα οἱ Θηβαῖοι προσ-
πεσόντες ἔπαιον παρεσκευασμένοι ἀπαρασκεύους καὶ
17 συντεταγμένοι ἀσυντάκτους. ὡς δὲ οἱ σωθέντες ἐκ
τοῦ πράγματος ἀπέφυγον ἐπὶ τὸν ἐγγύτατα λόφον,
ἐξὸν τῷ Λακεδαιμονίων πολεμάρχῳ λαβόντι ὁπόσους
μὲν ἐβούλετο τῶν συμμάχων ὁπλίτας, ὁπόσους δὲ πελ-
ταστάς, κατέχειν τὸ χωρίον, καὶ γὰρ τὰ ἐπιτήδεια
ἐξῆν ἀσφαλῶς ἐκ Κεγχρειῶν κομίζεσθαι, οὐκ ἐποίησε
ταῦτα, ἀλλὰ μάλα ἀπορούντων τῶν Θηβαίων πῶς χρὴ
ἐκ τοῦ πρὸς Σικυῶνα βλέποντος καταβῆναι ἢ πάλιν
ἀπελθεῖν, σπονδὰς ποιησάμενος, ὡς τοῖς πλείστοις
ἐδόκει, πρὸς Θηβαίων μᾶλλον ἢ πρὸς ἑαυτῶν, οὕτως
ἀπῆλθε καὶ τοὺς μεθ' αὑτοῦ ἀπήγαγεν.
18 Οἱ δὲ Θηβαῖοι ἀσφαλῶς καταβάντες καὶ συμμίξαν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες τοῖς ἑαυτῶν συμμάχοις, Ἀρκάσι τε καὶ Ἀργείοις καὶ Ἠλείοις, εὐθὺς μὲν προσέβαλον πρὸς Σικυῶνα καὶ Πελλήνην· στρατευσάμενοι δὲ εἰς Ἐπίδαυρον ἐδῄωσαν αὐτῶν πᾶσαν τὴν χώραν. ἀναχωροῦντες δὲ ἐκεῖθεν μάλα πάντων ὑπεροπτικῶς τῶν ἐναντίων, ὡς ἐγένοντο ἐγγὺς τοῦ τῶν Κορινθίων ἄστεως, δρόμῳ ἐφέροντο πρὸς τὰς πύλας τὰς ἐπὶ Φλιοῦντα, ὡς εἰ ἀνεῳγμέναι τύχοιεν, εἰσπεσούμενοι. ἐκβοηθήσαντες δέ τινες 19
ψιλοὶ ἐκ τῆς πόλεως ἀπαντῶσι τῶν Θηβαίων τοῖς ἐπιλέκτοις οὐδὲ τέτταρα πλέθρα ἀπέχουσι τοῦ τείχους· καὶ ἀναβάντες ἐπὶ τὰ μνήματα καὶ τὰ ὑπερέχοντα χωρία, βάλλοντες καὶ ἀκοντίζοντες ἀποκτείνουσι τῶν πρώτων καὶ μάλα συχνούς, καὶ τρεψάμενοι ἐδίωκον ὡς τρία ἢ τέτταρα στάδια. τούτου δὲ γενομένου οἱ Κορίνθιοι τοὺς νεκροὺς πρὸς τὸ τεῖχος ἑλκύσαντες καὶ ὑποσπόνδους ἀποδόντες τρόπαιον ἔστησαν. καὶ ταύτῃ μὲν ἀνεψύχθησαν οἱ τῶν Λακεδαιμονίων σύμμαχοι.

Ἅμα δὲ δὴ πεπραγμένων τούτων καταπλεῖ Λακε- 20
δαιμονίοις ἡ παρὰ Διονυσίου βοήθεια, τριήρεις πλέον ἢ εἴκοσιν· ἦγον δὲ Κελτούς τε καὶ Ἴβηρας καὶ ἱππέας ὡς πεντήκοντα. τῇ δ' ὑστεραίᾳ οἱ Θηβαῖοί τε καὶ οἱ ἄλλοι αὐτῶν σύμμαχοι διαταξάμενοι καὶ ἐμπλήσαντες τὸ πεδίον μέχρι τῆς θαλάττης καὶ μέχρι τῶν ἐχομένων τῆς πόλεως γηλόφων ἔφθειρον εἴ τι χρήσιμον ἦν ἐν τῷ πεδίῳ. καὶ οἱ μὲν τῶν Ἀθηναίων καὶ οἱ τῶν Κορινθίων ἱππεῖς οὐ μάλα ἐπλησίαζον τῷ στρατεύματι, ὁρῶντες ἰσχυρὰ καὶ πολλὰ τἀντίπαλα· οἱ δὲ παρὰ τοῦ 21
Διονυσίου ἱππεῖς, ὅσοιπερ ἦσαν, οὗτοι διεσκεδασμένοι ἄλλος ἄλλῃ παραθέοντες ἠκόντιζόν τε προσελαύνοντες, καὶ ἐπεὶ ὥρμων ἐπ' αὐτούς, ἀνεχώρουν, καὶ πάλιν ἀναστρέφοντες ἠκόντιζον. καὶ ταῦτα ἅμα ποιοῦντες κατέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαινον ἀπὸ τῶν ἵππων καὶ ἀνεπαύοντο. εἰ δὲ καταβε-
βηκόσιν ἐπελαύνοιέν τινες, εὐπετῶς ἀναπηδῶντες ἀνε-
χώρουν. εἰ δ' αὖ τινες διώξειαν αὐτοὺς πολὺ ἀπὸ τοῦ
στρατεύματος, τούτους, ὁπότε ἀποχωροῖεν, ἐπικείμενοι
καὶ ἀκοντίζοντες δεινὰ εἰργάζοντο, καὶ πᾶν τὸ στρά-
τευμα ἠνάγκαζον ἑαυτῶν ἕνεκα καὶ προϊέναι καὶ ἀνα-
22 χωρεῖν. μετὰ ταῦτα μέντοι οἱ Θηβαῖοι μείναντες οὐ
πολλὰς ἡμέρας ἀπῆλθον οἴκαδε, καὶ οἱ ἄλλοι δὲ ἕκα-
στος οἴκαδε. ἐκ δὲ τούτου ἐμβάλλουσιν οἱ παρὰ Διο-
νυσίου εἰς Σικυῶνα, καὶ μάχῃ μὲν νικῶσι τοὺς Σικυω-
νίους ἐν τῷ πεδίῳ, καὶ ἀπέκτειναν περὶ ἑβδομήκοντα·
Δέρας δὲ τεῖχος κατὰ κράτος αἱροῦσι. καὶ ἡ μὲν παρὰ
Διονυσίου πρώτη βοήθεια ταῦτα πράξασα ἀπέπλευ-
σεν εἰς Συρακούσας. Θηβαῖοι δὲ καὶ πάντες οἱ ἀπο-
στάντες ἀπὸ Λακεδαιμονίων μέχρι μὲν τούτου τοῦ
χρόνου ὁμοθυμαδὸν καὶ ἔπραττον καὶ ἐστρατεύοντο
23 ἡγουμένων Θηβαίων. ἐγγενόμενος δέ τις Λυκομή-
δης Μαντινεύς, γένει τε οὐδενὸς ἐνδεὴς χρήμασί τε
προήκων καὶ ἄλλως φιλότιμος, οὗτος ἐνέπλησε φρονή-
ματος τοὺς Ἀρκάδας, λέγων ὡς μόνοις μὲν αὐτοῖς πα-
τρὶς Πελοπόννησος εἴη, μόνοι γὰρ αὐτόχθονες ἐν αὐ-
τῇ οἰκοῖεν, πλεῖστον δὲ τῶν Ἑλληνικῶν φῦλον τὸ Ἀρ-
καδικὸν εἴη καὶ σώματα ἐγκρατέστατα ἔχοι. καὶ ἀλκι-
μωτάτους δὲ αὐτοὺς ἀπεδείκνυ, τεκμήρια παρεχόμε-
νος ὡς ἐπικούρων ὁπότε δεηθεῖέν τινες, οὐδένας
ᾑροῦντο ἀντ' Ἀρκάδων. ἔτι δὲ οὔτε Λακεδαιμονίους
πώποτε ἄνευ σφῶν ἐμβαλεῖν εἰς τὰς Ἀθήνας οὔτε νῦν
24 Θηβαίους ἐλθεῖν ἄνευ Ἀρκάδων εἰς Λακεδαίμονα. ἐὰν
οὖν σωφρονῆτε, τοῦ ἀκολουθεῖν ὅποι ἄν τις παρακαλῇ
φείσεσθε· ὡς πρότερον Λακεδαιμονίοις ἀκολουθοῦν-
τες ἐκείνους ηὐξήσατε, νῦν δ', ἐὰν Θηβαίοις εἰκῇ ἀκο-
λουθῆτε καὶ μὴ κατὰ μέρος ἡγεῖσθαι ἀξιῶτε, ἴσως τά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χα τούτους ἄλλους Λακεδαιμονίους εὑρήσετε. οἱ μὲν
δὴ Ἀρκάδες ταῦτα ἀκούσαντες ἀνεφυσῶντό τε καὶ
ὑπερεφίλουν τὸν Λυκομήδην καὶ μόνον ἄνδρα ἡγοῦν-
το· ὥστε ἄρχοντας ἔταττον οὕστινας ἐκεῖνος κελεύοι.
καὶ ἐκ τῶν συμβαινόντων δὲ ἔργων ἐμεγαλύνοντο οἱ
Ἀρκάδες· ἐμβαλόντων μὲν γὰρ εἰς Ἐπίδαυρον τῶν Ἀρ- 25
γείων, καὶ ἀποκλεισθέντων τῆς ἐξόδου ὑπό τε τῶν με-
τὰ Χαβρίου ξένων καὶ Ἀθηναίων καὶ Κορινθίων, βοη-
θήσαντες μάλα πολιορκουμένους ἐξελύσαντο τοὺς
Ἀργείους, οὐ μόνον τοῖς ἀνδράσιν, ἀλλὰ καὶ τοῖς χω-
ρίοις πολεμίοις χρώμενοι· στρατευσάμενοι δὲ καὶ εἰς
Ἀσίνην τῆς Λακαίνης ἐνίκησάν τε τὴν τῶν Λακεδαιμο-
νίων φρουρὰν καὶ τὸν Γεράνορα τὸν Σπαρτιάτην,
πολέμαρχον γεγενημένον, ἀπέκτειναν καὶ τὸ προάστει-
ον τῶν Ἀσιναίων ἐπόρθησαν. ὅπου δὲ βουληθεῖεν
ἐξελθεῖν, οὐ νύξ, οὐ χειμών, οὐ μῆκος ὁδοῦ, οὐκ ὄρη
δύσβατα ἀπεκώλυεν αὐτούς· ὥστε ἐν ἐκείνῳ τῷ
χρόνῳ πολὺ ᾤοντο κράτιστοι εἶναι. οἱ μὲν δὴ Θηβαῖοι 26
διὰ ταῦτα ἐπιφθόνως καὶ οὐκέτι φιλικῶς εἶχον πρὸς
τοὺς Ἀρκάδας. οἵ γε μὴν Ἠλεῖοι ἐπεὶ ἀπαιτοῦντες τὰς
πόλεις τοὺς Ἀρκάδας ἃς ὑπὸ Λακεδαιμονίων ἀφῃρέ-
θησαν ἔγνωσαν αὐτοὺς τοὺς μὲν ἑαυτῶν λόγους ἐν
οὐδενὶ λόγῳ ποιουμένους, τοὺς δὲ Τριφυλίους καὶ
τοὺς ἄλλους τοὺς ἀπὸ σφῶν ἀποστάντας περὶ παντὸς
ποιουμένους, ὅτι Ἀρκάδες ἔφασαν εἶναι, ἐκ τούτων αὖ
καὶ οἱ Ἠλεῖοι δυσμενῶς εἶχον πρὸς αὐτούς.

Οὕτω δ' ἑκάστων μέγα ἐφ' ἑαυτοῖς φρονούντων 27
τῶν συμμάχων, ἔρχεται Φιλίσκος Ἀβυδηνὸς παρ'
Ἀριοβαρζάνους χρήματα ἔχων πολλά. καὶ πρῶτα μὲν
εἰς Δελφοὺς συνήγαγε περὶ εἰρήνης Θηβαίους καὶ τοὺς
συμμάχους καὶ τοὺς Λακεδαιμονίους. ἐκεῖ δὲ ἐλθόντες
τῷ μὲν θεῷ οὐδὲν ἀνεκοινώσαντο ὅπως ἂν ἡ εἰρήνη γέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοιτο, αὐτοὶ δὲ ἐβουλεύοντο. ἐπεὶ δὲ οὐ συνεχώρουν οἱ Θηβαῖοι Μεσσήνην ὑπὸ Λακεδαιμονίοις εἶναι, ξενικὸν πολὺ συνέλεγεν ὁ Φιλίσκος, ὅπως πολεμοίη μετὰ Λακεδαιμονίων.

Τούτων δὲ πραττομένων ἀφικνεῖται καὶ ἡ παρὰ Διονυσίου δευτέρα βοήθεια. λεγόντων δὲ Ἀθηναίων μὲν ὡς χρεὼν εἴη αὐτοὺς * εἰς Θετταλίαν τἀναντία Θηβαίοις, Λακεδαιμονίων δὲ ὡς εἰς τὴν Λακωνικήν, ταῦτα ἐν τοῖς συμμάχοις ἐνίκησεν. ἐπεὶ δὲ περιέπλευσαν οἱ παρὰ Διονυσίου εἰς Λακεδαίμονα, λαβὼν αὐτοὺς Ἀρχίδαμος μετὰ τῶν πολιτικῶν ἐστρατεύετο. καὶ Καρύας μὲν αἱρεῖ κατὰ κράτος, καὶ ὅσους ζῶντας ἔλαβεν, ἀπέσφαξεν· ἐκεῖθεν δ' εὐθὺς στρατευσάμενος εἰς Παρρασίους τῆς Ἀρκαδίας μετ' αὐτῶν ἐδῄου τὴν χώραν. ἐπεὶ δ' ἐβοήθησαν οἱ Ἀρκάδες καὶ οἱ Ἀργεῖοι, ἐπαναχωρήσας ἐστρατοπεδεύσατο ἐν τοῖς ὑπὲρ Μηδέας γηλόφοις. ἐνταῦθα δ' ὄντος αὐτοῦ Κισσίδας ὁ ἄρχων τῆς παρὰ Διονυσίου βοηθείας ἔλεγεν ὅτι ἐξήκοι αὐτῷ ὁ χρόνος ὃς εἰρημένος ἦν παραμένειν. καὶ ἅμα ταῦτ' ἔλεγε καὶ ἀπῄει τὴν ἐπὶ Σπάρτης. ἐπεὶ δὲ ἀποπορευόμενον ὑπετέμνοντο αὐτὸν οἱ Μεσσήνιοι ἐπὶ στενὸν τῆς ὁδοῦ, ἐνταῦθα δὴ ἔπεμπεν ἐπὶ τὸν Ἀρχίδαμον καὶ βοηθεῖν ἐκέλευε· κἀκεῖνος μέντοι ἐβοήθει. ὡς δ' ἐγένοντο ἐν τῇ ἐπ' Εὐτρησίους ἐκτροπῇ, οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι προσέβαινον εἰς τὴν Λάκαιναν, καὶ οὗτοι ὡς ἀποκλείσοντες αὐτὸν τῆς ἐπ' οἶκον ὁδοῦ. ὁ δέ, οὗπερ ἐστι χωρίον ἐπίπεδον ἐν ταῖς συμβολαῖς τῆς τε ἐπ' Εὐτρησίων καὶ τῆς ἐπὶ Μηδέας ὁδοῦ, ἐνταῦθα ἐκβὰς παρετάξατο ὡς μαχούμενος. ἔφασαν δ' αὐτὸν καὶ πρὸ τῶν λόχων παριόντα τοιάδε παρακελεύσασθαι. "Ἄνδρες πολῖται, νῦν ἀγαθοὶ γενόμενοι ἀναβλέψωμεν ὀρθοῖς ὄμμασιν· ἀποδῶμεν τοῖς ἐπιγιγνομένοις τὴν πατρίδα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οἵανπερ παρὰ τῶν πατέρων παρελάβομεν· παυσώμεθα
αἰσχυνόμενοι καὶ παῖδας καὶ γυναῖκας καὶ πρεσβυτέ-
ρους καὶ ξένους, ἐν οἷς πρόσθεν γε πάντων τῶν Ἑλλή-
νων περιβλεπτότατοι ἦμεν. τούτων δὲ ῥηθέντων ἐξ 31
αἰθρίας ἀστραπάς τε καὶ βροντὰς λέγουσιν αἰσίους αὐ-
τῷ φανῆναι· συνέβη δὲ καὶ πρὸς τῷ δεξιῷ κέρατι τέ-
μενός τι καὶ ἄγαλμα Ἡρακλέους [οὗ δὴ καὶ ἀπόγονος
λέγεται] εἶναι. τοιγαροῦν ἐκ τούτων πάντων οὕτω πο-
λὺ μένος καὶ θάρρος τοῖς στρατιώταις φασὶν ἐμπεσεῖν
ὥστ' ἔργον εἶναι τοῖς ἡγεμόσιν ἀνείργειν τοὺς στρα-
τιώτας ὠθουμένους εἰς τὸ πρόσθεν. ἐπεὶ μέντοι ἡγεῖτο
ὁ Ἀρχίδαμος, ὀλίγοι μὲν τῶν πολεμίων δεξάμενοι εἰς
δόρυ αὐτοὺς ἀπέθανον· οἱ δ' ἄλλοι φεύγοντες ἔπι-
πτον, πολλοὶ μὲν ὑπὸ ἱππέων, πολλοὶ δὲ ὑπὸ τῶν Κελ-
τῶν. ὡς δὲ ληξάσης τῆς μάχης τρόπαιον ἐστήσατο, εὐ- 32
θὺς ἔπεμψεν οἴκαδε ἀγγελοῦντα Δημοτέλη τὸν κήρυ-
κα τῆς τε νίκης τὸ μέγεθος καὶ ὅτι Λακεδαιμονίων
μὲν οὐδὲ εἷς τεθναίη, τῶν δὲ πολεμίων παμπληθεῖς.
τοὺς μέντοι ἐν Σπάρτῃ ἔφασαν ἀκούσαντας ἀρξαμέ-
νους ἀπὸ Ἀγησιλάου καὶ τῶν γερόντων καὶ τῶν ἐφό-
ρων πάντας κλάειν· οὕτω κοινόν τι ἄρα χαρᾷ καὶ λύ-
πῃ δάκρυά ἐστιν. ἐπὶ μέντοι τῇ τῶν Ἀρκάδων τύχῃ
οὐ πολύ τι ἧττον Λακεδαιμονίων ἥσθησαν Θηβαῖοί
τε καὶ Ἠλεῖοι· οὕτως ἤδη ἤχθοντο ἐπὶ τῷ φρονήματι
αὐτῶν.

Συνεχῶς δὲ βουλευόμενοι Θηβαῖοι ὅπως ἂν τὴν 33
ἡγεμονίαν λάβοιεν τῆς Ἑλλάδος, ἐνόμισαν, εἰ πέμψειαν
πρὸς τὸν Περσῶν βασιλέα, πλεονεκτῆσαι ἄν τι ἐν ἐκεί-
νῳ. καὶ ἐκ τούτου παρακαλέσαντες ἤδη τοὺς συμμά-
χους ἐπὶ προφάσει ὅτι καὶ Εὐθυκλῆς ὁ Λακεδαιμόνιος
εἴη παρὰ βασιλεῖ, ἀναβαίνουσι Θηβαίων μὲν Πελοπί-
δας, Ἀρκάδων δὲ Ἀντίοχος ὁ παγκρατιαστής, Ἠλείων



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ Ἀρχίδαμος· ἠκολούθει δὲ καὶ Ἀργεῖος. καὶ οἱ Ἀθη-
ναῖοι ἀκούσαντες ταῦτα ἀνέπεμψαν Τιμαγόραν τε καὶ
34 Λέοντα. ἐπεὶ δὲ ἐκεῖ ἐγένοντο, πολὺ ἐπλεονέκτει ὁ Πε-
λοπίδας παρὰ τῷ Πέρσῃ. εἶχε γὰρ λέγειν καὶ ὅτι μόνοι
τῶν Ἑλλήνων βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ
ὅτι ὕστερον οὐδεπώποτε στρατεύσαιντο ἐπὶ βασιλέα,
καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς,
ὅτι οὐκ ἐθελήσειαν μετ' Ἀγησιλάου ἐλθεῖν ἐπ' αὐτὸν
οὐδὲ θῦσαι ἐάσειαν αὐτὸν ἐν Αὐλίδι τῇ Ἀρτέμιδι,
ἔνθαπερ ὁ Ἀγαμέμνων ὅτ' εἰς τὴν Ἀσίαν ἐξέπλει θύ-
35 σας εἷλε Τροίαν. μέγα δὲ συνεβάλλετο τῷ Πελοπίδᾳ
εἰς τὸ τιμᾶσθαι καὶ ὅτι ἐνενικήκεσαν οἱ Θηβαῖοι μάχῃ
ἐν Λεύκτροις καὶ ὅτι πεπορθηκότες τὴν χώραν τῶν Λα-
κεδαιμονίων ἐφαίνοντο. ἔλεγε δὲ ὁ Πελοπίδας ὅτι οἱ
Ἀργεῖοι καὶ οἱ Ἀρκάδες μάχῃ ἡττημένοι εἶεν ὑπὸ Λα-
κεδαιμονίων, ἐπεὶ αὐτοὶ οὐ παρεγένοντο. συνεμαρτύρει
δ' αὐτῷ ταῦτα πάντα ὡς ἀληθῆ λέγοι ὁ Ἀθηναῖος
Τιμαγόρας, καὶ ἐτιμᾶτο δεύτερος μετὰ τὸν Πελοπίδαν.
36 ἐκ δὲ τούτου ἐρωτώμενος ὑπὸ βασιλέως ὁ Πελοπίδας τί
βούλοιτο ἑαυτῷ γραφῆναι εἶπεν ὅτι Μεσσήνην τε αὐ-
τόνομον εἶναι ἀπὸ Λακεδαιμονίων καὶ Ἀθηναίους
ἀνέλκειν τὰς ναῦς· εἰ δὲ ταῦτα μὴ πείθοιντο, στρατεύ-
ειν ἐπ' αὐτούς· εἴ τις δὲ πόλις μὴ ἐθέλοι ἀκολουθεῖν,
37 ἐπὶ ταύτην πρῶτον ἰέναι. γραφέντων δὲ τούτων καὶ
ἀναγνωσθέντων τοῖς πρέσβεσιν, εἶπεν ὁ Λέων ἀκού-
οντος βασιλέως, Νὴ Δία, ὦ Ἀθηναῖοι, ὥρα γε ὑμῖν, ὡς
ἔοικεν, ἄλλον τινὰ φίλον ἀντὶ βασιλέως ζητεῖν. ἐπεὶ δὲ
ἀπήγγειλεν ὁ γραμματεὺς ἃ εἶπεν ὁ Ἀθηναῖος, πάλιν
ἐξήνεγκε προσγεγραμμένα· εἰ δέ τι δικαιότερον τούτων
γιγνώσκουσιν οἱ Ἀθηναῖοι, ἰόντας πρὸς βασιλέα διδά-
38 σκειν. ἐπεὶ δὲ ἀφίκοντο οἱ πρέσβεις οἴκαδε ἕκαστοι,
τὸν μὲν Τιμαγόραν ἀπέκτειναν οἱ Ἀθηναῖοι, κατηγο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

-οῦντος τοῦ Λέοντος ὡς οὔτε συσκηνοῦν ἑαυτῷ ἐθέ-[λ]οι μετά τε Πελοπίδου πάντα βουλεύοιτο. τῶν δὲ ἄλ-[λ]ων πρέσβεων ὁ μὲν Ἠλεῖος Ἀρχίδαμος, ὅτι προυτί-[μ]ησε τὴν Ἦλιν πρὸ τῶν Ἀρκάδων, ἐπῄνει τὰ βασιλέως, [ὁ] δ' Ἀντίοχος, ὅτι ἠλαττοῦτο τὸ Ἀρκαδικόν, οὔτε τὰ [δ]ῶρα ἐδέξατο ἀπήγγειλέ τε πρὸς τοὺς μυρίους ὅτι βα-σιλεὺς ἀρτοκόπους μὲν καὶ ὀψοποιοὺς καὶ οἰνοχόους καὶ θυρωροὺς παμπληθεῖς ἔχοι, ἄνδρας δὲ οἳ μάχοιντ' ἂν Ἕλλησι πάνυ ζητῶν οὐκ ἔφη δύνασθαι ἰδεῖν. πρὸς δὲ τούτοις καὶ τὸ τῶν χρημάτων πλῆθος ἀλαζονείαν οἴ γε δοκεῖν ἔφη εἶναι, ἐπεὶ καὶ τὴν ὑμνουμένην ἂν χρυσῆν πλάτανον οὐχ ἱκανὴν ἔφη εἶναι τέττιγι σκιὰν παρέχειν.

Ὡς δὲ οἱ Θηβαῖοι συνεκάλεσαν ἀπὸ τῶν πόλεων 39 ἁπασῶν ἀκουσομένους τῆς παρὰ βασιλέως ἐπιστολῆς, καὶ ὁ Πέρσης ὁ φέρων τὰ γράμματα δείξας τὴν βασι-λέως σφραγῖδα ἀνέγνω τὰ γεγραμμένα, οἱ μὲν Θηβαῖοι ὀμνύναι ταῦτα ἐκέλευον βασιλεῖ καὶ ἑαυτοῖς τοὺς βου-λομένους φίλους εἶναι, οἱ δὲ ἀπὸ τῶν πόλεων ἀπεκρί-ναντο ὅτι οὐκ ὀμούμενοι ἀλλ' ἀκουσόμενοι πεμφθείη-σαν· εἰ δέ τι ὅρκων δέοιντο, πρὸς τὰς πόλεις πέμπειν ἐκέλευον. ὁ μέντοι Ἀρκὰς Λυκομήδης καὶ τοῦτο ἔλε-γεν, ὅτι οὐδὲ τὸν σύλλογον ἐν Θήβαις δέοι εἶναι, ἀλλ' ἔνθ' ἂν ᾖ ὁ πόλεμος. χαλεπαινόντων δ' αὐτῷ τῶν Θηβαίων καὶ λεγόντων ὡς διαφθείροι τὸ συμμαχικόν, οὐδ' εἰς τὸ συνέδριον ἤθελε καθίζειν, ἀλλ' ἀπιὼν ᾤχε-το, καὶ μετ' αὐτοῦ πάντες οἱ ἐξ Ἀρκαδίας πρέσβεις. ὡς δ' ἐν Θήβαις οὐκ ἠθέλησαν οἱ συνελθόντες ὀμό- 40 σαι, ἔπεμπον οἱ Θηβαῖοι πρέσβεις ἐπὶ τὰς πόλεις, ὀμνύ-ναι κελεύοντες ποιήσειν κατὰ τὰ βασιλέως γράμματα, νομίζοντες ὀκνήσειν μίαν ἑκάστην τῶν πόλεων ἀπε-χθάνεσθαι ἅμα ἑαυτοῖς τε καὶ βασιλεῖ. ἐπεὶ μέντοι εἰς

16*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κόρινθον πρῶτον αὐτῶν ἀφικομένων ὑπέστησαν οἱ Κορίνθιοι, καὶ ἀπεκρίναντο ὅτι οὐδὲν δέοιντο πρὸς βασιλέα κοινῶν ὅρκων, ἐπηκολούθησαν καὶ ἄλλαι πόλεις κατὰ ταὐτὰ ἀποκρινόμεναι. καὶ αὕτη μὲν ἡ Πελοπίδου καὶ τῶν Θηβαίων τῆς ἀρχῆς περιβολὴ οὕτω διελύθη.

Αὖθις δ' Ἐπαμεινώνδας, βουληθεὶς τοὺς Ἀχαιοὺς προσαγαγέσθαι, ὅπως μᾶλλον σφίσι καὶ οἱ Ἀρκάδες καὶ οἱ ἄλλοι σύμμαχοι προσέχοιεν τὸν νοῦν, ἔγνω ἐκστρατευτέον εἶναι ἐπὶ τὴν Ἀχαΐαν. Πεισίαν οὖν τὸν Ἀργεῖον στρατηγοῦντα ἐν τῷ Ἄργει πείθει προκαταλαβεῖν τὸ Ὄνειον. καὶ ὁ Πεισίας μέντοι καταμαθὼν ἀμελουμένην τὴν τοῦ Ὀνείου φυλακὴν ὑπό τε Ναυκλέους, ὃς ἦρχε τοῦ ξενικοῦ τῶν Λακεδαιμονίων, καὶ ὑπὸ Τιμομάχου τοῦ Ἀθηναίου, καταλαμβάνει νύκτωρ μετὰ δισχιλίων ὁπλιτῶν τὸν ὑπὲρ Κεγχρειῶν λόφον, ἔχων ἑπτὰ ἡμερῶν τὰ ἐπιτήδεια. ἐν δὲ ταύταις ταῖς ἡμέραις ἐλθόντες οἱ Θηβαῖοι ὑπερβαίνουσι τὸ Ὄνειον. καὶ στρατεύουσι πάντες οἱ σύμμαχοι ἐπ' Ἀχαΐαν, ἡγουμένου Ἐπαμεινώνδου. προσπεσόντων δ' αὐτῷ τῶν βελτίστων ἐκ τῆς Ἀχαΐας, ἐνδυναστεύει ὁ Ἐπαμεινώνδας ὥστε μὴ φυγαδεῦσαι τοὺς κρατίστους μηδὲ πολιτείαν μεταστῆσαι, ἀλλὰ πιστὰ λαβὼν παρὰ τῶν Ἀχαιῶν ἦ μὴν συμμάχους ἔσεσθαι καὶ ἀκολουθήσειν ὅποι ἂν Θηβαῖοι ἡγῶνται, οὕτως ἀπῆλθεν οἴκαδε. κατηγορούντων δὲ αὐτοῦ τῶν τε Ἀρκάδων καὶ τῶν ἀντιστασιωτῶν ὡς Λακεδαιμονίοις κατεσκευακὼς τὴν Ἀχαΐαν ἀπέλθοι, ἔδοξε Θηβαίοις πέμψαι ἁρμοστὰς εἰς τὰς Ἀχαΐδας πόλεις. οἱ δ' ἐλθόντες τοὺς μὲν βελτίστους σὺν τῷ πλήθει ἐξέβαλον, δημοκρατίας δὲ ἐν τῇ Ἀχαΐᾳ κατέστησαν. οἱ μέντοι ἐκπεσόντες συστάντες ταχύ, ἐπὶ μίαν ἑκάστην τῶν πόλεων πορευόμενοι, ὄντες οὐκ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροια

, κατῆλθόν τε καὶ κατέσχον τὰς πόλεις. ἐπεὶ δὲ
θόντες οὐκέτι ἐμέσευον, ἀλλὰ προθύμως συνε-
ν τοῖς Λακεδαιμονίοις, ἐπιέζοντο οἱ Ἀρκάδες ἔν-
ὲν ὑπὸ Λακεδαιμονίων, ἔνθεν δὲ ὑπὸ Ἀχαιῶν.
τῷ Σικυῶνι τὸ μὲν μέχρι τούτου κατὰ τοὺς ἀρ- 44
ς νόμους ἡ πολιτεία ἦν. ἐκ δὲ τούτου βουλόμενος
φρων, ὥσπερ παρὰ τοῖς Λακεδαιμονίοις μέγι-
ην τῶν πολιτῶν, οὕτω καὶ παρὰ τοῖς ἐναντίοις αὐ-
πρωτεύειν, λέγει πρὸς τοὺς Ἀργείους καὶ τοὺς
ίδας ὡς εἰ μὲν οἱ πλουσιώτατοι ἐγκρατεῖς ἔσοιντο
Σικυῶνος, σαφῶς, ὅταν τύχῃ, πάλιν λακωνιεῖ ἡ
· ἐὰν δὲ δημοκρατία γένηται, εὖ ἴστε ὅτι
νεῖ ὑμῖν ἡ πόλις. ἐὰν οὖν μοι παραγένησθε, ἐγὼ
ι ὁ συγκαλῶν τὸν δῆμον, καὶ ἅμα ἐγὼ ὑμῖν ταύ-
ίστιν ἐμαυτοῦ δώσω καὶ τὴν πόλιν βέβαιον ἐν τῇ
αχίᾳ παρέξω. ταῦτα δ', ἔφη, ἐγὼ πράττω εὖ ἴστε
άλαι μὲν χαλεπῶς φέρων, ὥσπερ ὑμεῖς, τὸ φρό-
τῶν Λακεδαιμονίων, ἄσμενος δ' ἂν τὴν δουλείαν
υγών. οἱ οὖν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι ἡδέως ταῦτ' 45
σαντες παρεγένοντο αὐτῷ. ὁ δ' εὐθὺς ἐν τῇ ἀγο-
ρόντων τῶν Ἀργείων καὶ τῶν Ἀρκάδων συνεκά-
ν δῆμον, ὡς τῆς πολιτείας ἐσομένης ἐπὶ τοῖς ἴσοις
μοίοις. ἐπεὶ δὲ συνῆλθον, στρατηγοὺς ἐκέλευσεν
αι οὕστινας αὐτοῖς δοκοίη· οἱ δ' αἱροῦνται αὐτόν
ν Εὔφρονα καὶ Ἱππόδαμον καὶ Κλέανδρον καὶ
σιον καὶ Λύσανδρον. ὡς δὲ ταῦτα ἐπέπρακτο, καὶ
ὸ ξενικὸν καθίστησιν Ἀδέαν τὸν αὑτοῦ υἱόν, Λυ-
η τὸν πρόσθεν ἄρχοντα ἀποστήσας. καὶ εὐθὺς 46
ούτων τῶν ξένων ὁ Εὔφρων πιστούς τινας εὖ
ν ἐποιήσατο, καὶ ἄλλους προσελάμβανεν, οὔτε
δημοσίων οὔτε τῶν ἱερῶν χρημάτων φειδόμενος.
σους δ' ἐξέβαλεν ἐπὶ λακωνισμῷ, καὶ τοῖς τούτων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χρήμασιν ἐχρῆτο. καὶ τῶν συναρχόντων δὲ τοὺς μὲν δόλῳ ἀπέκτεινε, τοὺς δ' ἐξέβαλεν· ὥστε πάντα ὑφ' ἑαυτῷ ἐποιήσατο καὶ σαφῶς τύραννος ἦν. ὅπως δὲ ταῦτα ἐπιτρέποιεν αὐτῷ οἱ σύμμαχοι, τὰ μέν τι καὶ χρήμασι διεπράττετο, τὰ δὲ καί, εἴ ποι στρατεύοιντο, προθύμως ἔχων τὸ ξενικὸν συνηκολούθει.

II. Οὕτω δὲ τούτων προκεχωρηκότων, καὶ τῶν τε Ἀργείων ἐπιτετειχικότων τῷ Φλιοῦντι ὑπὲρ τοῦ Ἡραίου Τρικάρανον, καὶ τῶν Σικυωνίων ἐπὶ τοῖς ὁρίοις αὐτῶν τειχιζόντων τὴν Θυαμίαν, μάλα ἐπιέζοντο οἱ Φλιάσιοι καὶ ἐσπάνιζον τῶν ἐπιτηδείων· ὅμως δὲ διεκαρτέρουν ἐν τῇ συμμαχίᾳ. ἀλλὰ γὰρ τῶν μὲν μεγάλων πόλεων, εἴ τι καλὸν ἔπραξαν, ἅπαντες οἱ συγγραφεῖς μέμνηνται· ἐμοὶ δὲ δοκεῖ, καὶ εἴ τις μικρὰ πόλις οὖσα πολλὰ καὶ καλὰ ἔργα διαπέπρακται, ἔτι μᾶλλον
2 ἄξιον εἶναι ἀποφαίνειν. Φλιάσιοι τοίνυν φίλοι μὲν ἐγέ-
a.C. 369. νοντο Λακεδαιμονίοις, ὅτ' ἐκεῖνοι μέγιστοι ἦσαν· σφαλέντων δ' αὐτῶν ἐν τῇ ἐν Λεύκτροις μάχῃ, καὶ ἀποστάντων μὲν πολλῶν περιοίκων, ἀποστάντων δὲ πάντων τῶν Εἱλώτων, ἔτι δὲ τῶν συμμάχων πλὴν πάνυ ὀλίγων, ἐπιστρατευόντων δ' αὐτοῖς ὡς εἰπεῖν πάντων τῶν Ἑλλήνων, πιστοὶ διέμειναν, καὶ ἔχοντες πολεμίους τοὺς δυνατωτάτους τῶν ἐν Πελοποννήσῳ Ἀρκάδας καὶ Ἀργείους ὅμως ἐβοήθησαν αὐτοῖς, καὶ διαβαίνειν τελευταῖοι λαχόντες εἰς Πρασιὰς τῶν συμβοηθησάντων, ἦσαν δὲ οὗτοι Κορίνθιοι, Ἐπιδαύριοι, Τροιζήνιοι, Ἑρ-
3 μιονεῖς, Ἁλιεῖς, Σικυώνιοι καὶ Πελληνεῖς, οὐ γάρ πω τότε ἀφέστασαν, ἀλλ' οὐδ' ἐπεὶ ὁ ξεναγὸς τοὺς προδιαβεβῶτας λαβὼν ἀπολιπὼν αὐτοὺς ᾤχετο, οὐδ' ὣς ἀπεστράφησαν, ἀλλ' ἡγεμόνα μισθωσάμενοι ἐκ Πρασιῶν, ὄντων τῶν πολεμίων περὶ Ἀμύκλας, ὅπως ἐδύναντο διαδύντες εἰς Σπάρτην ἀφίκοντο. καὶ μὴν οἱ Λακεδαι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνιοι ἄλλως τε ἐτίμων αὐτοὺς καὶ βοῦν ξένια ἔπεμ-
ψαν. ἐπεὶ δ' ἀναχωρησάντων τῶν πολεμίων ἐκ τῆς 4
Λακεδαίμονος οἱ Ἀργεῖοι ὀργιζόμενοι τῇ τῶν Φλιασίων
περὶ τοὺς Λακεδαιμονίους προθυμίᾳ ἐνέβαλον πανδη-
μεὶ εἰς τὸν Φλιοῦντα καὶ τὴν χώραν αὐτῶν ἐδῄουν,
οὐδ' ὣς ὑφίεντο, ἀλλὰ καὶ ἐπεὶ ἀπεχώρουν φθείραν-
τες ὅσα ἐδύναντο, ἐπεξελθόντες οἱ τῶν Φλιασίων ἱπ-
πεῖς ἐπηκολούθουν αὐτοῖς, καὶ ὀπισθοφυλακούντων
τοῖς Ἀργείοις τῶν ἱππέων ἁπάντων καὶ λόχων τῶν
μετ' αὐτοὺς τεταγμένων, ἐπιθέμενοι τούτοις ἑξήκοντα
ὄντες ἐτρέψαντο [πάντας] τοὺς ὀπισθοφύλακας· καὶ
ἀπέκτειναν μὲν ὀλίγους αὐτῶν, τρόπαιον μέντοι ἐστή-
σαντο ὁρώντων τῶν Ἀργείων οὐδὲν διαφέρον ἢ εἰ
πάντας ἀπεκτόνεσαν αὐτούς.

Αὖθις δὲ Λακεδαιμόνιοι μὲν καὶ οἱ σύμμαχοι 5
ἐφρούρουν τὸ Ὄνειον, Θηβαῖοι δὲ προσῆσαν ὡς a.C. 368.
ὑπερβησόμενοι. πορευομένων δὲ διὰ Νεμέας τῶν Ἀρ-
κάδων καὶ Ἠλείων, ὅπως συμμίξειαν τοῖς Θηβαίοις,
προσήνεγκαν μὲν λόγον τῶν Φλιασίων φυγάδες ὡς εἰ
ἐθελήσειαν ἐπιφανῆναι μόνον σφίσι, λάβοιεν ἂν Φλι-
οῦντα· ἐπεὶ δὲ ταῦτα συνωμολογήθη, τῆς νυκτὸς ὑπε-
καθίζοντο ὑπ' αὐτῷ τῷ τείχει κλίμακας ἔχοντες οἵ τε
φυγάδες καὶ ἄλλοι μετ' αὐτῶν ὡς ἑξακόσιοι. ἐπεὶ δὲ οἱ
μὲν σκοποὶ ἐσήμαινον ἀπὸ τοῦ Τρικαράνου ὡς πολε-
μίων ἐπιόντων, ἡ δὲ πόλις πρὸς τούτους τὸν νοῦν εἶχεν,
ἐν δὴ τούτῳ οἱ προδιδόντες ἐσήμαινον τοῖς ὑποκαθη
μένοις ἀναβαίνειν. οἱ δ' ἀναβάντες καὶ λαβόντες τῶν 6
φρουρῶν τὰ ὅπλα ἔρημα, ἐδίωκον τοὺς ἡμεροφύλακας
ὄντας δέκα· ἀφ' ἑκάστης δὲ τῆς πεμπάδος εἷς ἡμερο-
φύλαξ κατελείπετο· καὶ ἕνα μὲν ἔτι καθεύδοντα ἀπέ-
κτειναν, ἄλλον δὲ καταφυγόντα πρὸς τὸ Ἥραιον. φυγῇ
δ' ἐξαλλομένων κατὰ τοῦ τείχους τοῦ εἰς τὸ ἄστυ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁρῶντος τῶν ἡμεροφυλάκων, ἀναμφισβητήτως εἶχον
7 οἱ ἀναβάντες τὴν ἀκρόπολιν. ἐπεὶ δὲ κραυγῆς εἰς τὴν
πόλιν ἀφικομένης ἐβοήθουν οἱ πολῖται, τὸ μὲν πρῶ-
τον ἐπεξελθόντες ἐκ τῆς ἀκροπόλεως οἱ πολέμιοι ἐμά-
χοντο ἐν τῷ πρόσθεν τῶν εἰς τὴν πόλιν φερουσῶν
πυλῶν· ἔπειτα πολιορκούμενοι ὑπὸ τῶν προσβοη-
θούντων ἐχώρουν πάλιν πρὸς τὴν ἀκρόπολιν· οἱ δὲ
πολῖται συνεισπίπτουσιν αὐτοῖς. τὸ μὲν οὖν μέσον
τῆς ἀκροπόλεως εὐθὺς ἔρημον ἐγένετο· ἐπὶ δὲ τὸ τεῖ-
χος καὶ τοὺς πύργους ἀναβάντες οἱ πολέμιοι ἔπαιον
καὶ ἔβαλλον τοὺς ἔνδον· οἱ δὲ χαμᾶθεν ἠμύνοντο καὶ
κατὰ τὰς ἐπὶ τὸ τεῖχος φερούσας κλίμακας προσεμά-
8 χοντο. ἐπεὶ δὲ τῶν ἔνθεν καὶ ἔνθεν πύργων ἐκράτη-
σάν τινων οἱ πολῖται, ὁμόσε δὴ ἐχώρουν ἀπονενοημέ-
νως τοῖς ἀναβεβηκόσιν. οἱ δὲ ὠθούμενοι ὑπ' αὐτῶν
τῇ τόλμῃ τε καὶ μάχῃ εἰς ἔλαττον συνειλοῦντο. ἐν
δὲ τούτῳ τῷ καιρῷ οἱ μὲν Ἀρκάδες καὶ οἱ Ἀργεῖοι
περὶ τὴν πόλιν ἐκυκλοῦντο, καὶ κατὰ κεφαλὴν τὸ τεῖ-
χος τῆς ἀκροπόλεως διώρυττον· τῶν δ' ἔνδοθεν οἱ μὲν
τοὺς ἐπὶ τοῦ τείχους, οἱ δὲ καὶ ἔξωθεν ἔτι ἐπαναβαί-
νοντας, ἐπὶ ταῖς κλίμαξιν ὄντας, ἔπαιον, οἱ δὲ πρὸς
τοὺς ἀναβεβηκότας αὐτῶν ἐπὶ τοὺς πύργους ἐμά-
χοντο, καὶ πῦρ εὑρόντες ἐν ταῖς σκηναῖς ὑφῆπτον αὐ-
τούς, προσφοροῦντες τῶν δραγμάτων ἃ ἔτυχεν ἐξ αὐ-
τῆς τῆς ἀκροπόλεως τεθερισμένα. ἐνταῦθα δὴ οἱ μὲν
ἀπὸ τῶν πύργων τὴν φλόγα φοβούμενοι ἐξήλλοντο,
οἱ δὲ ἐπὶ τῶν τειχῶν ὑπὸ τῶν ἀνδρῶν παιόμενοι ἐξέ-
9 πιπτον. ἐπεὶ δ' ἅπαξ ἤρξαντο ὑπείκειν, ταχὺ δὴ πᾶ-
σα ἡ ἀκρόπολις ἔρημος τῶν πολεμίων ἐγεγένητο. εὐ-
θὺς δὲ καὶ οἱ ἱππεῖς ἐξήλαυνον· οἱ δὲ πολέμιοι ἰδόντες
αὐτοὺς ἀπεχώρουν, καταλιπόντες τάς τε κλίμακας καὶ
τοὺς νεκρούς, ἐνίους δὲ καὶ ζῶντας ἀποκεχωλευμέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νους. ἀπέθανον δὲ τῶν πολεμίων οἵ τε ἔνδον μαχόμενοι καὶ οἱ ἐξαλλόμενοι οὐκ ἐλάττους τῶν ὀγδοήκοντα. ἔνθα δὴ θεάσασθαι παρῆν ἐπὶ τῇ σωτηρίᾳ τοὺς μὲν ἄνδρας δεξιουμένους ἀλλήλους, τὰς δὲ γυναῖκας πιεῖν τε φερούσας καὶ ἅμα χαρᾷ δακρυούσας· πάντας δὲ τοὺς παρόντας τότε γε τῷ ὄντι κλαυσίγελως εἶχεν.

Ἐνέβαλον δὲ καὶ τῷ ὑστέρῳ ἔτει εἰς τὸν Φλιοῦντα 10
οἵ τε Ἀργεῖοι καὶ οἱ Ἀρκάδες ἅπαντες. αἴτιον δ' ἦν a.C 367.
τοῦ ἐπικεῖσθαι αὐτοὺς ἀεὶ τοῖς Φλιασίοις ὅτι ἅμα μὲν ὠργίζοντο αὐτοῖς, ἅμα δὲ ἐν μέσῳ εἶχον, καὶ ἐν ἐλπίδι ἦσαν ἀεὶ διὰ τὴν ἀπορίαν τῶν ἐπιτηδείων παραστήσεσθαι αὐτούς. οἱ δ' ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλιασίων καὶ ἐν ταύτῃ τῇ ἐμβολῇ ἐπὶ τῇ διαβάσει τοῦ ποταμοῦ ἐπιτίθενται σὺν τοῖς παροῦσι τῶν Ἀθηναίων ἱππεῦσι· καὶ κρατήσαντες ἐποίησαν τοὺς πολεμίους τὸ λοιπὸν τῆς ἡμέρας ἐπὶ τὰς ἀκρωρείας ὑποχωρεῖν, ὥσπερ ἀπὸ φιλίου καρποῦ τοῦ ἐν τῷ πεδίῳ φυλαττομένους μὴ καταπατήσειαν.

Αὖθις δέ ποτε ἐστράτευσεν εἰς τὸν Φλιοῦντα ὁ 11
ἐν τῷ Σικυῶνι ἄρχων Θηβαῖος, ἄγων οὕς τε αὐτὸς εἶχε φρουροὺς καὶ Σικυωνίους καὶ Πελληνέας· ἤδη γὰρ τότε ἠκολούθουν τοῖς Θηβαίοις· καὶ Εὔφρων δὲ τοὺς αὑτοῦ ἔχων μισθοφόρους περὶ δισχιλίους συνεστρατεύετο. οἱ μὲν οὖν ἄλλοι αὐτῶν διὰ τοῦ Τρικαράνου κατέβαινον ἐπὶ τὸ Ἡραιον, ὡς τὸ πεδίον φθεροῦντες κατὰ δὲ τὰς εἰς Κόρινθον φερούσας πύλας ἐπὶ τοῦ ἄκρου κατέλιπε Σικυωνίους τε καὶ Πελληνέας, ὅπως μὴ ταύτῃ περιελθόντες οἱ Φλιάσιοι κατὰ κεφαλὴν αὐ-
τῶν γένοιντο ὑπὲρ τοῦ Ἡραίου. ὡς δ' ἔγνωσαν οἱ ἐκ 12
τῆς πόλεως τοὺς πολεμίους ἐπὶ τὸ πεδίον ὡρμημένους,
ἀντεξελθόντες οἵ τε ἱππεῖς καὶ οἱ ἐπίλεκτοι τῶν Φλια-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σίων ἐμάχοντο καὶ οὐκ ἀνίεσαν εἰς τὸ πεδίον αὐτούς καὶ τὸ μὲν πλεῖστον τῆς ἡμέρας ἐνταῦθα ἀκροβολιζόμενοι διῆγον, οἱ μὲν περὶ τὸν Εὔφρονα ἐπιδιώκοντες μέχρι τοῦ ἱππασίμου, οἱ δὲ ἔνδοθεν μέχρι τοῦ Ἡραίου.
13 ἐπεὶ δὲ καιρὸς ἐδόκει ἰέναι, ἀπῆσαν οἱ πολέμιοι κύκλῳ τοῦ Τρικαράνου· ὥστε γὰρ τὴν σύντομον πρὸς τοὺς Πελληνέας ἀφικέσθαι ἡ πρὸ τοῦ τείχους φάραγξ εἶργε. μικρὸν δ' αὐτοὺς πρὸς τὸ ὄρθιον προπέμψαντες οἱ Φλιάσιοι ἀποτρεπόμενοι ἵεντο τὴν παρὰ τὸ τεῖ-
14 χος ἐπὶ τοὺς Πελληνέας καὶ τοὺς μετ' αὐτῶν. καὶ οἱ περὶ τὸν Θηβαῖον δὲ αἰσθόμενοι τὴν σπουδὴν τῶν Φλιασίων ἡμιλλῶντο ὅπως φθάσειαν τοῖς Πελληνεῦσι βοηθήσαντες. ἀφικόμενοι δὲ πρότεροι οἱ ἱππεῖς ἐμβάλλουσι τοῖς Πελληνεῦσι. δεξαμένων δὲ τὸ πρῶτον, ἐπαναχωρήσαντες πάλιν σὺν τοῖς παραγεγενημένοις τῶν πεζῶν ἐνέβαλον καὶ ἐκ χειρὸς ἐμάχοντο. καὶ ἐκ τούτου δὴ ἐγκλίνουσιν οἱ πολέμιοι, καὶ ἀποθνήσκουσι τῶν τε Σικυωνίων τινὲς καὶ τῶν Πελληνέων μάλα
15 πολλοὶ καὶ ἄνδρες ἀγαθοί. τούτων δὲ γενομένων οἱ μὲν Φλιάσιοι τρόπαιον ἵσταντο λαμπρὸν παιανίζοντες, ὥσπερ εἰκός· οἱ δὲ περὶ τὸν Θηβαῖον καὶ τὸν Εὔφρονα περιεώρων ταῦτα, ὥσπερ ἐπὶ θέαν παραδεδραμηκότες. τούτων δὲ πραχθέντων, οἱ μὲν ἐπὶ Σικυῶνος ἀπῆλθον, οἱ δ' εἰς τὸ ἄστυ ἀπεχώρησαν.

16 Καλὸν δὲ καὶ τοῦτο διεπράξαντο οἱ Φλιάσιοι· τὸν γὰρ Πελληνέα Πρόξενον ζῶντα λαβόντες, καίπερ πάντων σπανιζόμενοι, ἀφῆκαν ἄνευ λύτρων. γενναίους μὲν δὴ καὶ ἀλκίμους πῶς οὐκ ἄν τις φαίη εἶναι τοὺς τοιαῦτα διαπραττομένους;

17 Ὥς γε μὴν καὶ διὰ καρτερίας τὴν πίστιν τοῖς φίλοις διέσωζον περιφανές· οἳ ἐπεὶ εἴργοντο τῶν ἐκ τῆς γῆς καρπῶν, ἔζων τὰ μὲν ἐκ τῆς πολεμίας λαμβάνον-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες, τὰ δὲ ἐκ Κορίνθου ὠνούμενοι, διὰ πολλῶν κινδύ-
νων ἐπὶ τὴν ἀγορὰν ἰόντες, χαλεπῶς μὲν τιμὴν πορί-
ζοντες, χαλεπῶς δὲ τοὺς πορίζοντας διαπραττόμενοι,
γλίσχρως δ' ἐγγυητὰς καθιστάντες τῶν ἀξόντων ὑπο-
ζυγίων. ἤδη δὲ παντάπασιν ἀποροῦντες Χάρητα διε- 18
πράξαντο σφίσι παραπέμψαι τὴν παραπομπήν. ἐπεὶ
δ' ἐν Φλιοῦντι ἐγένοντο, ἐδεήθησαν αὐτοῦ καὶ τοὺς
ἀχρείους συνεκπέμψαι εἰς τὴν Πελλήνην. κἀκείνους
μὲν ἐκεῖ κατέλιπον, ἀγοράσαντες δὲ καὶ ἐπισκευασάμε-
νοι ὁπόσα ἐδύναντο ὑποζύγια νυκτὸς ἀπῆσαν, οὐκ
ἀγνοοῦντες ὅτι ἐνεδρεύσοιντο ὑπὸ τῶν πολεμίων, ἀλ-
λὰ νομίζοντες χαλεπώτερον εἶναι τοῦ μάχεσθαι τὸ μὴ
ἔχειν τἀπιτήδεια. καὶ προῆσαν μὲν οἱ Φλιάσιοι μετὰ 19
Χάρητος· ἐπεὶ δὲ ἐνέτυχον τοῖς πολεμίοις, εὐθὺς ἔργου
τε εἴχοντο καὶ παρακελευσάμενοι ἀλλήλοις ἐνέκειντο,
καὶ ἅμα Χάρητα ἐπιβοηθεῖν ἐβόων. νίκης δὲ γενομένης
καὶ ἐκβληθέντων ἐκ τῆς ὁδοῦ τῶν πολεμίων, οὕτω δὴ
οἴκαδε καὶ ἑαυτοὺς καὶ ἃ ἦγον ἀπέσωσαν. ὡς δὲ τὴν
νύκτα ἠγρύπνησαν, ἐκάθευδον μέχρι πόρρω τῆς ἡμέ-
ρας. ἐπεὶ δὲ ἀνέστη ὁ Χάρης, προσελθόντες οἵ τε ἱπ- 20
πεῖς καὶ οἱ χρησιμώτατοι τῶν ὁπλιτῶν ἔλεγον, Ὦ Χά-
ρης, ἔξεστί σοι τήμερον κάλλιστον ἔργον διαπράξασθαι.
χωρίον γὰρ ἐπὶ τοῖς ὅροις ἡμῖν οἱ Σικυώνιοι τειχίζου-
σιν, οἰκοδόμους μὲν πολλοὺς ἔχοντες, ὁπλίτας δὲ οὐ
πάνυ πολλούς. ἡγησόμεθα μὲν οὖν ἡμεῖς οἱ ἱππεῖς
καὶ τῶν ὁπλιτῶν οἱ ἐρρωμενέστατοι· σὺ δὲ τὸ ξενικὸν
ἔχων ἐὰν ἀκολουθῇς, ἴσως μὲν διαπεπραγμένα σοι κα-
ταλήψει, ἴσως δὲ ἐπιφανεὶς σὺ τροπήν, ὥσπερ ἐν Πελ-
λήνῃ, ποιήσεις. εἰ δέ τι δυσχερές σοί ἐστιν ὧν λέγο-
μεν, ἀνακοίνωσαι τοῖς θεοῖς θυόμενος· οἰόμεθα γὰρ
ἔτι σε μᾶλλον ἡμῶν τοὺς θεοὺς ταῦτα πράττειν κελεύ-
σειν. τοῦτο δὲ χρή, ὦ Χάρης, εὖ εἰδέναι, ὅτι ἐὰν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα πράξῃς, τοῖς μὲν πολεμίοις ἐπιτετειχικὼς ἔσει, φιλίαν δὲ πόλιν διασεσωκώς, εὐκλεέστατος δὲ ἐν τῇ πατρίδι ἔσει, ὀνομαστότατος δὲ καὶ ἐν τοῖς συμμάχοις
21 καὶ πολεμίοις. ὁ μὲν δὴ Χάρης πεισθεὶς ἐθύετο. τῶν δὲ Φλιασίων εὐθὺς οἱ μὲν ἱππεῖς τοὺς θώρακας ἐνεδύοντο καὶ τοὺς ἵππους ἐχαλίνουν, οἱ δὲ ὁπλῖται ὅσα εἰς πεζὸν παρεσκευάζοντο. ἐπεὶ δὲ ἀναλαβόντες τὰ ὅπλα ἐπορεύοντο ἔνθα ἐθύετο, ἀπήντα αὐτοῖς ὁ Χάρης καὶ ὁ μάντις, καὶ ἔλεγον ὅτι καλὰ τὰ ἱερά. ἀλλὰ περιμένετε, ἔφασαν· ἤδη γὰρ καὶ ἡμεῖς ἔξιμεν. ὡς δὲ τάχιστα ἐκηρύχθη, θείᾳ τινὶ προθυμίᾳ καὶ οἱ μισθοφόροι
22 ταχὺ ἐξέδραμον. ἐπεὶ δὲ Χάρης ἤρξατο πορεύεσθαι, προῇσαν αὐτῷ οἱ τῶν Φλιασίων ἱππεῖς καὶ πεζοί· καὶ τὸ μὲν πρῶτον ταχέως ἡγοῦντο, ἔπειτα δὲ ἐτρόχαζον τέλος δὲ οἱ μὲν ἱππεῖς κατὰ κράτος ἤλαυνον, οἱ δὲ πεζοὶ κατὰ κράτος ἔθεον ὡς δυνατὸν ἐν τάξει, οἷς καὶ ὁ Χάρης σπουδῇ ἐπηκολούθει. ἦν μὲν οὖν τῆς ὥρας μικρὸν πρὸ δύντος ἡλίου· κατελάμβανον δὲ τοὺς ἐν τῷ τείχει πολεμίους τοὺς μὲν λουμένους, τοὺς δ' ὀψοποιουμένους,
23 τοὺς δὲ φυρῶντας, τοὺς δὲ στιβάδας ποιουμένους. ὡς δ' εἶδον τὴν σφοδρότητα τῆς ἐφόδου, εὐθὺς ἐκπλαγέντες ἔφυγον, καταλιπόντες τοῖς ἀγαθοῖς ἀνδράσι πάντα τἀπιτήδεια. κἀκεῖνοι μὲν ταῦτα δειπνήσαντες καὶ οἴκοθεν ἄλλα ἐλθόντα, ὡς ἐπ' εὐτυχίᾳ σπείσαντες καὶ παιανίσαντες καὶ φυλακὰς καταστησάμενοι, κατέδαρθον. οἱ δὲ Κορίνθιοι, ἀφικομένου τῆς νυκτὸς ἀγγέλου περὶ τῆς Θυαμίας, μάλα φιλικῶς κηρύξαντες τὰ ζεύγη καὶ τὰ ὑποζύγια πάντα καὶ σίτου γεμίσαντες εἰς τὸν Φλιοῦντα παρήγαγον· καὶ ἕωσπερ ἐτειχίζετο τὸ τεῖχος, ἑκάστης ἡμέρας παραπομπαὶ ἐγίγνοντο.

III. Περὶ μὲν δὴ Φλιασίων, ὡς καὶ πιστοὶ τοῖς φίλοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐγένοντο καὶ ἄλκιμοι ἐν τῷ πολέμῳ διετέλεσαν, καὶ ὡς πάντων σπανίζοντες διέμενον ἐν τῇ συμμαχίᾳ, εἴρηται. σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον Αἰνέας Στυμφάλιος, στρατηγὸς τῶν Ἀρκάδων γεγενημένος, νομίσας οὐκ ἀνεκτῶς ἔχειν τὰ ἐν τῷ Σικυῶνι, ἀναβὰς σὺν τῷ ἑαυτοῦ στρατεύματι εἰς τὴν ἀκρόπολιν συγκαλεῖ τῶν Σικυωνίων τῶν τε ἔνδον ὄντων τοὺς κρατίστους καὶ τοὺς ἄνευ δόγματος ἐκπεπτωκότας μετεπέμψατο. φοβηθεὶς 2 δὲ ταῦτα ὁ Εὔφρων καταφεύγει εἰς τὸν λιμένα τῶν Σικυωνίων, καὶ μεταπεμψάμενος Πασίμηλον ἐκ Κορίνθου, διὰ τούτου παραδίδωσι τὸν λιμένα τοῖς Λακεδαιμονίοις καὶ ἐν ταύτῃ αὖ τῇ συμμαχίᾳ ἀνεστρέφετο, λέγων ὡς Λακεδαιμονίοις διατελοίη πιστὸς ὤν· ὅτε γὰρ ψῆφος ἐδίδοτο ἐν τῇ πόλει, εἰ δοκοίη ἀφίστασθαι, μετ' ὀλίγων ἀποψηφίσασθαι ἔφη· ἔπειτα δὲ τοὺς προδόντας 3 ἑαυτὸν βουλόμενος τιμωρήσασθαι δῆμον καταστῆσαι. καὶ νῦν, ἔφη, φεύγουσιν ὑπ' ἐμοῦ πάντες οἱ ὑμᾶς προδιδόντες. εἰ μὲν οὖν ἐδυνάσθην ἐγώ, ὅλην ἂν ἔχων τὴν πόλιν πρὸς ὑμᾶς ἀπέστην· νῦν δ' οὗ ἐγκρατὴς ἐγενόμην τὸν λιμένα παραδέδωκα ὑμῖν. ἠκροῶντο μὲν δὴ πολλοὶ αὐτοῦ ταῦτα· ὁπόσοι δὲ ἐπείθοντο οὐ πάνυ κατάδηλον.

Ἀλλὰ γὰρ ἐπείπερ ἠρξάμην, διατελέσαι βούλομαι 4 τὰ περὶ Εὔφρονος. στασιασάντων γὰρ ἐν τῷ Σικυῶνι τῶν τε βελτίστων καὶ τοῦ δήμου, λαβὼν ὁ Εὔφρων Ἀθήνηθεν ξενικὸν πάλιν κατέρχεται. καὶ τοῦ μὲν ἄστεως ἐκράτει σὺν τῷ δήμῳ· Θηβαίου δὲ ἁρμοστοῦ τὴν ἀκρόπολιν ἔχοντος, ἐπεὶ ἔγνω οὐκ ἂν δυνάμενος τῶν Θηβαίων ἐχόντων τὴν ἀκρόπολιν τῆς πόλεως κρατεῖν, συσκευασάμενος χρήματα ᾤχετο, ὡς τούτοις πείσων Θηβαίους ἐκβάλλειν μὲν τοὺς κρατίστους, παραδοῦναι δ' αὐτῷ πάλιν τὴν πόλιν. αἰσθό- 5

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*μενοι δὲ οἱ πρόσθεν φυγάδες τὴν ὁδὸν αὐτοῦ καὶ τὴν παρασκευήν, ἀντεπορεύοντο εἰς τὰς Θήβας. ὡς δ' ἑώρων αὐτὸν οἰκείως τοῖς ἄρχουσι συνόντα, φοβηθέντες μὴ διαπράξαιτο ἃ βούλεται, παρεκινδύνευσάν τινες καὶ ἀποσφάττουσιν ἐν τῇ ἀκροπόλει τὸν Εὔφρονα, τῶν τε ἀρχόντων καὶ τῆς βουλῆς συγκαθημένων. οἱ μέντοι ἄρχοντες τοὺς ποιήσαντας εἰσήγαγον εἰς τὴν βουλήν, καὶ ἔλεγον τάδε.*

6 *Ὦ ἄνδρες πολῖται, ἡμεῖς τουτουσὶ τοὺς ἀποκτείναντας Εὔφρονα διώκομεν περὶ θανάτου, ὁρῶντες ὅτι οἱ μὲν σώφρονες οὐδὲν δήπου ἄδικον οὐδὲ ἀνόσιον ποιοῦσιν, οἱ δὲ πονηροὶ ποιοῦσι μέν, λανθάνειν δὲ πειρῶνται, οὗτοι δὲ τοσοῦτον πάντας ἀνθρώπους ὑπερβεβλήκασι τόλμῃ τε καὶ μιαρίᾳ ὥστε παρ' αὐτὰς τὰς ἀρχὰς καὶ παρ' αὐτοὺς ὑμᾶς τοὺς κυρίους οὕστινας δεῖ ἀποθνήσκειν καὶ οὕστινας μὴ αὐτογνωμονήσαντες ἀπέκτειναν τὸν ἄνδρα. εἰ οὖν οὗτοι μὴ δώσουσι τὴν ἐσχάτην δίκην, τίς ποτε πρὸς τὴν πόλιν θαρρῶν πορεύσεται; τί δὲ πείσεται ἡ πόλις, εἰ ἐξέσται τῷ βουλομένῳ ἀποκτεῖναι πρὶν δηλῶσαι ὅτου ἕνεκα ἥκει ἕκαστος; ἡμεῖς μὲν δὴ τούτους διώκομεν ὡς ἀνοσιωτάτους καὶ ἀδικωτάτους καὶ ἀνομωτάτους καὶ πλεῖστον δὴ ὑπεριδόντας τῆς πόλεως· ὑμεῖς δὲ ἀκηκοότες, ὁποίας τινὸς ὑμῖν δοκοῦσιν ἄξιοι εἶναι δίκης, ταύτην αὐτοῖς ἐπίθετε.*

7 *Οἱ μὲν ἄρχοντες τοιαῦτα εἶπον· τῶν δὲ ἀποκτεινάντων οἱ μὲν ἄλλοι ἠρνοῦντο μὴ αὐτόχειρες γεγενῆσθαι· εἷς δὲ ὡμολόγει, καὶ τῆς ἀπολογίας ὧδέ πως ἤρχετο. Ἀλλ' ὑπερορᾶν μέν, ὦ Θηβαῖοι, οὐ δυνατὸν ὑμῶν ἀνδρὶ ὃς εἰδείη κυρίους μὲν ὄντας ὅ,τι βούλεσθε αὐτῷ χρῆσθαι· τίνι μὴν πιστεύων ἀπέκτεινα τὸν ἄνδρα; εὖ ἴστε ὅτι πρῶτον μὲν τῷ νομίζειν δίκαιον*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖν, ἔπειτα δὲ τῷ ὑμᾶς ὀρθῶς γνώσεσθαι. ᾔδειν
γὰρ ὅτι καὶ ὑμεῖς τοὺς περὶ Ἀρχίαν καὶ Ὑπάτην, οὓς
ἐλάβετε ὅμοια Εὔφρονι πεποιηκότας, οὐ ψῆφον ἀνε-
μείνατε, ἀλλὰ ὁπότε πρῶτον ἐδυνάσθητε ἐτιμωρήσα-
σθε, νομίζοντες τῶν τε περιφανῶς ἀνοσίων καὶ τῶν
φανερῶς προδοτῶν καὶ τυραννεῖν ἐπιχειρούντων ὑπὸ
πάντων ἀνθρώπων θάνατον κατεγνῶσθαι. οὐκοῦν καὶ 8
Εὔφρων πᾶσι τούτοις ἔνοχος ἦν. παραλαβὼν μὲν γὰρ
τὰ ἱερὰ μεστὰ καὶ ἀργυρῶν καὶ χρυσῶν ἀναθημάτων
κενὰ πάντων τούτων ἀπέδειξε. προδότης γε μὴν τίς
ἂν περιφανέστερος Εὔφρονος εἴη, ὃς φίλτατος μὲν
ὢν Λακεδαιμονίοις ὑμᾶς ἀντ᾽ ἐκείνων εἵλετο· πιστὰ δὲ
δοὺς καὶ λαβὼν παρ᾽ ὑμῶν πάλιν προὔδωκεν ὑμᾶς καὶ
παρέδωκε τοῖς ἐναντίοις τὸν λιμένα; καὶ μὴν πῶς οὐκ
ἀπροφασίστως τύραννος ἦν, ὃς δούλους μὲν οὐ μόνον
ἐλευθέρους ἀλλὰ καὶ πολίτας ἐποίει, ἀπεκτίννυ δὲ καὶ
ἐφυγάδευε καὶ χρήματα ἀφῃρεῖτο οὐ τοὺς ἀδικοῦντας,
ἀλλ᾽ οὓς αὐτῷ ἐδόκει; οὗτοι δὲ ἦσαν οἱ βέλτιστοι. αὖ- 9
θις δὲ μετὰ τῶν ἐναντιωτάτων ὑμῖν Ἀθηναίων κατελ-
θὼν εἰς τὴν πόλιν ἐναντία μὲν ἔθετο τὰ ὅπλα τῷ
παρ᾽ ὑμῶν ἁρμοστῇ· ἐπεὶ δ᾽ ἐκεῖνον οὐκ ἐδυνάσθη ἐκ
τῆς ἀκροπόλεως ἐκβαλεῖν, συσκευασάμενος χρήματα
δεῦρο ἀφίκετο. καὶ εἰ μὲν ὅπλα ἠθροικὼς ἐφάνη ἐφ᾽
ὑμᾶς, καὶ χάριν ἄν μοι εἴχετε, εἰ ἀπέκτεινα αὐτόν· ὃς
δὲ χρήματα ἦλθε παρασκευασάμενος, ὡς τούτοις ὑμᾶς
διαφθερῶν καὶ πείσων πάλιν κύριον αὐτὸν ποιῆσαι
τῆς πόλεως, τούτῳ ἐγὼ τὴν δίκην ἐπιθεὶς πῶς ἂν δι-
καίως ὑφ᾽ ὑμῶν ἀποθάνοιμι; καὶ γὰρ οἱ μὲν ὅπλοις
βιασθέντες βλάπτονται μέν, οὐ μέντοι ἄδικοί γε ἀνα-
φαίνονται· οἱ δὲ χρήμασι παρὰ τὸ βέλτιστον διαφθαρέν-
τες ἅμα μὲν βλάπτονται, ἅμα δὲ αἰσχύνῃ περιπίπτου-
σιν. εἰ μὲν τοίνυν ἐμοὶ μὲν πολέμιος ἦν, ὑμῖν δὲ φίλος, 10

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κἀγὼ ὁμολογῶ μὴ καλῶς ἄν μοι ἔχειν παρ' ὑμῖν τοῦτον ἀποκτεῖναι· ὁ δὲ ὑμᾶς προδιδοὺς τί ἐμοὶ πολεμιώτερος ἦν ἢ ὑμῖν; ἀλλὰ νὴ Δία, εἴποι ἄν τις, ἑκὼν ἦλθε. κᾆτα εἰ μὲν ἀπεχόμενον τῆς ὑμετέρας πόλεως ἀπέκτεινέ τις αὐτόν, ἐπαίνου ἂν ἐτύγχανε· νῦν δὲ ὅτε πάλιν ἦλθεν ἄλλα πρὸς τοῖς πρόσθεν κακὰ ποιήσων, οὐ δικαίως φήσει τις αὐτὸν τεθνάναι; ποῦ ἔχων Ἕλλησι σπονδὰς ἀποδεῖξαι ἢ προδόταις ἢ παλιναυτομόλοις ἢ τυράν-
11 νοις; πρὸς δὲ τούτοις ἀναμνήσθητε ὅτι καὶ ἐψηφίσασθε δήπου τοὺς φυγάδας ἀγωγίμους εἶναι ἐκ πάντων τῶν συμμάχων. ὅστις δὲ ἄνευ κοινοῦ τῶν συμμάχων δόγματος κατέρχεται φυγάς, τοῦτον ἔχοι τις ἂν εἰπεῖν ὅπως οὐ δίκαιόν ἐστιν ἀποθνήσκειν; ἐγὼ φημι, ὦ ἄνδρες, ἀποκτείναντας μὲν ὑμᾶς ἐμὲ τετιμωρηκότας ἔσεσθαι ἀνδρὶ τῷ πάντων ὑμῖν πολεμιωτάτῳ· γνόντας δὲ δίκαια πεποιηκέναι αὐτοὺς τετιμωρηκότας φανεῖσθαι ὑπέρ τε ὑμῶν αὐτῶν καὶ ὑπὲρ τῶν συμμάχων ἁπάντων.

12 Οἱ μὲν οὖν Θηβαῖοι ταῦτα ἀκούσαντες ἔγνωσαν δίκαια τὸν Εὔφρονα πεπονθέναι· οἱ μέντοι πολῖται αὐτοῦ ὡς ἄνδρα ἀγαθὸν κομισάμενοι ἔθαψάν τε ἐν τῇ ἀγορᾷ καὶ ὡς ἀρχηγέτην τῆς πόλεως σέβονται. οὕτως, ὡς ἔοικεν, οἱ πλεῖστοι ὁρίζονται τοὺς εὐεργέτας ἑαυτῶν ἄνδρας ἀγαθοὺς εἶναι.

IV. Καὶ τὰ μὲν περὶ Εὔφρονος εἴρηται· ἐγὼ δὲ ἔνθεν
a.C. 366. εἰς ταῦτα ἐξέβην ἐπάνειμι. ἔτι γὰρ τειχιζόντων τῶν Φλιασίων τὴν Θυαμίαν καὶ τοῦ Χάρητος ἔτι παρόντος Ὠρωπὸς ὑπὸ τῶν φευγόντων κατελήφθη. στρατευσαμένων δὲ πάντων Ἀθηναίων ἐπ' αὐτὸν καὶ τὸν Χάρητα μεταπεμψαμένων ἐκ τῆς Θυαμίας, ὁ μὲν λιμὴν αὖ ὁ τῶν Σικυωνίων πάλιν ὑπ' αὐτῶν τε τῶν πολιτῶν καὶ τῶν Ἀρκάδων ἁλίσκεται· τοῖς δ' Ἀθηναίοις οὐδεὶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν συμμάχων ἐβοήθησεν, ἀλλ' ἀνεχώρησαν Θηβαίοις παρακαταθέμενοι τὸν Ὠρωπὸν μέχρι δίκης.

Καταμαθὼν δὲ ὁ Λυκομήδης μεμφομένους τοὺς 2
Ἀθηναίους τοῖς συμμάχοις, ὅτι αὐτοὶ μὲν πολλὰ πράγματα εἶχον δι' ἐκείνους, ἀντεβοήθησε δ' αὐτοῖς οὐδείς, πείθει τοὺς μυρίους πράττειν περὶ συμμαχίας πρὸς αὐτούς. τὸ μὲν οὖν πρῶτον ἐδυσχέραινόν τινες τῶν Ἀθηναίων τὸ Λακεδαιμονίοις ὄντας φίλους γενέσθαι τοῖς ἐναντίοις αὐτῶν συμμάχους· ἐπειδὴ δὲ λογιζόμενοι ηὕρισκον οὐδὲν μεῖον Λακεδαιμονίοις ἢ σφίσιν ἀγαθὸν τὸ Ἀρκάδας μὴ προσδεῖσθαι Θηβαίων, οὕτω δὴ προσεδέχοντο τὴν τῶν Ἀρκάδων συμμαχίαν. καὶ 3
Λυκομήδης ταῦτα πράττων, ἀπιὼν Ἀθήνηθεν δαιμονιώτατα ἀποθνήσκει. ὄντων γὰρ παμπόλλων πλοίων, ἐκλεξάμενος τούτων ὃ ἐβούλετο, καὶ συνθέμενος τοίνυν ἀποβιβάσαι ὅποι αὐτὸς κελεύοι, εἵλετο ἐνταῦθα ἐκβῆναι ἔνθα οἱ φυγάδες ἐτύγχανον ὄντες. κἀκεῖνος μὲν οὕτως ἀποθνήσκει, ἡ μέντοι συμμαχία ὄντως ἐπεραίνετο.

Εἰπόντος δὲ Δημοτίωνος ἐν τῷ δήμῳ τῶν Ἀθη- 4
ναίων ὡς ἡ μὲν πρὸς τοὺς Ἀρκάδας φιλία καλῶς αὐτῷ δοκοίη πράττεσθαι, τοῖς μέντοι στρατηγοῖς προστάξαι ἔφη χρῆναι ὅπως καὶ Κόρινθος σῶς ᾖ τῷ δήμῳ τῶν Ἀθηναίων· ἀκούσαντες δὲ ταῦτα οἱ Κορίνθιοι, ταχὺ πέμψαντες ἱκανοὺς φρουροὺς ἑαυτῶν πάντοσε ὅπου Ἀθηναῖοι ἐφρούρουν εἶπον αὐτοῖς ἀπιέναι, ὡς οὐδὲν ἔτι δεόμενοι φρουρῶν. οἱ δ' ἐπείθοντο. ὡς δὲ συνῆλθον οἱ ἐκ τῶν φρουρίων Ἀθηναῖοι εἰς τὴν πόλιν, ἐκήρυξαν οἱ Κορίνθιοι, εἴ τις ἀδικοῖτο Ἀθηναίων, ἀπογράφεσθαι, ὡς ληψομένους τὰ δίκαια. οὕτω δὲ 5
τούτων ἐχόντων Χάρης ἀφικνεῖται μετὰ ναυτικοῦ πρὸς Κεγχρείας. ἐπεὶ δ' ἔγνω τὰ πεπραγμένα, ἔλεξεν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτι ἀκούσας ἐπιβουλεύεσθαι τῇ πόλει βοηθῶν παρείη. οἱ δ' ἐπαινέσαντες αὐτὸν οὐδέν τι μᾶλλον ἐδέχοντο τὰς ναῦς εἰς τὸν λιμένα, ἀλλ' ἀποπλεῖν ἐκέλευον· καὶ τοὺς ὁπλίτας δὲ τὰ δίκαια ποιήσαντες ἀπέπεμψαν. ἐκ μὲν οὖν τῆς Κορίνθου οἱ Ἀθηναῖοι οὕτως ἀπηλλάγησαν.
6 τοῖς μέντοι Ἀρκάσι πέμπειν ἠναγκάζοντο τοὺς ἱππέας ἐπικούρους διὰ τὴν συμμαχίαν, εἴ τις στρατεύοιτο ἐπὶ τὴν Ἀρκαδίαν· τῆς δὲ Λακωνικῆς οὐκ ἐπέβαινον ἐπὶ πολέμῳ.

Τοῖς δὲ Κορινθίοις ἐνθυμουμένοις ὡς χαλεπῶς ἔχοι αὐτοὺς σωθῆναι, κρατουμένους μὲν καὶ πρόσθεν κατὰ γῆν, προσγεγενημένων δὲ αὐτοῖς Ἀθηναίων ἀνεπιτηδείων, ἔδοξεν ἀθροίζειν καὶ πεζοὺς καὶ ἱππέας μισθοφόρους. ἡγούμενοι δὲ τούτων, ἅμα μὲν τὴν πόλιν ἐφύλαττον, ἅμα δὲ πολλὰ τοὺς πλησίον πολεμίους κακῶς ἐποίουν· εἰς μέντοι Θήβας ἔπεμψαν ἐπερησομένους
7 εἰ τύχοιεν ἂν ἐλθόντες εἰρήνης. ἐπεὶ δὲ οἱ Θηβαῖοι ἰέναι ἐκέλευον, ὡς ἐσομένης, ἐδεήθησαν οἱ Κορίνθιοι ἐᾶσαι σφᾶς ἐλθεῖν καὶ ἐπὶ τοὺς συμμάχους, ὡς μετὰ μὲν τῶν βουλομένων ποιησόμενοι τὴν εἰρήνην, τοὺς δὲ πόλεμον αἱρουμένους ἐάσοντες πολεμεῖν. ἐφέντων δὲ καὶ ταῦτα πράττειν τῶν Θηβαίων, ἐλθόντες εἰς
8 Λακεδαίμονα οἱ Κορίνθιοι εἶπον, Ἡμεῖς, ὦ ἄνδρες Λακεδαιμόνιοι, πρὸς ὑμᾶς πάρεσμεν ὑμέτεροι φίλοι, καὶ ἀξιοῦμεν, εἰ μέν τινα ὁρᾶτε σωτηρίαν ἡμῖν, ἐὰν διακαρτερῶμεν πολεμοῦντες, διδάξαι καὶ ἡμᾶς· εἰ δὲ ἀπόρως γιγνώσκετε ἔχοντα τὰ ἡμέτερα, εἰ μὲν καὶ ὑμῖν συμφέρει, ποιήσασθαι μεθ' ἡμῶν τὴν εἰρήνην· ὡς οὐδὲ μεθ' ἑνῶν ἂν ἥδιον ἢ μεθ' ὑμῶν σωθείημεν· εἰ μέντοι ὑμεῖς λογίζεσθε συμφέρειν ὑμῖν πολεμεῖν, δεόμεθα ὑμῶν ἐᾶσαι ἡμᾶς εἰρήνην ποιήσασθαι. σωθέντες μὲν γὰρ ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοίμεθα· ἐὰν δὲ νῦν ἀπολώμεθα, δῆλον ὅτι οὐδέποτε
χρήσιμοι ἔτι ἐσόμεθα. ἀκούσαντες δὲ ταῦτα οἱ Λακε- 9
δαιμόνιοι τοῖς τε Κορινθίοις συνεβούλευον τὴν εἰρή-
νην ποιήσασθαι καὶ τῶν ἄλλων συμμάχων ἐπέτρεψαν
τοῖς μὴ βουλομένοις σὺν ἑαυτοῖς πολεμεῖν ἀναπαύ-
εσθαι· αὐτοὶ δ' ἔφασαν πολεμοῦντες πράξειν ὅ,τι ἂν
τῷ θεῷ φίλον ᾖ· ὑφήσεσθαι δὲ οὐδέποτε, ἣν παρὰ τῶν
πατέρων παρέλαβον Μεσσήνην, ταύτης στερηθῆναι.
οἱ οὖν Κορίνθιοι ἀκούσαντες ταῦτα ἐπορεύοντο εἰς 10
τὰς Θήβας ἐπὶ τὴν εἰρήνην. οἱ μέντοι Θηβαῖοι ἠξίουν
αὐτοὺς καὶ συμμαχίαν ὀμνύναι· οἱ δὲ ἀπεκρίναντο ὅτι
ἡ μὲν συμμαχία οὐκ εἰρήνη ἀλλὰ πολέμου μεταλλαγὴ
εἴη· εἰ δὲ βούλοιντο, παρεῖναι ἔφασαν τὴν δικαίαν
εἰρήνην ποιησόμενοι. ἀγασθέντες δὲ αὐτοὺς οἱ Θη-
βαῖοι, ὅτι καίπερ ἐν κινδύνῳ ὄντες οὐκ ἤθελον τοῖς
εὐεργέταις εἰς πόλεμον καθίστασθαι, συνεχώρησαν
αὐτοῖς καὶ Φλιασίοις καὶ τοῖς ἐλθοῦσι μετ' αὐτῶν εἰς
Θήβας τὴν εἰρήνην ἐφ' ᾧτε ἔχειν τὴν ἑαυτῶν ἑκάστους.
καὶ ἐπὶ τούτοις ὠμόθησαν οἱ ὅρκοι. οἱ μὲν δὴ Φλιά- 11
σιοι, ἐπεὶ οὕτως ἡ σύμβασις ἐγένετο, εὐθὺς ἀπῆλθον
ἐκ τῆς Θυαμίας· οἱ δὲ Ἀργεῖοι ὀμόσαντες ἐπὶ τοῖς αὐ-
τοῖς τούτοις εἰρήνην ποιήσεσθαι, ἐπεὶ οὐκ ἐδύναντο
καταπρᾶξαι ὥστε τοὺς τῶν Φλιασίων φυγάδας μένειν
ἐν τῷ Τρικαράνῳ ὡς ἐν τῇ ἑαυτῶν πόλει ἔχοντας, πα-
ραλαβόντες ἐφρούρουν, φάσκοντες σφετέραν τὴν γῆν
ταύτην εἶναι, ἣν ὀλίγῳ πρότερον ὡς πολεμίαν οὖσαν
ἐδῄουν. καὶ δίκας τῶν Φλιασίων προκαλουμένων οὐκ
ἐδίδοσαν.

Σχεδὸν δὲ περὶ τοῦτον τὸν χρόνον τετελευτηκότος 12
ἤδη τοῦ πρόσθεν Διονυσίου ὁ υἱὸς αὐτοῦ πέμπει βοή-
θειαν τοῖς Λακεδαιμονίοις δώδεκα τριήρεις καὶ ἄρχον-
τα αὐτῶν Τιμοκράτη. οὗτος δ' οὖν ἀφικόμενος συν-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐξαιρεῖ αὐτοῖς Σελλασίαν· καὶ τοῦτο πράξας ἀπέπλευσεν οἴκαδε.

a.C. 363. Μετὰ δὲ τοῦτο οὐ πολλῷ ὕστερον καταλαμβάνουσιν οἱ Ἠλεῖοι Λασιῶνα, τὸ μὲν παλαιὸν ἑαυτῶν ὄντα, ἐν
13 δὲ τῷ παρόντι συντελοῦντα εἰς τὸ Ἀρκαδικόν. οἱ μέντοι Ἀρκάδες οὐ παρωλιγώρησαν, ἀλλ' εὐθὺς παραγγείλαντες ἐβοήθουν. ἀντεβοήθησαν δὲ καὶ τῶν Ἠλείων οἱ τριακόσιοι, καὶ ἔτι τετρακόσιοι. ἀντεστρατοπεδευμένων δὲ τὴν ἡμέραν ἐν ἐπιπεδεστέρῳ χωρίῳ τῶν Ἠλείων τῆς νυκτὸς οἱ Ἀρκάδες ἀναβαίνουσιν ἐπὶ τὴν τοῦ ὑπὲρ τῶν Ἠλείων ὄρους κορυφήν· ἅμα δὲ τῇ ἡμέρᾳ κατέβαινον ἐπὶ τοὺς Ἠλείους. οἱ δὲ ἰδόντες ἅμα μὲν ἐξ ὑπερδεξίου προσιόντας, ἅμα δὲ πολλαπλασίους, ἐκ πολλοῦ μὲν ἀπελθεῖν ᾐσχύνθησαν, ὁμόσε δ' ἦλθον καὶ εἰς χεῖρας δεξάμενοι ἔφυγον· καὶ πολλοὺς μὲν ἄνδρας, πολλὰ δὲ ὅπλα ἀπώλεσαν, κατὰ δυσχωρίας ἀποχωροῦντες.

14 Οἱ δὲ Ἀρκάδες διαπραξάμενοι ταῦτα ἐπορεύοντο ἐπὶ τὰς τῶν Ἀκρωρείων πόλεις. λαβόντες δὲ ταύτας πλὴν Θραύστου ἀφικνοῦνται εἰς Ὀλυμπίαν, καὶ περισταυρώσαντες τὸ Κρόνιον ἐνταῦθα ἐφρούρουν καὶ ἐκράτουν τοῦ Ὀλυμπιακοῦ ὄρους· ἔλαβον δὲ καὶ Μαργανέας ἐνδόντων τινῶν. οὕτω δὲ προκεχωρηκότων οἱ μὲν Ἠλεῖοι αὖ παντάπασιν ἠθύμησαν, οἱ δὲ Ἀρκάδες ἔρχονται ἐπὶ τὴν πόλιν. καὶ μέχρι μὲν τῆς ἀγορᾶς ἦλθον· ἐκεῖ μέντοι ὑποστάντες οἵ τε ἱππεῖς καὶ οἱ ἄλλοι αὐτῶν ἐκβάλλουσί τε αὐτοὺς καὶ ἀπέκτεινάν
15 τινας καὶ τρόπαιον ἐστήσαντο. ἦν μὲν οὖν καὶ πρότερον διαφορὰ ἐν τῇ Ἤλιδι. οἱ μὲν γὰρ περὶ Χάροπόν τε καὶ Θρασωνίδαν καὶ Ἀργεῖον εἰς δημοκρατίαν ἦγον τὴν πόλιν, οἱ δὲ περὶ Στάλκαν τε καὶ Ἱππίαν καὶ Στρατόλαν εἰς ὀλιγαρχίαν. ἐπεὶ δ' οἱ Ἀρκάδες μεγάλην δύναμιν ἔχοντες σύμμαχοι ἐδόκουν εἶναι τοῖς δημοκρα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεῖσθαι βουλομένοις, ἐκ τούτου δὴ θρασύτεροι οἱ περὶ
τὸν Χάροπον ἦσαν, καὶ συνθέμενοι τοῖς Ἀρκάσιν ἐπι-
βοηθεῖν καταλαμβάνουσι τὴν ἀκρόπολιν. οἱ δ' ἱππεῖς 16
καὶ οἱ τριακόσιοι οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐχώρουν
ἄνω. καὶ ἐκκρούουσιν αὐτούς· ὥστ' ἔφυγον σὺν τῷ
Ἀργείῳ καὶ Χαρόπῳ τῶν πολιτῶν περὶ τετρακοσίους.
οὐ πολὺ δ' ὕστερον οὗτοι παραλαβόντες τῶν Ἀρκάδων
τινὰς καταλαμβάνουσι Πύλον. καὶ πολλοὶ μέντοι πρὸς
αὐτοὺς ἐκ τῆς πόλεως ἀπῇσαν τοῦ δήμου, ἅτε χωρίον
τε καλὸν καὶ μεγάλην ῥώμην τὴν τῶν Ἀρκάδων σύμ-
μαχον ἔχοντας. ἐνέβαλον δὲ καὶ ὕστερον εἰς τὴν χώραν
τὴν τῶν Ἠλείων οἱ Ἀρκάδες, ὑπὸ τῶν φευγόντων
ἀναπειθόμενοι ὡς ἡ πόλις προσχωρήσοιτο. ἀλλὰ τότε 17
μὲν οἱ Ἀχαιοὶ φίλοι γεγενημένοι τοῖς Ἠλείοις τὴν πό-
λιν αὐτῶν διεφύλαξαν· ὥστε οἱ Ἀρκάδες οὐδὲν ἄλλο
πράξαντες ἢ δῃώσαντες αὐτῶν τὴν χώραν ἀπῆλθον.
εὐθὺς μέντοι ἐκ τῆς Ἠλείας ἐξιόντες, αἰσθόμενοι τοὺς
Πελληνέας ἐν Ἤλιδι ὄντας, νυκτὸς μακροτάτην ὁδὸν
ἐλθόντες καταλαμβάνουσιν αὐτῶν Ὄλουρον· ἤδη γὰρ
πάλιν προσεκεχωρήκεσαν οἱ Πελληνεῖς εἰς τὴν τῶν Λα-
κεδαιμονίων συμμαχίαν. ἐπεὶ δ' ᾔσθοντο τὰ περὶ Ὀλού- 18
ρου, περιελθόντες αὖ καὶ οὗτοι ὅπῃ ἐδύναντο εἰς τὴν
αὑτῶν πόλιν Πελλήνην εἰσῆλθον. καὶ ἐκ τούτου δὴ
ἐπολέμουν τοῖς ἐν Ὀλούρῳ Ἀρκάσι τε καὶ τῷ ἑαυτῶν
παντὶ δήμῳ μάλα ὀλίγοι ὄντες· ὅμως δὲ οὐ πρόσθεν
ἐπαύσαντο πρὶν ἐξεπολιόρκησαν τὸν Ὄλουρον.

Οἱ δ' αὖ Ἀρκάδες πάλιν ποιοῦνται ἄλλην στρα- 19
τείαν εἰς τὴν Ἦλιν. μεταξὺ δὲ Κυλλήνης καὶ τῆς πό- B.C. 364
λεως στρατοπεδευομένοις αὐτοῖς ἐπιτίθενται οἱ Ἠλεῖοι,
ὑποστάντες δὲ οἱ Ἀρκάδες ἐνίκησαν αὐτούς. καὶ Ἀν-
δρόμαχος μὲν ὁ Ἠλεῖος ἵππαρχος, ὅσπερ αἴτιος ἐδόκει εἶ-
ναι τὴν μάχην συνάψαι, αὐτὸς αὑτὸν διέφθειρεν· οἱ δ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄλλοι εἰς τὴν πόλιν ἀπεχώρησαν. ἀπέθανε δὲ ἐν ταύτῃ τῇ μάχῃ παραγενόμενος καὶ Σωκλείδας ὁ Σπαρτιάτης· ἤδη γὰρ τότε οἱ Λακεδαιμόνιοι σύμμαχοι τοῖς Ἠλείοις
20 ἦσαν. πιεζόμενοι δὲ οἱ Ἠλεῖοι ἐν τῇ ἑαυτῶν, ἠξίουν καὶ τοὺς Λακεδαιμονίους πέμποντες πρέσβεις ἐπιστρατεύειν τοῖς Ἀρκάσι, νομίζοντες οὕτως ἂν μάλιστα ἀπολαβεῖν τοὺς Ἀρκάδας, εἰ ἀμφοτέρωθεν πολεμοῖντο. καὶ ἐκ τούτου δὴ Ἀρχίδαμος στρατεύεται μετὰ τῶν πολιτῶν, καὶ καταλαμβάνει Κρῶμνον. καταλιπὼν δ' ἐν αὐτῷ φρουρὰν τῶν δώδεκα λόχων τρεῖς, οὕτως ἐπ' οἶ-
21 κον ἀνεχώρησεν. οἱ μέντοι Ἀρκάδες, ὥσπερ ἔτυχον ἐκ τῆς εἰς Ἦλιν στρατείας συνειλεγμένοι, βοηθήσαντες περιεσταύρωσαν τὸν Κρῶμνον διπλῷ σταυρώματι, καὶ ἐν ἀσφαλεῖ ὄντες ἐπολιόρκουν τοὺς ἐν τῷ Κρώμνῳ. χαλεπῶς δὲ ἡ τῶν Λακεδαιμονίων πόλις φέρουσα ἐπὶ τῇ πολιορκίᾳ τῶν πολιτῶν, ἐκπέμπει στρατιάν· ἡγεῖτο δὲ καὶ τότε Ἀρχίδαμος. ἐλθὼν δὲ ἐδῄου καὶ τῆς Ἀρκαδίας ὅσα ἐδύνατο καὶ τῆς Σκιρίτιδος, καὶ πάντα ἐποίει ὅπως, εἰ δύναιτο, ἀπαγάγοι τοὺς πολιορκοῦντας. οἱ δὲ Ἀρκάδες οὐδέν τι μᾶλλον ἐκινοῦντο, ἀλλὰ
22 ταῦτα πάντα παρεώρων. κατιδὼν δέ τινα λόφον ὁ Ἀρχίδαμος, δι' οὗ τὸ ἔξω σταύρωμα περιεβέβληντο οἱ Ἀρκάδες, ἐνόμισεν ἑλεῖν ἂν τοῦτον, καὶ εἰ τούτου κρατήσειεν, οὐκ ἂν δύνασθαι μένειν τοὺς ὑπὸ τοῦτον πολιορκοῦντας. κύκλῳ δὲ περιάγοντος αὐτοῦ ἐπὶ τοῦτο τὸ χωρίον, ὡς εἶδον οἱ προθέοντες τοῦ Ἀρχιδάμου πελτασταὶ τοὺς ἐπαρίτους ἔξω τοῦ σταυρώματος, ἐπιτίθενται αὐτοῖς, καὶ οἱ ἱππεῖς συνεμβάλλειν ἐπειρῶντο. οἱ δ' οὐκ ἐνέκλιναν, ἀλλὰ συντεταγμένοι ἡσυχίαν εἶχον. οἱ δ' αὖ πάλιν ἐνέβαλον. ἐπεὶ δὲ οὐδὲ τότε ἐνέκλιναν, ἀλλὰ καὶ ἐπῇσαν, ἤδη οὔσης πολλῆς κραυγῆς, ἐβοήθει δὴ καὶ αὐτὸς ὁ Ἀρχίδαμος, ἐκτραπόμενος κα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ τὴν ἐπὶ Κρῶμνον φέρουσαν ἁμαξιτόν, εἰς δύο ἄγων, ὥσπερ ἐτύγχανεν ἔχων. ὡς δ' ἐπλησίασαν ἀλλήλοις, οἱ 23
μὲν σὺν τῷ Ἀρχιδάμῳ κατὰ κέρας, ἅτε καθ' ὁδὸν πορευόμενοι, οἱ δ' Ἀρκάδες ἀθρόοι συνασπιδοῦντες, ἐν τούτῳ οὐκέτι ἐδύναντο οἱ Λακεδαιμόνιοι ἀντέχειν τῷ τῶν Ἀρκάδων πλήθει, ἀλλὰ ταχὺ μὲν ὁ Ἀρχίδαμος ἐτέτρωτο τὸν μηρὸν διαμπάξ, ταχὺ δὲ οἱ μαχόμενοι πρὸ αὐτοῦ ἀπέθνησκον, Πολυαινίδας τε καὶ Χίλων ὁ τὴν ἀδελφὴν τοῦ Ἀρχιδάμου ἔχων, καὶ οἱ πάντες δὲ αὐτῶν τότε ἀπέθανον οὐκ ἔλαττον τῶν τριάκοντα. ὡς δὲ κα- 24
τὰ τὴν ὁδὸν ἀναχωροῦντες εἰς τὴν εὐρυχωρίαν ἐξῆλθον, ἐνταῦθα δὴ Λακεδαιμόνιοι ἀντιπαρετάξαντο. καὶ μὴν οἱ Ἀρκάδες, ὥσπερ εἶχον, συντεταγμένοι ἕστασαν, καὶ πλήθει μὲν ἐλείποντο, εὐθυμότερον δὲ πολὺ εἶχον, ἐπεληλυθότες ἀποχωροῦσι καὶ ἄνδρας ἀπεκτονότες. οἱ δὲ Λακεδαιμόνιοι μάλα ἀθύμως εἶχον, τετρωμένον μὲν ὁρῶντες τὸν Ἀρχίδαμον, ἀκηκοότες δὲ τὰ ὀνόματα τῶν τεθνηκότων, ἀνδρῶν τε ἀγαθῶν καὶ σχεδὸν τῶν ἐπιφανεστάτων. ὡς δὲ πλησίον ὄντων ἀναβοήσας τις 25
τῶν πρεσβυτέρων εἶπε, Τί δεῖ ἡμᾶς, ὦ ἄνδρες, μάχεσθαι, ἀλλ' οὐ σπεισαμένους διαλυθῆναι; ἄσμενοι δὴ ἀμφότεροι ἀκούσαντες ἐσπείσαντο. καὶ οἱ μὲν Λακεδαιμόνιοι τοὺς νεκροὺς ἀνελόμενοι ἀπῆλθον, οἱ δ' Ἀρκάδες ἐπαναχωρήσαντες ἔνθα τὸ πρῶτον ἤρξαντο ἐπιέναι τρόπαιον ἐστήσαντο.

Ὡς δὲ οἱ Ἀρκάδες περὶ τὸν Κρῶμνον ἦσαν, οἱ ἐκ 26
τῆς πόλεως Ἠλεῖοι πρῶτον μὲν ἰόντες ἐπὶ τὴν Πύλον περιτυγχάνουσι τοῖς Πυλίοις ἀποκεκρουμένοις ἐκ τῶν Θαλαμῶν. καὶ προσελαύνοντες οἱ ἱππεῖς τῶν Ἠλείων ὡς εἶδον αὐτούς, οὐκ ἐμέλλησαν, ἀλλ' εὐθὺς ἐμβάλλουσι, καὶ τοὺς μὲν ἀποκτιννύασιν, οἱ δέ τινες αὐτῶν καταφεύγουσιν ἐπὶ γήλοφον. ἐπεὶ μέντοι ἦλθον οἱ πε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζοί, ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τῷ λόφῳ, καὶ τοὺς μὲν αὐτοῦ ἀπέκτειναν, τοὺς δὲ καὶ ζῶντας ἔλαβον ἐγγὺς διακοσίων. καὶ ὅσοι μὲν ξένοι ἦσαν αὐτῶν, ἀπέδοντο, ὅσοι δὲ φυγάδες, ἀπέσφαττον. μετὰ δὲ ταῦτα τούς τε Πυλίους, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, σὺν αὐτῷ τῷ χω-
27 ρίῳ αἱροῦσι, καὶ τοὺς Μαργανέας ἀναλαμβάνουσι. καὶ μὴν οἱ Λακεδαιμόνιοι ὕστερον αὖ ἐλθόντες νυκτὸς ἐπὶ τὸν Κρῶμνον ἐπικρατοῦσι τοῦ σταυρώματος τοῦ κατὰ τοὺς Ἀργείους καὶ τοὺς πολιορκουμένους τῶν Λακεδαιμονίων εὐθὺς ἐξεκάλουν. ὅσοι μὲν οὖν ἐγγύτατά τε ἐτύγχανον ὄντες καὶ ὠξυλάβησαν, ἐξῆλθον· ὁπόσους δὲ ἔφθασαν πολλοὶ τῶν Ἀρκάδων συμβοηθήσαντες, ἀπεκλείσθησαν ἔνδον καὶ ληφθέντες διενεμήθησαν· καὶ ἓν μὲν μέρος ἔλαβον Ἀργεῖοι, ἓν δὲ Θηβαῖοι, ἓν δὲ Ἀρκάδες, ἓν δὲ Μεσσήνιοι. οἱ δὲ σύμπαντες ληφθέντες Σπαρτιατῶν τε καὶ περιοίκων πλείονες τῶν ἑκατὸν ἐγένοντο.

28 Ἐπεί γε μὴν οἱ Ἀρκάδες ἐσχόλασαν ἀπὸ τοῦ Κρώμνου, πάλιν δὴ περὶ τοὺς Ἠλείους εἶχον, καὶ τήν τε Ὀλυμπίαν ἐρρωμενέστερον ἐφρούρουν, καὶ ἐπιόντος Ὀλυμπιακοῦ ἔτους παρεσκευάζοντο ποιεῖν τὰ Ὀλύμπια σὺν Πισάταις τοῖς πρώτοις φάσκουσι προστῆναι τοῦ ἱεροῦ. ἐπεὶ δὲ ὅ τε μὴν ἧκεν ἐν ᾧ τὰ Ὀλύμπια γίγνεται αἵ τε ἡμέραι ἐν αἷς ἡ πανήγυρις ἀθροίζεται, ἐνταῦθα δὴ οἱ Ἠλεῖοι ἐκ τοῦ φανεροῦ συσκευασάμενοι καὶ παρακαλέσαντες Ἀχαιοὺς ἐπορεύοντο τὴν Ὀλυμπιακὴν
29 ὁδόν. οἱ δὲ Ἀρκάδες ἐκείνους μὲν οὐκ ἄν ποτε ᾤοντο ἐλθεῖν ἐπὶ σφᾶς, αὐτοὶ δὲ σὺν Πισάταις διετίθεσαν τὴν πανήγυριν. καὶ τὴν μὲν ἱπποδρομίαν ἤδη ἐπεποιήκεσαν καὶ τὰ δρομικὰ τοῦ πεντάθλου· οἱ δ᾽ εἰς πάλην ἀφικόμενοι οὐκέτι ἐν τῷ δρόμῳ, ἀλλὰ μεταξὺ τοῦ δρόμου καὶ τοῦ βωμοῦ ἐπάλαιον. οἱ γὰρ Ἠλεῖοι σὺν τοῖς

Δημοσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅπλοις παρῆσαν ἤδη εἰς τὸ τέμενος. οἱ δὲ Ἀρκάδες πορ-
ρωτέρω μὲν οὐκ ἀπήντησαν, ἐπὶ δὲ τοῦ Κλαδάου πο-
ταμοῦ παρετάξαντο, ὃς παρὰ τὴν Ἄλτιν καταρρέων εἰς
τὸν Ἀλφειὸν ἐμβάλλει. καὶ σύμμαχοι δὲ παρῆσαν αὐτοῖς,
ὁπλῖται μὲν Ἀργείων εἰς δισχιλίους, Ἀθηναίων δὲ ἱπ-
πεῖς περὶ τετρακοσίους. καὶ μὴν οἱ Ἠλεῖοι τἀπὶ θάτε- 30
ρα τοῦ ποταμοῦ παρετάξαντο, σφαγιασάμενοι δὲ εὐθὺς
ἐχώρουν. καὶ τὸν πρόσθεν χρόνον εἰς τὰ πολεμικὰ κα-
ταφρονούμενοι μὲν ὑπ' Ἀρκάδων καὶ Ἀργείων, κατα-
φρονούμενοι δὲ ὑπ' Ἀχαιῶν καὶ Ἀθηναίων, ὅμως ἐκεί-
νῃ τῇ ἡμέρᾳ τῶν μὲν συμμάχων ὡς ἀλκιμώτατοι ὄντες
ἡγοῦντο, τοὺς δ' Ἀρκάδας, τούτοις γὰρ πρώτοις συνέ-
βαλον, καὶ εὐθὺς ἐτρέψαντο, καὶ ἐπιβοηθήσαντας δὲ
τοὺς Ἀργείους δεξάμενοι καὶ τούτων ἐκράτησαν. ἐπεὶ 31
μέντοι κατεδίωξαν εἰς τὸ μεταξὺ τοῦ βουλευτηρίου καὶ
τοῦ τῆς Ἑστίας ἱεροῦ καὶ τοῦ πρὸς ταῦτα προσήκοντος
θεάτρου, ἐμάχοντο μὲν οὐδὲν ἧττον καὶ ἐώθουν πρὸς
τὸν βωμόν, ἀπὸ μέντοι τῶν στοῶν τε καὶ τοῦ βουλευ-
τηρίου καὶ τοῦ μεγάλου ναοῦ βαλλόμενοι καὶ ἐν τῷ
ἰσοπέδῳ μαχόμενοι, ἀποθνήσκουσιν ἄλλοι τε τῶν
Ἠλείων καὶ αὐτὸς ὁ τῶν τριακοσίων ἄρχων Στρατόλας.
τούτων δὲ πραχθέντων ἀπεχώρησαν εἰς τὸ αὑτῶν στρα-
τόπεδον. οἱ μέντοι Ἀρκάδες καὶ οἱ μετ' αὐτῶν οὕτως 32
ἐπεφόβηντο τὴν ἐπιοῦσαν ἡμέραν ὥστε οὐδ' ἀνεπαύ-
σαντο τῆς νυκτός, ἐκκόπτοντες τὰ διαπεπονημένα σκη-
νώματα καὶ ἀποσταυροῦντες. οἱ δ' αὖ Ἠλεῖοι ἐπεὶ τῇ
ὑστεραίᾳ προσιόντες εἶδον καρτερὸν τὸ τεῖχος καὶ ἐπὶ
τῶν ναῶν πολλοὺς ἀναβεβηκότας, ἀπῆλθον εἰς τὸ
ἄστυ, τοιοῦτοι γενόμενοι οἵους τὴν ἀρετὴν θεὸς μὲν
ἂν ἐμπνεύσας δύναιτο καὶ ἐν ἡμέρᾳ ἀποδεῖξαι, ἄνθρω-
ποι δ' οὐδ' ἂν ἐν πολλῷ χρόνῳ τοὺς μὴ ὄντας ἀλκίμους
ποιήσειαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

33 Χρωμένων δὲ τοῖς ἱεροῖς χρήμασι τῶν ἐν τοῖς Ἀρ-
κάσιν ἀρχόντων, καὶ ἀπὸ τούτων τοὺς ἐπαρίτους τρε-
φόντων, πρῶτοι Μαντινεῖς ἀπεψηφίσαντο μὴ χρῆσθαι
τοῖς ἱεροῖς χρήμασι. καὶ αὐτοὶ τὸ γιγνόμενον μέρος εἰς
τοὺς ἐπαρίτους ἐκ τῆς πόλεως ἐκπορίσαντες ἀπέπεμ-
ψαν τοῖς ἄρχουσιν. οἱ δὲ ἄρχοντες φάσκοντες αὐτοὺς
λυμαίνεσθαι τὸ Ἀρκαδικόν, ἀνεκαλοῦντο εἰς τοὺς μυ-
ρίους τοὺς προστάτας αὐτῶν· καὶ ἐπεὶ οὐχ ὑπήκουον,
κατεδίκασαν αὐτῶν, καὶ τοὺς ἐπαρίτους ἔπεμπον ὡς
ἄξοντας τοὺς κατακεκριμένους. οἱ μὲν οὖν Μαντινεῖς
34 κλείσαντες τὰς πύλας οὐκ ἐδέχοντο αὐτοὺς εἴσω. ἐκ δὲ
τούτου τάχα δὴ καὶ ἄλλοι τινὲς ἔλεγον ἐν τοῖς μυρίοις
ὡς οὐ χρὴ τοῖς ἱεροῖς χρήμασι χρῆσθαι οὐδὲ καταλι-
πεῖν εἰς τὸν ἀεὶ χρόνον τοῖς παισὶν ἔγκλημα τοῦτο πρὸς
τοὺς θεούς. ὡς δὲ καὶ ἐν τῷ κοινῷ ἀπέδοξε μηκέτι
χρῆσθαι τοῖς ἱεροῖς χρήμασι, ταχὺ δὴ οἱ μὲν οὐκ ἂν
δυνάμενοι ἄνευ μισθοῦ τῶν ἐπαρίτων εἶναι διεχέοντο,
οἱ δὲ δυνάμενοι παρακελευσάμενοι αὑτοῖς καθίσταντο
εἰς τοὺς ἐπαρίτους, ὅπως μὴ αὐτοὶ ἐπ' ἐκείνοις, ἀλλ'
ἐκεῖνοι ἐπὶ σφίσιν εἶεν. γνόντες δὲ οἱ τῶν ἀρχόντων
διακεχειρικότες τὰ ἱερὰ χρήματα ὅτι εἰ δώσοιεν εὐθύ-
νας, κινδυνεύσοιεν ἀπολέσθαι, πέμπουσιν εἰς Θήβας,
καὶ διδάσκουσι τοὺς Θηβαίους ὡς εἰ μὴ στρατεύσοιεν,
35 κινδυνεύσοιεν οἱ Ἀρκάδες πάλιν λακωνίσαι. καὶ οἱ
μὲν παρεσκευάζοντο ὡς στρατευσόμενοι· οἱ δὲ τὰ
κράτιστα τῇ Πελοποννήσῳ βουλευόμενοι ἔπεισαν τὸ
κοινὸν τῶν Ἀρκάδων πέμψαντες πρέσβεις εἰπεῖν τοῖς
Θηβαίοις μὴ ἰέναι σὺν ὅπλοις εἰς τὴν Ἀρκαδίαν, εἰ μή
τι καλοῖεν. καὶ ἅμα μὲν ταῦτα πρὸς τοὺς Θηβαίους
ἔλεγον, ἅμα δὲ ἐλογίζοντο ὅτι πολέμου οὐδὲν δέοιντο.
τοῦ τε γὰρ ἱεροῦ τοῦ Διὸς προεστάναι οὐδὲν προσδεῖ-
σθαι ἐνόμιζον, ἀλλ' ἀποδιδόντες ἂν καὶ δικαιότερα καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὁσιώτερα ποιεῖν καὶ τῷ θεῷ οἴεσθαι μᾶλλον ἂν οὕτω χα-
ρίζεσθαι. βουλομένων δὲ ταῦτα καὶ τῶν Ἠλείων, ἔδοξεν
ἀμφοτέροις εἰρήνην ποιήσασθαι· καὶ ἐγένοντο σπονδαί.
Γενομένων δὲ τῶν ὅρκων, καὶ ὀμοσάντων τῶν τε 36
ἄλλων ἁπάντων καὶ Τεγεατῶν καὶ αὐτοῦ τοῦ Θη-
βαίου, ὃς ἐτύγχανεν ἐν Τεγέᾳ ἔχων τριακοσίους
ὁπλίτας τῶν Βοιωτῶν, οἱ μὲν Ἀρκάδες ἐν τῇ Τε-
γέᾳ αὐτοῦ ἐπικαταμείναντες ἐδειπνοποιοῦντό τε καὶ
εὐθυμοῦντο καὶ σπονδὰς καὶ παιᾶνας ὡς εἰρήνης γεγε-
νημένης ἐποιοῦντο, ὁ δὲ Θηβαῖος καὶ τῶν ἀρχόντων οἱ
φοβούμενοι τὰς εὐθύνας σύν τε τοῖς Βοιωτοῖς καὶ τοῖς
ὁμογνώμοσι τῶν ἐπαρίτων κλείσαντες τὰς πύλας τοῦ
τῶν Τεγεατῶν τείχους, πέμποντες ἐπὶ τοὺς σκη-
νοῦντας συνελάμβανον τοὺς βελτίστους. ἅτε δὲ ἐκ πα-
σῶν τῶν πόλεων παρόντων τῶν Ἀρκάδων, καὶ πάντων
εἰρήνην βουλομένων ἔχειν, πολλοὺς ἔδει τοὺς συλλαμ-
βανομένους εἶναι· ὥστε ταχὺ μὲν αὐτοῖς τὸ δεσμωτή-
ριον μεστὸν ἦν, ταχὺ δὲ ἡ δημοσία οἰκία. ὡς δὲ πολλοὶ οἱ 37
εἰργμένοι ἦσαν, πολλοὶ δ' οἱ κατὰ τοῦ τείχους ἐκπεπη-
δηκότες, ἦσαν δ' οἳ καὶ διὰ τῶν πυλῶν ἀφεῖντο· οὐδεὶς
γὰρ οὐδενὶ ὠργίζετο, ὅστις μὴ ᾤετο ἀπολεῖσθαι· ἀπο-
ρῆσαι δὴ μάλιστα ἐποίησε τόν τε Θηβαῖον καὶ τοὺς
μετ' αὐτοῦ ταῦτα πράττοντας ὅτι Μαντινέας, οὓς μά-
λιστα ἐβούλοντο λαβεῖν, ὀλίγους τινὰς πάνυ εἶχον· διὰ
γὰρ τὸ ἐγγὺς τὴν πόλιν εἶναι σχεδὸν πάντες ᾤχοντο
οἴκαδε. ἐπεὶ δὲ ἡμέρα ἐγένετο καὶ τὰ πεπραγμένα ἐπύ- 38
θοντο οἱ Μαντινεῖς, εὐθὺς πέμποντες εἴς τε τὰς ἄλλας
Ἀρκαδικὰς πόλεις προηγόρευον ἐν τοῖς ὅπλοις εἶναι
καὶ φυλάττειν τὰς παρόδους, καὶ αὐτοὶ δὲ οὕτως ἐποί-
ουν, καὶ ἅμα πέμψαντες εἰς τὴν Τεγέαν ἀπῄτουν ὅσους
ἔχοιεν ἄνδρας Μαντινέων· καὶ τῶν ἄλλων δὲ Ἀρκάδων
οὐδένα ἀξιοῦν ἔφασαν οὔτε δεδέσθαι οὔτε ἀποθνή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκειν πρὸ δίκης. εἰ δὲ καί τινας ἐπαιτιῷντο, ἔλεγον
ἐπαγγέλλοντες ὅτι ἡ τῶν Μαντινέων πόλις ἐγγυῷτο ἦ
μὴν παρέξειν εἰς τὸ κοινὸν τῶν Ἀρκάδων ὁπόσους τις
39 προσκαλοῖτο. ἀκούων οὖν ὁ Θηβαῖος, ἠπόρει τε ὅ,τι
χρήσαιτο τῷ πράγματι καὶ ἀφίησι πάντας τοὺς ἄνδρας.
καὶ τῇ ὑστεραίᾳ συγκαλέσας τῶν Ἀρκάδων ὁπόσοι γε
δὴ συνελθεῖν ἠθέλησαν, ἀπελογεῖτο ὡς ἐξαπατηθείη.
ἀκοῦσαι γὰρ ἔφη ὡς Λακεδαιμόνιοί τε εἶεν σὺν τοῖς
ὅπλοις ἐπὶ τοῖς ὁρίοις προδιδόναι τε μέλλοιεν αὐτοῖς
τὴν Τεγέαν τῶν Ἀρκάδων τινές. οἱ δὲ ἀκούσαντες,
ἐκεῖνον μέν, καίπερ γιγνώσκοντες ὅτι ἐψεύδετο περὶ
σφῶν, ἀφεῖσαν· πέμψαντες δ' εἰς Θήβας πρέσβεις κατ-
40 ηγόρουν αὐτοῦ ὡς δεῖν ἀποθανεῖν. τὸν δ' Ἐπαμει-
νώνδαν ἔφασαν, καὶ γὰρ στρατηγῶν τότε ἐτύγχανε, λέ-
γειν ὡς πολὺ ὀρθότερον ποιήσειεν, ὅτε συνελάμβανε
τοὺς ἄνδρας ἢ ὅτε ἀφῆκε. τὸ γὰρ ἡμῶν δι' ὑμᾶς εἰς πό-
λεμον καταστάντων ὑμᾶς ἄνευ τῆς ἡμετέρας γνώμης
εἰρήνην ποιεῖσθαι πῶς οὐκ ἂν δικαίως προδοσίαν τις
ὑμῶν τοῦτο κατηγοροίη; εὖ δ' ἴστε, ἔφη, ὅτι ἡμεῖς καὶ
στρατευσόμεθα εἰς τὴν Ἀρκαδίαν καὶ σὺν τοῖς τὰ ἡμέ-
τερα φρονοῦσι πολεμήσομεν.

V. Ὡς δὲ ταῦτα ἀπηγγέλθη πρός τε τὸ κοινὸν τῶν
Ἀρκάδων καὶ κατὰ πόλεις, ἐκ τούτου ἀνελογίζοντο
Μαντινεῖς τε καὶ τῶν ἄλλων Ἀρκάδων οἱ κηδόμενοι
τῆς Πελοποννήσου, ὡσαύτως δὲ καὶ Ἠλεῖοι καὶ Ἀχαιοί,
ὅτι οἱ Θηβαῖοι δῆλοι εἶεν βουλόμενοι ὡς ἀσθενεστάτην
τὴν Πελοπόννησον εἶναι, ὅπως ὡς ῥᾷστα αὐτὴν κατα-
2 δουλώσαιντο. τί γὰρ δὴ πολεμεῖν ἡμᾶς βούλονται ἢ
ἵνα ἡμεῖς μὲν ἀλλήλους κακῶς ποιῶμεν, ἐκείνων δ' ἀμ-
φότεροι δεώμεθα; ἢ τί λεγόντων ἡμῶν ὅτι οὐ δεόμεθα
αὐτῶν ἐν τῷ παρόντι παρασκευάζονται ὡς ἐξιόντες;
οὐ δῆλον ὡς ἐπὶ τῷ κακόν τι ἐργάζεσθαι ἡμᾶς στρα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεύειν παρασκευάζονται; ἔπεμπον δὲ καὶ Ἀθήναζε 3
βοηθεῖν κελεύοντες· ἐπορεύθησαν δὲ καὶ εἰς Λακεδαίμονα πρέσβεις ἀπὸ τῶν ἐπαρίτων, παρακαλοῦντες Λακεδαιμονίους, εἰ βούλοιντο κοινῇ διακωλύειν, ἄν τινες ἴωσι καταδουλωσόμενοι τὴν Πελοπόννησον. περὶ μέντοι ἡγεμονίας αὐτόθεν διεπράττοντο ὅπως ἐν τῇ ἑαυτῶν ἕκαστοι ἡγήσοιντο.

Ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο, Ἐπαμεινώνδας ἐξῄει, 4
Βοιωτοὺς ἔχων πάντας καὶ Εὐβοέας καὶ Θετταλῶν πολ- B.C. 362.
λοὺς παρά τε Ἀλεξάνδρου καὶ τῶν ἐναντίων αὐτῷ. Φωκεῖς μέντοι οὐκ ἠκολούθουν, λέγοντες ὅτι συνθῆκαι σφίσιν αὐτοῖς εἶεν, εἴ τις ἐπὶ Θήβας ἴοι, βοηθεῖν· ἐπ' ἄλλους δὲ στρατεύειν οὐκ εἶναι ἐν ταῖς συνθήκαις.
ὁ μέντοι Ἐπαμεινώνδας ἐλογίζετο καὶ ἐν Πελοποννήσῳ 5
σφίσιν ὑπάρχειν Ἀργείους τε καὶ Μεσσηνίους καὶ Ἀρκάδων τοὺς τὰ σφέτερα φρονοῦντας. ἦσαν δ' οὗτοι Τεγεᾶται καὶ Μεγαλοπολῖται καὶ Ἀσεᾶται καὶ Παλλαντιεῖς, καὶ εἴ τινες δὴ πόλεις διὰ τὸ μικραί τε εἶναι καὶ ἐν μέσαις ταύταις οἰκεῖν ἠναγκάζοντο. ἐξῆλθε μὲν δὴ 6
ὁ Ἐπαμεινώνδας διὰ ταχέων· ἐπεὶ δὲ ἐγένετο ἐν Νεμέᾳ, ἐνταῦθα διέτριβεν, ἐλπίζων τοὺς Ἀθηναίους παριόντας λήψεσθαι, καὶ λογιζόμενος μέγα ἂν τοῦτο γενέσθαι τοῖς μὲν σφετέροις συμμάχοις εἰς τὸ ἐπιρρῶσαι αὐτούς, τοῖς δὲ ἐναντίοις εἰς τὸ εἰς ἀθυμίαν ἐμπεσεῖν, ὡς δὲ συνελόντι εἰπεῖν, πᾶν ἀγαθὸν εἶναι Θηβαίοις ὅ,τι ἐλαττοῖντο Ἀθηναῖοι. ἐν δὲ τῇ διατριβῇ αὐτοῦ ταύτῃ 7
συνῆσαν πάντες οἱ ὁμοφρονοῦντες εἰς τὴν Μαντίνειαν. ἐπεὶ μέντοι ὁ Ἐπαμεινώνδας ἤκουσε τοὺς Ἀθηναίους τὸ μὲν κατὰ γῆν πορεύεσθαι ἀπεγνωκέναι, κατὰ θάλατταν δὲ παρασκευάζεσθαι ὡς διὰ Λακεδαίμονος βοηθήσοντας τοῖς Ἀρκάσιν, οὕτω δὴ ἀφορμήσας ἐκ τῆς Νεμέας ἀφικνεῖται εἰς τὴν Τεγέαν. εὐτυχῇ μὲν 8

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὖν οὐκ ἂν ἔγωγε φήσαιμι τὴν στρατηγίαν αὐτῷ γενέ-
σθαι· ὅσα μέντοι προνοίας ἔργα καὶ τόλμης ἐστίν, οὐ-
δέν μοι δοκεῖ ἀνὴρ ἐλλιπεῖν. πρῶτον μὲν γὰρ ἔγωγε
ἐπαινῶ αὐτοῦ ὅτι τὸ στρατόπεδον ἐν τῷ τείχει τῶν Τε-
γεατῶν ἐποιήσατο, ἔνθ' ἐν ἀσφαλεστέρῳ τε ἦν ἢ εἰ ἔξω
ἐστρατοπεδεύετο καὶ τοῖς πολεμίοις ἐν ἀδηλοτέρῳ ὅ,τι
πράττοιτο. καὶ παρασκευάζεσθαι δέ, εἴ του ἐδεῖτο, ἐν τῇ
πόλει ὄντι εὐπορώτερον ἦν. τῶν δ' ἑτέρων ἔξω στρα-
τοπεδευομένων ἐξῆν ὁρᾶν, εἴτε τι ὀρθῶς ἐπράττετο εἴτε
τι ἡμάρτανον. καὶ μὴν οἰόμενος κρείττων τῶν ἀντιπά-
λων εἶναι, ὁπότε ὁρῴη χωρίοις πλεονεκτοῦντας αὐ-
9 τούς, οὐκ ἐξήγετο ἐπιτίθεσθαι. ὁρῶν δὲ οὔτε πόλιν αὐ-
τῷ προσχωροῦσαν οὐδεμίαν τόν τε χρόνον προβαίνον-
τα, ἐνόμισε πρακτέον τι εἶναι· εἰ δὲ μή, ἀντὶ τῆς πρό-
σθεν εὐκλείας πολλὴν ἀδοξίαν προσεδέχετο. ἐπεὶ οὖν
κατεμάνθανε περὶ μὲν τὴν Μαντίνειαν τοὺς ἀντιπά-
λους πεφυλαγμένους, μεταπεμπομένους δὲ Ἀγησίλαόν
τε καὶ πάντας τοὺς Λακεδαιμονίους, καὶ ᾔσθετο ἐξε-
στρατευμένον τὸν Ἀγησίλαον καὶ ὄντα ἤδη ἐν τῇ Πελ-
λήνῃ, δειπνοποιησάμενος καὶ παραγγείλας ἡγεῖτο τῷ
10 στρατεύματι εὐθὺς ἐπὶ Σπάρτην. καὶ εἰ μὴ Κρὴς θείᾳ
τινὶ μοίρᾳ προσελθὼν ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν
τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιὰν παν-
τάπασιν ἔρημον τῶν ἀμυνουμένων. ἐπεὶ μέντοι προ-
πυθόμενος ταῦτα ὁ Ἀγησίλαος ἔφθη εἰς τὴν πόλιν ἀπελ-
θών, διαταξάμενοι οἱ Σπαρτιᾶται ἐφύλαττον, καὶ μάλα
ὀλίγοι ὄντες· οἵ τε γὰρ ἱππεῖς αὐτοῖς πάντες ἐν Ἀρκα-
δίᾳ ἀπῆσαν καὶ τὸ ξενικὸν καὶ τῶν λόχων δώδεκα ὄν-
11 των οἱ τρεῖς. ἐπεὶ δὲ ἐγένετο Ἐπαμεινώνδας ἐν τῇ πό-
λει τῶν Σπαρτιατῶν, „ὅπου μὲν ἔμελλον ἔν τε ἰσοπέδῳ
μαχεῖσθαι καὶ ἀπὸ τῶν οἰκιῶν βληθήσεσθαι, οὐκ εἰσ-
ῄει ταύτῃ, οὐδ' ὅπου γε μηδὲν πλέον μαχεῖσθαι τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὀλίγων πολλοὶ ὄντες· ἔνθα δὲ πλεονεκτεῖν ἂν ἐνόμιζε,
τοῦτο λαβὼν τὸ χωρίον κατέβαινε καὶ οὐκ ἀνέβαινεν
εἰς τὴν πόλιν. τό γε μὴν ἐντεῦθεν γενόμενον ἔξεστι 12
μὲν τὸ θεῖον αἰτιᾶσθαι, ἔξεστι δὲ λέγειν ὡς τοῖς ἀπο-
νενοημένοις οὐδεὶς ἂν ὑποσταίη. ἐπεὶ γὰρ ἡγεῖτο Ἀρ-
χίδαμος οὐδὲ ἑκατὸν ἔχων ἄνδρας, καὶ διαβὰς ὅπερ
ἐδόκει τι ἔχειν κώλυμα ἐπορεύετο πρὸς ὄρθιον ἐπὶ τοὺς
ἀντιπάλους, ἐνταῦθα δὴ οἱ πῦρ πνέοντες, οἱ νενικηκό-
τες τοὺς Λακεδαιμονίους, οἱ τῷ παντὶ πλείονες καὶ προσ-
έτι ὑπερδέξια χωρία ἔχοντες, οὐκ ἐδέξαντο τοὺς περὶ
τὸν Ἀρχίδαμον, ἀλλ' ἐγκλίνουσι. καὶ οἱ μὲν πρῶτοι 13
τῶν Ἐπαμεινώνδου ἀποθνήσκουσιν· ἐπεὶ μέντοι ἀγαλ-
λόμενοι τῇ νίκῃ ἐδίωξαν οἱ ἔνδοθεν πορρωτέρω τοῦ
καιροῦ, οὗτοι αὖ ἀποθνήσκουσι· περιεγέγραπτο γάρ,
ὡς ἔοικεν, ὑπὸ τοῦ θείου μέχρι ὅσου νίκη ἐδέδοτο
αὐτοῖς. καὶ ὁ μὲν δὴ Ἀρχίδαμος τρόπαιόν τε ἵστατο
ἔνθα ἐπεκράτησε καὶ τοὺς ἐνταῦθα πεσόντας τῶν πολε-
μίων ὑποσπόνδους ἀπεδίδου. ὁ δ' Ἐπαμεινώνδας λο- 14
γιζόμενος ὅτι βοηθήσοιεν οἱ Ἀρκάδες εἰς τὴν Λακεδαί-
μονα, ἐκείνοις μὲν οὐκ ἐβούλετο καὶ πᾶσι Λακεδαιμο-
νίοις ὁμοῦ γενομένοις μάχεσθαι, ἄλλως τε καὶ εὐτυχη-
κόσι, τῶν δὲ ἀποτετυχηκότων· πάλιν δὲ πορευθεὶς ὡς
ἐδύνατο τάχιστα εἰς τὴν Τεγέαν τοὺς μὲν ὁπλίτας ἀνέ-
παυσε, τοὺς δ' ἱππέας ἔπεμψεν εἰς τὴν Μαντίνειαν,
δεηθεὶς αὐτῶν προσκαρτερῆσαι, καὶ διδάσκων ὡς πάν-
τα μὲν εἰκὸς ἔξω εἶναι τὰ τῶν Μαντινέων βοσκήματα,
πάντας δὲ τοὺς ἀνθρώπους, ἄλλως τε καὶ σίτου συγκο-
μιδῆς οὔσης. καὶ οἱ μὲν ᾤχοντο· οἱ δ' Ἀθηναῖοι ἱππεῖς 15
ὁρμηθέντες ἐξ Ἐλευσῖνος ἐδειπνοποιήσαντο μὲν ἐν
Ἰσθμῷ, διελθόντες δὲ τὰς Κλεωνὰς ἐτύγχανον προσ-
ιόντες εἰς τὴν Μαντίνειαν καὶ καταστρατοπεδευσά-
μενοι ἐντὸς τείχους ἐν ταῖς οἰκίαις. ἐπεὶ δὲ δῆλοι ἦσαν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσελαύνοντες οἱ πολέμιοι, ἐδέοντο οἱ Μαντινεῖς τῶν Ἀθηναίων ἱππέων βοηθῆσαι, εἴ τι δύναιντο· ἔξω γὰρ εἶναι καὶ τὰ βοσκήματα πάντα καὶ τοὺς ἐργάτας, πολλοὺς δὲ καὶ παῖδας καὶ γεραιτέρους τῶν ἐλευθέρων· ἀκούσαντες δὲ ταῦτα οἱ Ἀθηναῖοι ἐκβοηθοῦσιν, ἔτι
16 ὄντες ἀνάριστοι καὶ αὐτοὶ καὶ οἱ ἵπποι. ἐνταῦθα δὴ τούτων αὖ τὴν ἀρετὴν τίς οὐκ ἂν ἀγασθείη; οἳ καὶ πολὺ πλείονας ὁρῶντες τοὺς πολεμίους, καὶ ἐν Κορίνθῳ δυστυχήματος γεγενημένου τοῖς ἱππεῦσιν, οὐδὲν τούτων ὑπελογίσαντο, οὐδ' ὅτι καὶ Θηβαίοις καὶ Θετταλοῖς τοῖς κρατίστοις ἱππεῦσιν εἶναι δοκοῦσιν ἔμελλον μάχεσθαι, ἀλλ' αἰσχυνόμενοι, εἰ παρόντες μηδὲν ὠφελήσοιεν τοὺς συμμάχους, ὡς εἶδον τάχιστα τοὺς πολεμίους, συνέρραξαν, ἐρῶντες ἀνασώσασθαι τὴν πα-
17 τρῴαν δόξαν. καὶ μαχόμενοι αἴτιοι μὲν ἐγένοντο τὰ ἔξω πάντα σωθῆναι τοῖς Μαντινεῦσιν, αὐτῶν δὲ ἀπέθανον ἄνδρες ἀγαθοί, καὶ ἀπέκτειναν δὲ δῆλον ὅτι τοιούτους· οὐδὲν γὰρ οὕτω βραχὺ ὅπλον ἑκάτεροι εἶχον ᾧ οὐκ ἐξικνοῦντο ἀλλήλων. καὶ τοὺς μὲν φιλίους νεκροὺς οὐ προήκαντο, τῶν δὲ πολεμίων ἦν οὓς ὑπο-
18 σπόνδους ἀπέδοσαν. ὁ δ' αὖ Ἐπαμεινώνδας, ἐνθυμούμενος ὅτι ὀλίγων μὲν ἡμερῶν ἀνάγκη ἔσοιτο ἀπιέναι διὰ τὸ ἐξήκειν τῇ στρατείᾳ τὸν χρόνον, εἰ δὲ καταλείψοι ἐρήμους οἷς ἦλθε σύμμαχος, ἐκεῖνοι πολιορκήσοιντο ὑπὸ τῶν ἀντιπάλων, αὐτὸς δὲ λελυμασμένος τῇ ἑαυτοῦ δόξῃ παντάπασιν ἔσοιτο, ἡττημένος μὲν ἐν Λακεδαίμονι σὺν πολλῷ ὁπλιτικῷ ὑπ' ὀλίγων, ἡττημένος δὲ ἐν Μαντινείᾳ ἱππομαχίᾳ, αἴτιος δὲ γεγενημένος διὰ τὴν εἰς Πελοπόννησον στρατείαν τοῦ συνεστάναι Λακεδαιμονίους καὶ Ἀρκάδας καὶ Ἀχαιοὺς καὶ Ἠλείους καὶ Ἀθηναίους· ὥστε οὐκ ἐδόκει αὐτῷ δυνατὸν εἶναι ἀμαχὶ παρελθεῖν, λογιζομένῳ ὅτι εἰ μὲν νικῴη, πάντα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα ἀναλύσοιτο· εἰ δὲ ἀποθάνοι, καλὴν τὴν τελευτὴν ἡγήσατο ἔσεσθαι πειρωμένῳ τῇ πατρίδι ἀρχὴν Πελοποννήσου καταλιπεῖν. τὸ μὲν οὖν αὐτὸν τοιαῦτα δια- 19
νοεῖσθαι οὐ πάνυ μοι δοκεῖ θαυμαστὸν εἶναι· φιλοτίμων γὰρ ἀνδρῶν τὰ τοιαῦτα διανοήματα· τὸ μέντοι τὸ στράτευμα παρεσκευακέναι ὡς πόνον τε μηδένα ἀποκάμνειν μήτε νυκτὸς μήτε ἡμέρας, κινδύνου τε μηδενὸς ἀφίστασθαι, σπάνιά τε τὰ ἐπιτήδεια ἔχοντας ὅμως πείθεσθαι ἐθέλειν, ταῦτά μοι δοκεῖ θαυμαστότερα εἶναι. καὶ γὰρ ὅτε τὸ τελευταῖον παρήγγειλεν αὐτοῖς πα- 20
ρασκευάζεσθαι ὡς μάχης ἐσομένης, προθύμως μὲν ἐλευκοῦντο οἱ ἱππεῖς τὰ κράνη κελεύοντος ἐκείνου, ἐπεγράφοντο δὲ καὶ οἱ τῶν Ἀρκάδων ὁπλῖται ῥόπαλα, ὡς Θηβαῖοι ὄντες, πάντες δὲ ἠκονῶντο καὶ λόγχας καὶ μαχαίρας καὶ ἐλαμπρύνοντο τὰς ἀσπίδας. ἐπεὶ μέντοι 21
οὕτω παρεσκευασμένους ἐξήγαγεν, ἄξιον αὖ κατανοῆσαι ἃ ἐποίησε. πρῶτον μὲν γάρ, ὥσπερ εἰκός, συνετάττετο. τοῦτο δὲ πράττων σαφηνίζειν ἐδόκει ὅτι εἰς μάχην παρεσκευάζετο· ἐπεί γε μὴν ἐτέτακτο αὐτῷ τὸ στράτευμα ὡς ἐβούλετο, τὴν μὲν συντομωτάτην πρὸς τοὺς πολεμίους οὐκ ἦγε, πρὸς δὲ τὰ πρὸς ἑσπέραν ὄρη κατ' ἀντιπέρας τῆς Τεγέας ἡγεῖτο· ὥστε δόξαν παρεῖχε τοῖς πολεμίοις μὴ ποιήσεσθαι μάχην ἐκείνῃ τῇ ἡμέρᾳ. καὶ γὰρ δὴ ὡς πρὸς τῷ ὄρει ἐγένετο, ἐπεὶ ἐξετάθη αὐτῷ 22
ἡ φάλαγξ, ὑπὸ τοῖς ὑψηλοῖς ἔθετο τὰ ὅπλα, ὥστε εἰκάσθη στρατοπεδευομένῳ. τοῦτο δὲ ποιήσας ἔλυσε μὲν τῶν πλείστων πολεμίων τὴν ἐν ταῖς ψυχαῖς πρὸς μάχην παρασκευήν, ἔλυσε δὲ τὴν ἐν ταῖς συντάξεσιν. ἐπεί γε μὴν παραγαγὼν τοὺς ἐπὶ κέρως πορευομένους λόχους εἰς μέτωπον ἰσχυρὸν ἐποιήσατο τὸ περὶ ἑαυτὸν ἔμβολον, τότε δὴ ἀναλαβεῖν παραγγείλας τὰ ὅπλα ἡγεῖτο· οἱ δ' ἠκολούθουν. οἱ δὲ πολέμιοι ὡς εἶδον παρὰ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δόξαν ἐπιόντας, οὐδεὶς αὐτῶν ἡσυχίαν ἔχειν ἐδύνατο,
ἀλλ' οἱ μὲν ἔθεον εἰς τὰς τάξεις, οἱ δὲ παρετάττοντο,
οἱ δὲ ἵππους ἐχαλίνουν, οἱ δὲ θώρακας ἐνεδύοντο, πάν-
23 τες δὲ πεισομένοις τι μᾶλλον ἢ ποιήσουσιν ἐῴκεσαν. ὁ
δὲ τὸ στράτευμα ἀντίπρῳρον ὥσπερ τριήρη προσῆγε,
νομίζων, ὅπῃ ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ
τῶν ἐναντίων στράτευμα· καὶ γὰρ δὴ τῷ μὲν ἰσχυρο-
τάτῳ παρεσκευάζετο ἀγωνίζεσθαι, τὸ δὲ ἀσθενέστατον
πόρρω ἀπέστησεν, εἰδὼς ὅτι ἡττηθὲν ἀθυμίαν ἂν πα-
ράσχοι τοῖς μεθ' αὐτοῦ, ῥώμην δὲ τοῖς πολεμίοις. καὶ
μὴν τοὺς ἱππέας οἱ μὲν πολέμιοι ἀντιπαρετάξαντο
ὥσπερ ὁπλιτῶν φάλαγγα βάθος ἐφεξῆς καὶ ἔρημον πε-
24 ζῶν ἁμίππων· ὁ δὲ Ἐπαμεινώνδας αὖ καὶ τοῦ ἱππικοῦ
ἔμβολον ἰσχυρὸν ἐποιήσατο, καὶ ἁμίππους πεζοὺς συν-
έταξεν αὐτοῖς, νομίζων τὸ ἱππικὸν ἐπεὶ διακόψειεν,
ὅλον τὸ ἀντίπαλον νενικηκὼς ἔσεσθαι· μάλα γὰρ χαλε-
πὸν εὑρεῖν τοὺς ἐθελήσοντας μένειν, ἐπειδάν τινας
φεύγοντας τῶν ἑαυτῶν ὁρῶσι· καὶ ὅπως μὴ ἐπιβοη-
θῶσιν οἱ Ἀθηναῖοι ἀπὸ τοῦ εὐωνύμου κέρατος ἐπὶ τὸ
ἐχόμενον, κατέστησεν ἐπὶ γηλόφων τινῶν ἐναντίους
αὐτοῖς καὶ ἱππέας καὶ ὁπλίτας, φόβον βουλόμενος καὶ
τούτοις παρέχειν ὡς εἰ βοηθήσοιεν, ὄπισθεν οὗτοι ἐπι-
κείσοιντο αὐτοῖς. τὴν μὲν δὴ συμβολὴν οὕτως ἐποιήσα-
το, καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος· κρατήσας γὰρ ᾗ προσ-
25 έβαλεν ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. ἐπεί
γε μὴν ἐκεῖνος ἔπεσεν, οἱ λοιποὶ οὐδὲ τῇ νίκῃ ὀρθῶς ἔτι
ἐδυνάσθησαν χρήσασθαι, ἀλλὰ φυγούσης μὲν αὐτοῖς
τῆς ἐναντίας φάλαγγος οὐδένα ἀπέκτειναν οἱ ὁπλῖται
οὐδὲ προῆλθον ἐκ τοῦ χωρίου ἔνθα ἡ συμβολὴ ἐγένετο·
φυγόντων δ' αὐτοῖς καὶ τῶν ἱππέων, ἀπέκτειναν μὲν
οὐδ' οἱ ἱππεῖς διώκοντες οὔτε ἱππέας οὔθ' ὁπλίτας,
ὥσπερ δὲ ἡττώμενοι πεφοβημένως διὰ τῶν φευγόντων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολεμίων διέπεσον. καὶ μὴν οἱ ἅμιπποι καὶ οἱ πελτασταὶ συννενικηκότες τοῖς ἱππεῦσιν ἀφίκοντο μὲν ἐπὶ τοῦ εὐωνύμου, ὡς κρατοῦντες, ἐκεῖ δ' ὑπὸ τῶν Ἀθηναίων οἱ πλεῖστοι αὐτῶν ἀπέθανον.

Τούτων δὲ πραχθέντων τοὐναντίον ἐγεγένητο οὗ 26
ἐνόμισαν πάντες ἄνθρωποι ἔσεσθαι. συνεληλυθυίας γὰρ σχεδὸν ἁπάσης τῆς Ἑλλάδος καὶ ἀντιτεταγμένων, οὐδεὶς ὅστις οὐκ ᾤετο, εἰ μάχη ἔσοιτο, τοὺς μὲν κρατήσαντας ἄρξειν, τοὺς δὲ κρατηθέντας ὑπηκόους ἔσεσθαι· ὁ δὲ θεὸς οὕτως ἐποίησεν ὥστε ἀμφότεροι μὲν τρόπαιον ὡς νενικηκότες ἐστήσαντο, τοὺς δὲ ἱσταμένους οὐδέτεροι ἐκώλυον, νεκροὺς δὲ ἀμφότεροι μὲν ὡς νενικηκότες ὑποσπόνδους ἀπέδοσαν, ἀμφότεροι δὲ ὡς
ἡττημένοι ὑποσπόνδους ἀπελάμβανον, νενικηκέναι δὲ 27
φάσκοντες ἑκάτεροι οὔτε χώρᾳ οὔτε πόλει οὔτ' ἀρχῇ οὐδέτεροι οὐδὲν πλέον ἔχοντες ἐφάνησαν ἢ πρὶν τὴν μάχην γενέσθαι· ἀκρισία δὲ καὶ ταραχὴ ἔτι πλείων μετὰ τὴν μάχην ἐγένετο ἢ πρόσθεν ἐν τῇ Ἑλλάδι. ἐμοὶ μὲν δὴ μέχρι τούτου γραφέσθω· τὰ δὲ μετὰ ταῦτα ἴσως ἄλλῳ μελήσει.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# INDEX NOMINUM.


Abarnis prom. II, 1, 29.
Abydus I, 1, 5. 6. 11; 2, 15. II, 1, 18. III, 1, 9. IV, 8. 3. 5. 6. 32. V, 1, 25. Abydeni II, 1, 18. IV, 8, 35. 37. 39. Abydene IV, 8, 35.
Academia II, 2, 8. VI, 5, 49.
Acanthus V, 2, 11; 3, 6. Acanthii V, 2, 23.
Acarnanes IV, 2, 17; 6, 1. 3. 11. 13; 7, 1. VI, 5, 23.
Acarnania VI, 2, 37.
Achaei I, 2, 18. III, 2, 26. IV, 2, 18; 6, 1. 3. 12. 13; 7, 1. VI, 4, 18; 6, 7. VII, 1, 41 sq. 4, 17. 28. 30; 5, 1. 18.
Achaia III, 2, 23. IV, 8, 10. 23. VI, 2, 3. VII, 1, 41 sq.
Achaici Phthiae montes IV, 3, 9.
Achilleum III, 2, 17. IV, 8, 17.
Acrisius Sicyonius VII, 1, 45.
Acrocorinthus IV, 4, 4.
Acrorii III, 2, 30. IV, 2, 16. VII, 4, 14.
Adeas Sicyonius VII, 1, 45.
Adimantus Athen. I, 4, 21; 7, 1. II, 1, 30. 32.
Aegae IV, 8, 5.
Aegina II, 2, 19. V, 1, 1 sq. Aeginetae II, 2, 3. 9. V, 1, 1. 2; 4, 61. VI, 2, 1. Triobolum Aeg. V, 2, 21.
Aegospotami II, 1, 21.
Aegosthena Megar. V, 4, 18. VI, 4, 26.
Aegyptia Larisa, v. Larisa.
Aeneas Stymphalius VII, 3, 1.
Aenesias Laced. II, 3, 9.
Aenianes III, 5, 6; IV, 3, 15.
Aeoles III, 4, 11; IV, 3, 17.
Aeolis III, 1, 10. 16. 17; 2, 1. 13. IV, 8, 33.
Aeschines Athen. II, 3, 2. 13.
Aetoli IV, 6, 14. Aetolia ib. 1, 14.
Aexonenses II, 4, 26.
Agamemnon III, 4, 3. VII, 1, 34.
Agathinus Corinthius IV, 8, 10.
Agesandridas Lac. I, 1, 1; 3, 17.
Agesilaus III, 3, 1 sq.; 4, 2 sq. IV, 1, 1; 3, 1 sq.; 4, 19; 5; 6, 3; 7, 5. V, 1, 31 sq.; 2, 3. 32; 3, 8. 10. 15. 17. 20; 4, 13 sq. 25. 35. 38. 41. 55. 58. VI, 3, 19; 4, 5; 5, 4. 5. 12. 15 sq. VII, 5, 9.
Agesipolis IV, 2, 9; 7, 2. V, 2, 3. 4; 3, 8. 18. 19.
Agesistratus Laced. II, 3, 10.
Agis I, 1, 33 sq. II, 2, 7 sq.; 3, 3. III, 2, 22 sq.; 3, 1 sq.
Agrigentum I, 5, 21. II, 2, 24.
Agyrrhius Athen. IV, 8, 31.
Alcetas Laced. V, 4, 56 sq.
Alcetas Epiri rex VI, 1, 7; 2, 10.
Alcibiades I, 1, 5. 9. 10. 11. 18; 3, 3. 4. 6. 8. 10. 12. 20; 4, 10. 11. 13. 18. 20 sq.; 5, 16. II, 1, 25; 3, 42.
Alcibiades Alcibiadis consobrinus I, 2, 13.
Alcimenes Corinthius IV, 4, 7.
Alea Minerva VI, 5, 27.
Alexander Thessalus VI, 4, 34 sq. VII, 5, 4.
Alexias Athen. II, 1, 10.
Alexippidas Laced. II, 3, 10.
Alpheus fl. III, 2, 29. VI, 2, 31. VII, 4, 29.
Altis VII, 4, 29.
Alypetus Laced. V, 4, 52.
Alyzia V, 4, 65.
Amphidoli III, 2, 25. 30. IV, 2, 16.
Amphium V, 4, 8.


Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Amphipolis IV, 3, 1.
Amyclae VI, 5, 30. VII, 2, 3.
Amyclaei IV, 5, 11. 12.
Amyntas rex Maced. V, 2, 12. 13. 38; 3, 9.
Anaetius Athen. II, 3, 2.
Anaxibius Laced. IV, 8, 32. 33. 35 sq.
Anaxicrates Byzant. I, 3, 18.
Anaxilaus Byzant. I, 3, 18.
Andrii I, 4, 21 sq. II, 1, 31 sq.
Androclidas Thebanus III, 5, 1. V, 2, 31. 35.
Andromachus Eleus VII, 4, 19.
Andrus I, 4, 21; 5, 18. V, 4, 61.
Angenidas Laced. II, 3, 10.
Antalcidas Laced. IV, 8, 12 sq. V, 1, 6. 25. 28. VI, 3, 12.
Antandrus I, 1, 25; 3, 17. II, 1, 10. IV, 8, 35. Antandrii I, 1, 26.
Antigenes Athen. I, 3, 1.
Antiochus Athen. I, 5, 11 sq.
Antiphon Athen. II, 3, 40.
Antisthenes Laced. III, 2, 6.
Anytus Athen. II, 3, 42.
Apaturia I, 7, 8.
Aphrodisium Megar. V, 4, 58.
Aphytis V, 3, 19.
Apollo III, 3, 3; 5, 5. IV, 7, 2. VI, 4, 2. 30; 5, 27.
Apollonia V, 2, 11; 3, 1 sq. Apolloniatae V, 2, 12.
Apollophanes Cyzicenus IV, 1, 29.
Aracus Laced. II, 1, 7; 2, 6; 3, 10. III, 2, 8. VI, 5, 33.
Arcades III, 2, 26; 5, 12. IV, 4, 16. V, 2, 19. VI, 5, 11. 15. 16. 20—23 sq. VII, 1, 18 sq. 23 sq.; 2, 2. 5. 8. 10; 4, 2 sq. 13 sq. 19—30. 33 sq.; 5, 1. Arcadia IV, 4, 16. VI, 5, 12. VII, 4, 35. 40.
Archedemus Athen. I, 7, 1.
Archestratus Athen. I, 5, 16. Alius II, 2, 15.
Archias Thebanus V, 4, 2. 6. VII, 3, 7.
Archidamus Agesilai pater V, 3, 13.
Archidamus Agesilai filius V, 4, 25 sq. VI, 4, 18. 19. 26; 5, 1. VII, 1, 28 sq. 31 sq.; 4, 20 sq.; 5, 12 sq.
Archidamus Eleus VII, 1, 33. 38.
Archytas Laced. II, 1, 10; 3, 10.
Aresias Athen. II, 3, 2.
Argeus Eleus VII, 1, 33; 4, 15. 16.
Arginusae I, 6, 27. 33. 38.
Argivi I, 3, 13. II, 2, 7. III, 2, 21; 5, 11. IV, 2, 17; 3, 15. 16; 4, 1 sq. 19; 5, 1; 7, 2. 3; 8, 13 sq. V, 1, 29 sq. VI, 5, 16. 23. 46. 50. VII, 1, 25. 28. 44; 2, 1 sq.; 4, 11 sq. 27. 30. Terra Argiva IV, 7, 4.
Ariaeus IV, 1, 27.
Ariobarzanes I, 4, 7. V, 1, 28. VII, 1, 27.
Aristarchus I, 7, 28. II, 3, 46.
Aristocles Athen. VI, 3, 2.
Aristocrates Athen. I, 5, 16; 6, 29; 7, 1.
Aristodemus Laced. IV, 2, 9.
Aristogenes Athen. I, 5, 16; 6, 29; 7, 1.
Aristogenes Syrac. I, 2, 8.
Aristolochus Laced. V, 4, 22.
Ariston Byzant. I, 3, 8.
Aristophon Athen. VI, 3, 2.
Aristoteles Athen. II, 2, 18; 3, 2, 46.
Arnapes Persa I, 3, 12.
Artaxerxes V, 1, 30 sq.
Asea VI, 5, 11. Aseatae VII, 5, 5.
Asia III, 1, 3; 4, 5. IV, 2, 4. 6; 8, 5. 27. V, 1, 31. VII, 1, 34.
Asine VII, 1, 25. Asinaei ib.
Aspendus IV, 8, 30. Aspendii ib.
Astyochus Laced. I, 1, 31.
Astyrene Diana IV, 1, 41.
Atarneus III, 2, 11.
Athenadas Sicyonius III, 1, 18.
Athenae I, 1, 18. II, 3, 24. III, 1, 1; 5, 7. IV, 4, 18. 19. 8, 12. 24. 34. V, 1, 10. 20. 28. 35; 4, 2. 22. 66. VI, 2, 9; 3, 3; 4, 20; 5, 33, 35. VII, 1, 1. 23; 3, 4; 5, 3.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Athenienses I, 1, 1 sq. 22. 33; 2, 1 sq.; 3, 2 sq.; 4, 4 sq.; 5, 13 sq.; 6, 15 sq.; 7, 9 sq. II, 1 14 sq.; 2, 10 sq.; 3, 1 sq.; 4, 21. III, 1, 1 sq.; 5, 2. 16. IV, 4, 18. 19; 8, 12. 13. 14. V, 1, 1. 13 sq.; 4, 34 sq. VI, 1, 1. 10 sq.; 2, 1 sq. 10; 3, 1. 20; 4, 20; 5, 1 sq. 33 sq. VII, 1, 1 sq.; 4, 1 sq. 29. 30.
Attica I, 7, 22. V, 1, 1. 9; 4, 19. 20. VI, 2, 14.
Aulis III, 4, 3; 5, 5. VII, 1, 34.
Aulon III, 2, 25; 3, 8. 10. Aulonitae III, 3, 8.
Autoboesaces Persa II, 1, 8.
Autocles Athen. VI, 3, 2. 7.

Bacchi templum Aphyti V, 3, 19.
Bagaeus Persa III, 4, 13.
Bendideum II, 4, 11.
Bithyni I, 3, 2 sq. III, 2, 2 sq.
Boeotarchi III, 4, 4.
Boeotia III, 5, 17. 24. V, 2, 16. 34. VI, 4, 3. Boeoti I, 3, 15. II, 4, 30. III, 2, 25. IV, 2, 17. 18; 3, 3. 15; 4, 1. 2. 9. 12. 5, 9; V, 1, 32; 4, 62. VI, 5, 23. Boeotiae urbes IV, 8, 15. V, 1, 36.
Boeotius Laced. I, 4, 2.
Brasidas Laced. II, 3, 10.
Byzantium I, 1, 35; 3, 2, 11. 14. 15. 18. 20; 4, 11. II, 2, 1. IV, 8, 27. Byzantii I, 1, 35; 3, 18.

Cadmea V, 2, 29. 31; 4, 1 sq. VI, 3, 9. 11; 5, 46.
Cadusii II, 1, 13.
Calchedon I, 1, 35; 3, 2 sq. II, 2, 1. IV, 8, 28. Calchedonia I, 1, 22. Calchedonii I, 3, 2 sq.
Callias Athen. I, 6, 1. Hipponici f. IV, 5, 13. V, 4, 22. VI, 3, 2 sq.
Callias Laced. IV, 1, 15.
Callibius Laced. II, 3, 13. 14.
Callibius Tegeata VI, 5, 6. 8.
Callicratidas Laced. I, 6, 1 sq. 16. 18. 26. 31 sq. II, 1, 1.
Callimedon Athen. IV, 8, 13.
Callisthenes Athen. IV, 8, 13.
Callistratus Athen. II, 4, 27. Alius VI, 2, 39; 3, 3, 10 sq.
Callixenus Athen. I, 7, 8. 9. 1 14. 26. 35.
Calydon IV, 6, 1. 14. Calydonii
Camarina II, 3, 5.
Cannonus Athen. I, 7, 20. 34.
Cardia I, 1, 11.
Cares III, 2, 15.
Caria I, 1, 10; 4, 8. III, 1, 7. 8; 2, 12. 13. 19; 4, 11. 12. 21.
Carthaginienses I, 1, 37; 5, 21. II, 3, 5.
Caryae VI, 5, 25. VII, 1, 28.
Castolus I, 4, 3.
Catina II, 3, 5.
Caue IV, 1, 20.
Cebren III, 1, 17.
Cedreae II, 1, 15.
Celtae VII, 1, 20. 31.
Celusa IV, 7, 7.
Cenchreae IV, 5, 1. VI, 5, 51. VII, 1, 17. 41; 4, 5.
Ceos V, 4, 61.
Cephallenia VI, 2, 31. 33. 38.
Cephisodotus Athen. II, 1, 16. Al. VI, 3, 2. VII, 1, 12. 14.
Cephisophon Athen. II, 4, 36.
Cephisus fl. Atticae II, 4, 19. Boeotiae IV, 3, 16.
Ceramicus Atticus II, 4, 33.
Ceramicus sinus Cariae I, 4, 8. II, 1, 15.
Ceres VI, 7, 6.
Chabrias Athen. V, 1, 10 sq.; 4, 14. 54. 61. VI, 2, 39. VII, 1, 25.
Chaereleos Athen. II, 3, 2.
Chaerilas Laced. II, 3, 10.
Chaeron Laced. II, 4, 33.
Chalcidenses IV, 2, 17.
Charadra IV, 2, 15.
Chares Athen. VII, 2, 18. 20; 4, 1 sq.
Charicles Athen. II, 3, 2.
Charmides Athen. II, 4, 19.
Charon Thebanus V, 4, 3.
Charopus Eleus VII, 4, 15. 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Chersonesus Thraciae I, 3, 8; 5, 17. III, 2, 8. 9. 10. IV, 2, 6; 8, 5. 35. 39. Chersonesitae I, 3, 10. III, 2, 8.
Chilon Laced. VII, 4, 23.
Chius I, 1, 32; 6, 12. 33. 38. II, 1, 1. Chii II, 1, 5. 6. III, 2, 11.
Chremon Athen. II, 3, 2.
Chrysopolis I, 1, 22; 3, 12.
Cinadon Laced. III, 3, 4 sq.
Cissidas Syrac. VII, 1, 28.
Cilicia III, 1, 1.
Cithaeron V, 4, 36 s. 55. 59. VI, 4, 5.
Cius I, 4, 7.
Cladaus VII, 4, 29.
Clazomenae I, 1, 10. 11. V, 1, 31.
Cleander Sicyonius VII, 1, 45.
Clearchus Lac. I, 1, 35; 3, 15.
Cleas Laced. V, 4, 39.
Cleocritus Athen. II, 4, 20.
Cleombrotus Laced. V, 4, 14. 16. 59. VI, 1, 1; 4, 2 sq.
Cleomedes Athen. II, 3, 2.
Cleonae VII, 5, 15.
Cleonymus Laced. V, 4, 25. VI, 4, 14.
Cleophon Athen. I, 7, 35.
Cleosthenes Laced. II, 3, 10.
Cleostratus Argivus I, 3, 13.
Clinomachus Laced. II, 3, 10.
Cliteles Corinthius VI, 5, 37.
Clitorii V, 4, 36 sq.
Cnidus IV, 3, 12; 8, 22.
Cocylitae III, 1, 16.
Coeratadas Boeotus I, 3, 15. 17. 21. 22.
Colonae III, 1, 13. 16.
Colophon I, 2, 4. Colophonii ib.
Collytensis, v. Thrasybulus.
Conon Athen. I, 4, 10; 5, 16. 18; 6, 15 sq. 19. 22. 38; 7, 1. II, 1, 28 sq. IV, 3, 11 13. 8, 1. 2. 7. 9. 12. 13. 16.
Corcyra V, 4, 64. 66. VI, 2, 4 sq. 9. 33. Corcyraei VI, 2, 7. 8. 15. 24. 36 sq.
Coressus I, 2, 7. 9.
Corinthus IV, 4, 6. 14. 17. 19; 8, 15. V, 1, 34. 36. VI, 5, 49. VII, 1, 15; 3, 2; 4, 4. Corinthii II, 1, 32 sq.; 4, 30. III, 2, 25; 5, 5. 12. 17. 23. IV, 2, 14. 17. 22. 23; 3, 15; 4; 5, 2. 3. 13. 19. V, 3, 27. VI, 4, 18; 5, 29. 52. VII, 1, 18. 19. 20. 25. 40; 4, 6 sq.
Coronea IV, 3, 16.
Coryphasium I, 2, 18.
Cos I, 5, 1.
Cranium IV, 4, 4.
Crannonii IV, 3, 3.
Cratesippidas Laced. I, 1, 32; 5, 1.
Cremaste IV, 8, 37.
Cretenses IV, 2, 16; 7, 6. VII, 5, 10.
Creusis IV, 5, 10. V, 4, 16. 17. 60. VI, 4, 3. 25.
Crinippus Syrac. VI, 2, 36.
Critias Athen. II, 3, 2. 24—56; 4, 8. 19.
Crocinas Thessalus II, 3, 1.
Crommyon IV, 4, 13; 5, 19.
Cromnus VII, 4, 20. 21 sq.
Cronium VII, 4, 14.
Ctesicles Athen. VI, 2, 10.
Cydon Byzant. I, 3, 18.
Cyllene III, 2, 27. 30. VII. 4, 19.
Cylon III, 5, 1.
Cyme III, 4, 27.
Cynoscephalae V, 4, 15. VI, 4, 5.
Cyprus IV, 8, 24. V, 1, 10. 31.
Cyrus minor I, 4, 3 sq.; 5, 1. 2; 3, 6, 6. 10. II, 1, 8. 13. 15. III, 1, 1. Cyri milites III, 2, 7. 18; 4, 20.
Cythera IV, 8, 8. Regio Cytheria 7. Cytherii IV, 8, 8.
Cyzicus I, 1, 11. 14. 16 sq.; 3, 13. III, 4, 10. Cyziceni I, 1, 19. 20. IV, 1, 29.

Damaratus III, 1, 6.
Darius I, 2, 19. II, 1, 8. Dariaeus ib.
Dascylium III, 4, 13. IV, 1, 15.
Decelea I, 1, 33 sq.; 2, 14; 3, 22. II, 2, 7; 3, 3.
Delphinium I, 5, 15.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Delphion Phliasius V, 3, 22. 24.
Demaenetus Athen. V, 1, 10. 26.
Demarchus Syrac. I, 1, 29.
Demostratus Athen. VI, 3, 2.
Demoteles Laced. VII, 1, 32.
Demotion VII, 4, 4.
Deras castellum VII, 1, 22.
Dercylidas Laced. III, 1, 8. 9. 16. 17 sq.; 2, 1 sq.; 4, 6. IV, 3, 1 sq.; 8, 3. 5. 32.
Derdas V, 2, 38 sq.; 3, 1 sq.
Diagoras I, 1, 2.
Diana IV, 2, 10. VI, 5, 9. VII, 1, 34. Astyrene IV, 1, 41. Ephesia I, 2, 6. III, 4, 18. Leucophryene III, 2, 19. Munychia II, 4, 11.
Digma in Piraeeo V, 1, 21.
Dinon Laced. V, 4, 33. VI, 4, 14.
Diocles II, 3, 2.
Diomedon Athen. I, 5, 16; 6, 22. 29; 7, 2, 16. 29.
Dion Athen. IV, 8, 13.
Dionysius Athen. V, 1, 26.
Dionysius Syrac. maior II, 2, 24; 3, 5. VI, 2, 4. 33. VII, 1, 20. 22.
Dionysius Syrac. minor VII, 4, 12.
Diopithes Laced. III, 3, 3.
Dioscuri VI, 3, 6.
Diotimus Athen. I, 3, 12. V, 1, 25.
Diphridas Laced. IV, 8, 21 sq.
Dolopes VI, 1, 7.
Dorieus Rhodius I, 1, 24; 5, 19.
Dorotheus I, 3, 13.
Dracon Pellen. III, 2, 11.
Dracontides Athen. II, 3, 2.

Ecdicus Laced. IV, 8, 20 sq.
Eion I, 5, 15.
Elaeus II, 1, 20.
Elei III, 2, 21 sq.; 5, 12. IV, 2, 16. VI, 5, 2 sq. 19. 23. 30. VII, 1, 18 sq. 26; 2, 5; 4, 12 sq. 26 sq. 35; 5, 1, 18. Elea III, 2, 23. VI, 2, 31. VII, 4, 17.
Eleusis II, 4, 8. 19. 24 sq. VII, 5, 15. Eleusinius II, 4, 9.
Eleutherae V, 4, 14.
Elimia V, 2, 38.
Elis III, 2, 23. 25. IV, 7, 4. VI, 2, 3. VII, 1, 38.
Endius Laced. II, 3, 1. 10.
Enyalius II, 4, 17.
Epaminondas VII, 1, 15 sq.; 4, 39 sq.; 5, 3 sq.
Epariti VII, 4, 22. 33. 34. 36; 5, 3.
Eperatus Laced. II, 3, 10.
Epeum III, 2, 30.
Ephesus I, 2, 6 sq.; 5, 10. 14. II, 1, 6. III, 1, 11; 2, 9. 11; 4, 4. 7. 11. 16. IV, 8, 3. V, 1, 6. Ephesii I, 2, 10; 5, 12. 15. Regio Ephesia III, 2, 14.
Ephialtes IV, 8, 24.
Epicydidas Lac. IV, 2, 2. V, 4, 39.
Epidaurus VI, 2, 3. VII, 1, 18. 25. Epidaurii IV, 2, 16. VI, 5, 29. VII, 2, 2.
Epidocus I, 1, 29.
Epiicia IV, 2, 14; 4, 13.
Epitalium III, 2, 29. 30. Epitalienses 9, 25.
Erasinides Athen. I, 5, 16; 6, 16 29. 7, 2. 29.
Erasistratus Athen. II, 3, 2.
Eratosthenes Athen. II, 3, 2.
Eretrienses III, 1, 6.
Erythrae V, 4, 49.
Eteonicus Lac. I, 1, 32; 6, 26. 35. II, 1, 1 sq.; 2, 5. V, 1, 1 sq. 13.
Etymocles Laced. V, 4, 22. 32. VI, 5, 33.
Euagoras Cyprius II, 1, 29. IV, 8, 24. V, 1, 10. Eleus I, 2, 1.
Eualces Athen. IV, 1, 40.
Euarchippus Lac. I, 2, 1. II, 3, 10.
Euboea II, 3, 9. Euboeenses IV, 3, 15. VI, 5, 23. VII, 5, 4.
Eubotas Cyren. I, 2, 1.
Euclea festum IV, 4, 2.
Eucles Syrac. I, 2, 8.
Euclides Athen. II, 3, 2.
Euctemon Athen. I, 2, 1.
Eudamidas Laced. V, 2, 24. 25.
Eudicus Laced. V, 4, 39.
Eumachus Athen. I, 1, 22.
Eumathes Athen. II, 3, 2.
Eunomus Athen. V, 1, 5. 7. 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Euphron Sicyon. VII, 1, 44 sq.; 2, 11 sq.; 3, 2 sq. 8. 12.
Europa III, 2, 9. IV, 2, 6; 8, 15; 8, 5.
Eurotas V, 4, 28. VI, 5, 27. 30.
Eurymedon IV, 8, 30.
Euryptolemus Athen. I, 3, 12 sq.; 4, 19; 7, 12. 16. 34.
Eurysthenes III, 1, 6.
Eurystheus VI, 5, 47.
Eutaea VI, 5, 12. 20. 21.
Euthycles Laced. VII, 1, 33.
Eutresii VII, 1, 29.
Euxenus Laced. IV, 2, 5.
Exarchus Laced. II, 3, 10.

Galaxidorus Laced. III, 5, 1.
Gambrium III, 1, 6.
Gaurium I, 4, 22.
Gela II, 3, 5.
Gelanor s. Geranor Laced. VII, 1, 25.
Gerastus III, 4, 4. V, 4, 61.
Gergis III, 1, 15. 19. 21. Gergithii 22.
Gnosis Syrac. I, 1, 29.
Gongylus Eretriensis III, 1, 6.
Gordieum I, 4, 1.
Gorgion Eretriensis III, 1, 6.
Gorgopas Laced. V, 1, 5 sq.
Graeci I, 5, 9 etc. Graeci in exercitu Cyri minoris III, 1, 2.
Graecia II, 2, 6 etc.
Grynium III, 1, 6.
Gylis Laced. IV, 3, 21. 23.
Gytheum I, 4, 11. VI, 5, 32.

Hagnon Athen. II, 3, 30.
Halae II, 4, 45.
Haliartus III, 5, 6. 17. 25. Haliartii 18.
Halienses IV, 2, 16. VI, 2, 3. VII, 2, 2.
Halipedon Athenarum II, 4, 30.
Halisarna III, 1, 6.
Hamaxitus III, 1, 13. 16
Hannibal I, 1, 37.
Helicon mons IV, 3, 16. 18.
Helixus Megar. I, 3, 15. 17. 21.
Hellespontii III, 4, 11 sq. IV, 3, 17; 8, 31.
Hellespontus I, 1, 2 sq.; 3, 8, 9. II, 1, 21. III, 2, 9 sq.
Helos Lacon. VI, 5, 32.
Helotes I, 2, 18. III, 3, 6 sq. VI, 5, 28. VII, 2, 2.
Heraclea Trachinia I, 2, 18. VI, 4, 27. Heracleotae III, 5, 6. VI, 4, 9. 27; 5, 23.
Heracleum Aeginae V, 1, 10. Calchedonis I, 3, 7. Thebarum VI, 4, 7.
Heraclides Syrac. I, 2, 3.
Heraea III, 2, 30; 3, 1. VI, 5, 22. Heraeenses VI, 5, 11. 22.
Heraeum Corinth. IV, 5, 5 sq. Phlias. VII, 2, 1 sq.
Hercules III, 3, 3. VI, 3, 6; 4, 7; 5, 47. VII, 1, 31.
Herippidas Laced. III, 4, 6. 20. IV, 1, 11 sq.; 2, 8; 3, 15. 17; 8, 11.
Hermion VI, 2, 3. Hermionenses IV, 2, 16. VII, 2, 2.
Hermocrates Syrac. I, 1, 27 sq.; 3, 13.
Hermogenes Athen. IV, 8, 13.
Hermon Megar. I, 6, 32.
Herodas Syrac. III, 4, 1.
Hieramenes Persa II, 4, 9.
Hierax Laced. V, 1, 3 sq.
Hieron Athen. II, 3, 2. Lac. VI, 4, 9.
Himera I, 1, 37.
Hippeus Samius I, 6, 29.
Hippias Eleus VII, 4, 14.
Hippocrates Lac. I, 1, 23; 3, 5 sq.
Hippodameum forum II, 4, 11.
Hippodamus Sicyon. VII, 1, 45.
Hippolochus Athen. II, 3, 2.
Hippomachus Athen. II, 4, 19.
Hippon Syrac. I, 2, 8.
Hipponicus Athen. VI, 3, 2. Phliasius V, 3, 13.
Histiaeenses II, 2, 3.
Hyacinthia IV, 5, 11.
Hyampolitae VI, 4, 27.
Hypates Theb. VII, 3, 7.
Hypatodorus Tanagr. V, 4, 49.
Hypermenes Laced. VI, 2, 25.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Iason Pheraeus VI, 1, 4; 4, 20 sq.
Iberes VII, 1, 20.
Ichthys prom. VI, 2, 31.
Ida I, 1, 25.
Idaeus Laced. IV, 1, 39.
Ilarchus Laced. II, 3, 10.
Ilium I, 1, 4. Ilienses III, 1, 16.
Imbrus IV, 8, 15. V, 1, 31.
Iones III, 4, 11. IV, 3, 17.
Ionia III, 2, 11. 14. V, 1, 28.
Ionicae urbes III, 1, 3; 2, 12.
Iphicrates IV, 4, 9. 15. 16; 5, 3. 13. 15. 19; 8, 34 sq. 39. V, 1, 25. VI, 2, 13 sq. 24. 27. 35. 36. 39; 3, 3; 4, 1; 5, 49, 51.
Isanor Laced. II, 3, 10.
Isarchus Laced. II, 3, 10.
Ischolaus VI, 5, 24 sq.
Isias II, 3, 10.
Ismenias III, 5, 1. V, 2, 25 sq.
Isthmia IV, 5, 1. 2.
Isthmus Corinth. IV, 5, 1; 8, 8. Thracius III, 2, 10. Pallenes V, 2, 15.
Iuppiter Olympius III, 2, 22. 26. 31. VII, 4, 35.

Labotas Laced. I, 2, 18.
Lacedaemon, v. Sparta.
Lacedaemonii I, 1, 17 et passim.
Laconica II, 2, 13. IV, 7, 6; 8, 8. VI, 2, 9. 31; 5, 21. 24. VII, 1, 25. 29.
Lacrates Laced. II, 4, 33.
Lampsacus I, 2, 15 sq. II, 1, 18. III, 2, 6.
Larisa Aegyptia, Larisaei III, 1, 13. 16. Alia III, 1. 7. Thessaliae VI, 4, 33. 34. Larisaei Thess. II, 3, 4. IV, 3, 3.
Larisus fl. III, 2, 23.
Lasion III, 2, 30. VII, 4, 12. Lasionii IV, 2, 16.
Lechaeum IV, 4, 7. 17; 5, 7. 8 sq. V, 1, 29.
Lemnus IV, 8, 13. V, 1, 31.
Leon Athen. I, 5, 16; 6, 16. VII, 1, 33. 37. 38. Laced. II, 3, 10. Salaminius II, 3, 39.
Leontiades V, 2, 25 s.; 4, 7. 19
Leontini II, 3, 5.
Leontis tribus II, 4, 27.
Leontichus Athen. V, 1, 26.
Leotychidas III, 3, 1.
Lepreatae III, 2, 25. VI, 5, 11.
Lesbus I, 2, 11; 6, 12. 26. II, 2, 5; 3, 32. IV, 8, 28.
Letrini III, 2, 25. 30. IV, 2, 16.
Leucas VI, 2, 3. 26.
Leucolophides Athen. I, 4, 21.
Leucophrys III, 2, 19. IV, 8, 17.
Leuctra V, 4, 33. VI, 4, 4; 5, 1. 23. VII, 1, 35; 2, 2.
Leuctrum VI, 5, 24.
Libys Laced. II, 4, 28.
Lichas Laced. III, 2, 21.
Locri Opuntii III, 5, 3 sq. Ozolae IV, 2, 17. Utrique IV, 3, 15. 22. VI, 5, 23.
Locris III, 5, 3. 4. IV, 3, 31.
Lycaethus Athen. VI, 3, 2.
Lycarius Laced. II, 3, 10.
Lyceum I, 1, 33. II, 4, 27.
Lyciscus Athen. I, 7, 13.
Lycomedes Mantin. VII, 1, 23 sq.; 4, 2 sq.
Lycophron Pheraeus II, 3, 4.
Lycurgus Laced. I, 3, 18.
Lydia I, 2, 4.
Lysander I, 5, 1; 6, 1 sq. II, 1, 6 sq.; 2, 2 sq.; 3, 6 sq.; 4, 28 sq. III, 1, 9; 3, 3; 4, 2. 7 sq.; 5, 6 sq.
Lysander Sicyon. VII, 1, 45.
Lysias I, 6, 30; 7, 2.
Lysimachus Athen. II, 4, 8. 26.
Lysimenes Sicyon. VII, 1, 45.
Lysippus Laced. III, 2, 29 sq.

Macedones V, 2, 12. 40.
Macedonia I, 1, 12. IV, 3, 3. V, 2, 12. 13. 38. V, 3, 18. VI, 1, 11.
Macedonicus exercitus V, 2, 43.
Macistus III, 2, 30.
Madytus I, 1, 3.
Maeander III, 2, 14. 17; 4, 12. 21; 8, 17.
Malea prom. Lacon. I, 2, 18. Maleatis VI, 5, 24.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Malea prom. Lesbi I, 6, 26.
Malienses, v. Melienses.
Mania Dardan. III, 1, 10 sq.
Mantinea IV, 5, 18. V, 2, 2 sq. VI, 5, 3 sq. VII, 5, 7 sq. Mantineenses III, 2, 21. IV, 2, 13; 4, 17; 5, 18. V, 2, 1 sq. VI, 4, 18; 5, 3 sq. VII, 4, 33 sq.; 5, 1, 14 sq.
Mantinice VI, 5, 15. 17.
Mantitheus Athen. I, 1, 10; 3, 13.
Maraci VI, 1, 7.
Marganenses III, 2, 25. 30. IV, 2, 16. VI, 5, 2. VII, 4, 14. 26.
Medea VII, 1, 28. 29.
Medi I, 2, 19.
Medocus IV, 8, 26.
Megabates Persa IV, 1, 28.
Megalopolitae VII, 5, 5.
Megara I, 1, 36; 2, 14. II, 4, 1. IV, 4, 13. V, 4, 41. 55. 58. Megarenses I, 3, 15; 6, 32. Megarica V, 4, 18. VI, 4, 26.
Megillus Laced. III, 4, 6.
Melanippus Rhodius VI, 2, 35.
Melanopus Athen. VI, 3, 2.
Melanthius Athen. II, 3, 46.
Meletus Athen. II, 4, 36.
Melienses vel Malienses III, 5, 6. IV, 2, 17. VI, 5, 23.
Melobius Athen. II, 3, 2.
Melon Theb. V, 4, 2 sq. V. Menon.
Melus IV, 8, 7. Melii II, 2, 3. 9.
Menander I, 2, 16. II, 1, 16. 26.
Menascus Laced. IV, 2, 8.
Menecles Athen. I, 7, 34.
Menecrates Syrac. I, 1, 29.
Menon s. Melon Thesp. V, 4, 55.
Messene V, 2, 3. VII, 1, 27. 36.
Messenii VI, 5, 33. VII, 1, 29; 4, 27; 5, 5.
Methymna I, 2, 12; 6, 12. 38. IV, 8, 29. Methymnaei I, 6, 13. 14. 18. IV, 8, 29.
Midias Dardan. III, 1, 14 sq.
Migdon Laced. III, 4, 20.
Miletus I, 1, 31; 2, 2; 5, 1; 6, 2. 7. Milesii I, 6, 8.
Mindarus Laced. I, 1, 4. 11. 14 sq. 23; 3, 15.
Minerva I, 1, 4; 3, 1; 6, 1. II, 4, 39. III, 1, 21 sq. V. Alea.
Misgolaidas Laced. II, 3, 10.
Mitraeus Persa II, 1, 8.
Mitrobates Persa I, 3, 12.
Mnasippus Laced. VI, 2, 4 sq. 15 sq.
Mnesilochus Athen. II, 3, 2.
Mnesithides Athen. II, 3, 2.
Munychia II, 4, 11. Diana Munychia ib.
Myrina III, 1, 6.
Myscon Syrac. I, 1, 29.
Mysi III, 1, 13. IV, 1, 24. Mysia I, 4, 7.
Mytilene I, 6, 16. 26. 38; 7, 29. II, 2, 5. IV, 8, 28. Mytilenaei ib. 29. I, 6, 22.

Narthacium IV, 3, 8. 9.
Naubates Laced. III, 2, 6.
Naucles Laced. VII, 1, 41.
Nauclidas Laced. II, 4, 36.
Naupactus IV, 6, 14.
Nauplia IV, 7, 6.
Neandrenses III, 1, 16.
Nemea IV, 2, 14; 7, 3. VII, 2, 5; 5, 6.
Neptunus III, 3, 2. IV, 5, 1. 2. 4; 7, 4. 5. Gaeaochus VI, 5, 30.
Niceratus Athen. II, 3, 39.
Nicias Athen. II, 3, 39.
Nicolochus Laced. V, 1, 6. 7. 25; 4, 65.
Nicophemus Athen. IV, 8, 8.
Nicostratus Athen. II, 4, 6.
Notium prom. I, 2, 4. 11; 5, 12 sq.

Ocyllus Laced. V, 4, 22. VI, 5, 33.
Odeum Athen. II, 4, 9.
Odrysae IV, 8, 26. V. Thraces.
Oeatae VI, 5, 16.
Oeniadae IV, 6, 14.
Oenoe Att. I, 7, 28. Corinth. IV, 5, 5, 19.
Oetaei I, 2, 18. III, 5, 6.
Oeum VI, 5, 24 sq.
Olontheus Laced. VI, 5, 33.
Olurus VII, 4, 17. 18.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Olympia III, 2, 26. IV, 1, 40; 7, 2. VII, 4, 14. 28. Olympiaca via ib. Olympiacus mons ib. 14. Olympiacus annus ib. 28.
Olympiorum ludicrum VII, 4, 28.
Olympius Iuppiter, v. Iuppiter.
Olynthus V, 2, 11 sq.; 3, 9. Olynthii V, 2, 13 sq.; 3, 1 sq.; 4, 45.
Oneum VI, 5, 51 sq. VII, 1, 15. 41; 2, 5.
Onomacles Athen. II, 3, 2. Laced. II, 3, 10.
Onomantius Laced. II, 3, 10.
Opuntii Locri, v. Locri.
Orchomenus Arcadiae IV, 5, 18. V, 1, 29. VI, 5, 15 sq. 29. Orchomenii ib. 11. Boeotiae III, 5, 17. IV, 3, 15. Orchomenii Arcadiae VI, 5, 11. 13. Boeotiae III, 5, 6. IV, 2, 17; 3, 15. 18. V, 4, 36. VI, 4, 10.
Oreus V, 4, 56. Oritae 57.
Oropus VII, 4, 1.
Orsippus Laced. IV, 2, 8.
Otys rex Paphlag. IV, 1, 3 sq. 10 sq.
Ozolae Locri, v. Locri.

Pactolus III, 4, 22.
Pagasae V, 4, 56.
Palaegambrium III, 1, 6.
Pallantium VI, 5, 9. Pallantienses VII, 5, 5.
Pallene V, 2, 15.
Pamphilus Athen. V, 1, 2.
Pangaeum V, 2, 17.
Pantacles Lac. I, 3, 1. II, 3, 10.
Paphlagonia IV, 1, 2 sq.
Paralus navis II, 1, 28 sq.; II, 2, 3. VI, 2, 14.
Parapita Persis IV, 1, 39.
Parium I, 1, 13.
Parrhasii VII, 1, 28.
Parus I, 4, 11.
Pasimachus Laced. IV, 4, 10.
Pasimelus Corinth. IV, 4, 4. 7.
Pasippidas Laced. I, 1, 32; 3, 13. 17.
Patesiadas Laced. II, 3, 10.
Pausanias rex Laced. II, 2, 7 4, 29 sq. III, 5, 6 sq. V, 2, 3.
Pella V, 2, 13.
Pellene Achaiae VII, 1, 18; 2, 18. 20; 4, 18. Lacon. VII, 5, 9. Pellenenses Ach. IV, 2, 20. VI, 5, 29. VII, 1, 15 sq.; 2, 2. 11; 4, 17.
Pelles Laced. IV, 3, 23.
Pelopidas Theb. VII, 1, 33 sq.
Peloponnesus III, 2, 17. 26; 6, 17. IV, 6, 14. VI, 2, 9; 3, 6. VII, 1, 23; 2, 2; 4, 35; 5, 1 sq. Peloponnesii I, 1, 6 sq.; 6, 33 sq II, 2, 7; 4, 21. 29. III, 1, 4; 5, 6. VI, 5, 1.
Percote V, 1, 25.
Pergamus III, 1, 6.
Pericles Athen. I, 5, 16; 6, 29; 7, 16. 21.
Perinthus I, 1, 21. Perinthii ib.
Persae III, 4, 14 sq. IV, 1, 30. Rex Persarum VI, 1, 12.
Phaedrias Athen. II, 3, 2.
Phanias Athen. V, 1, 26.
Phanosthenes Athen. I, 5, 18.
Pharae IV, 8, 7.
Pharax Laced. III, 2, 12. 14. IV, 5, 6. VI, 5, 33.
Pharnabazus Persa I, 1, 6 sq. 31; 2, 16; 3, 5 sq.; 4, 1 sq. III, 1, 9 sq.; 2, 1 sq. 9. 13; 4, 10 13. IV, 1, 1. 7. 15 sq.; 3, 11 8, 1, 3 sq. V, 1, 28.
Pharnabazi filius IV, 1, 38 sq.
Pharsalus VI, 4, 34. Pharsalii IV, 3, 3. VI, 1, 2 sq.
Phea III, 2, 30.
Pheraei II, 3, 4. VI, 4, 31.
Phidon Athen. II, 3, 2.
Philippus Theb. V, 4, 2.
Philiscus Abydenus VII, 1, 27.
Phillidas Theb. V, 4, 2. 4 sq.
Philocles Athen. I, 7, 1. II, 1, 30 sq.
Philodices Athen. I, 3, 13.
Phliasii IV, 2, 16; 4, 15. V, 2. 9 sq.; 3, 10. 16. VI, 4, 9. 18; 5, 14. 17. 29. VII, 1, 1; 2, 1; 3, 1; 4 1.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Phlius IV, 4, 15; 7, 3. V, 2, 8. VII, 1, 18; 2, 4. 5. 10 sq.
Phocaea I, 3, 1; 5, 11; 6, 33.
Phocenses III, 5, 3. 6. 17. 21. IV, 3, 15. 21. V, 2, 33; 4, 60. VI, 1, 1; 2, 1; 3, 1; 4, 2. 9, 21; 5, 23. 30. VII, 5, 4.
Phocis III, 5, 4. VI, 1, 1; 4, 27.
Phoebidas Laced. V, 2, 24 sq. 4, 41 sq.
Phoenice III, 4, 1. Phoeniciae triremes III, 4, 1. IV, 3, 11.
Phoenicus IV, 8, 7.
Phrixa III, 2, 30.
Phrygia I, 4, 1. III, 2, 1; 4, 12. 26. IV, 1, 1.
Phthia IV, 3, 9.
Phyle II, 4, 2 sq.
Piraeum IV, 5, 1 sq.
Piraeus I, 1, 35; 2, 14; 3, 22; 4, 12; 7, 35. II, 3, 11; 4, 1. 24 sq. III, 5, 5. 16. IV, 8, 9. V, 1, 9; 2, 33; 4, 20. 34.
Pisander III, 4, 29. IV, 3, 10 sq.
Pisatae VII, 4, 28 sq.
Pisianax I, 4, 19; 7, 12.
Pisias s. Pithias Argivus VII, 1, 41.
Pisidae III, 1, 13.
Pison Athen. II, 3, 2.
Pithias, v. Pisias.
Pityas Laced. I, 6, 1. II, 3, 10.
Plataeae V, 4, 10. 14. 48. VI, 3, 5. VII, 1, 34. Plataeenses V, 4, 10. VI, 3, 1.
Plistolas Laced. II, 3, 10.
Plynteria I, 4, 12.
Podanemus Laced. IV, 8, 11. Phliasius V, 3, 13.
Pollis Laced. IV, 8, 11. V, 4, 61.
Polyaenidas Laced. VII, 4, 23.
Polyanthes Corinth. III, 5, 1.
Polybiades Laced. V, 3, 20. 26.
Polychares Athen. II, 3, 2.
Polycharmus Laced. V, 2, 41. Pharsalius IV, 3, 8.
Polydamas Pharsalius VI, 1, 2 sq.
Polydorus Thessalus IV, 4, 33.
Polyphron Thessalus VI, 4, 33 sq.
Polytropus Corinth. VI, 5, 11.
Polyxenus Syracus. V, 1, 26.
Pontus I, 1, 22. II, 2, 1. IV, 8, 27. 31. V, 1, 28.
Potamis Syracus. I, 1, 29.
Potidaea V, 2, 15. 24. 39; 3, 6.
Potniae V, 4, 51.
Pras IV, 3, 9.
Prasiae VII, 2, 2.
Praxitas Laced. IV, 4, 7. 8. 13; 5, 19.
Priene III, 2, 17. IV, 8, 17.
Proaenus Corinth. IV, 8, 11.
Procles III, 1, 6. Phliasius V, 3, 13. VI, 5, 38. VII, 1, 1.
Proconnesus I, 1, 13. 18. 20; 3, 1. IV, 8, 36. V, 1, 26.
Prometheus Thessalus II, 3, 36.
Prothous Laced. VI, 4, 2.
Protomachus Athen. I, 5, 16; 6, 30. 33; 7, 1.
Proxenus Syracus. I, 3, 13. Tegeates VI, 5, 7. Pellenensis VII, 2, 16.
Pygela I, 2, 2. Pygelenses ib.
Pylus Elidis VII, 4, 16. 26. Pylii ibid.
Pyrrholochus Argivus I, 3, 13.
Pythia VI, 4, 29. 30.
Pythodorus Athen. II, 3, 1.

Rhamphias Laced. I, 1, 35.
Rhathines Persa III, 4, 13.
Rhium IV, 6, 14; 8, 11.
Rhodus I, 1, 2; 5, 1. 19; 6, 3. II, 1, 15. IV, 8, 20. V, 1, 5. Rhodii I, 6, 18. IV, 8, 29.
Rhoeteum I, 1, 2.

Salaminia navis VI, 2, 14.
Salamis II, 2, 9.
Samii I, 6, 25. 29; 7, 30. II, 2, 6; 3, 6.
Samius Laced. III, 1, 1.
Samothrace V, 1, 7.
Samus I, 2, 1; 4, 8 sq. 23; 5, 14. 18. 20; 6, 2. 15. 25. 38. II, 1, 12; 3, 3. IV, 8, 23.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Sardes I, 1, 9. 10; 5, 1. III, 2, 11; 4, 25. IV, 1, 27; 8, 21. Sardiana regio III, 4, 21.
Satyrus Athen. II, 3, 54.
Scepsis III, 1, 15. 19. 20. 28. Scepsii III, 1, 21.
Scilluntii VI, 5, 2.
Scionaei II, 2, 3.
Sciritae V, 2, 24; 4, 52 sq. Sciritis VI, 5, 24. 25. VII, 4, 21.
Scolus V, 4, 49.
Scopas Thessalus VI, 1, 19.
Scotussaei IV, 3, 3.
Scyrus IV, 8, 15. V, 1, 31.
Scythes Laced. III, 4, 20.
Selinus I, 1, 37. Selinuntii I, 2, 8 s.
Sellasia II, 2, 13. 19. VI, 5, 27. VII, 4, 12.
Selybria I, 1, 21; 3, 10. Selybriani I, 1, 21.
Sestus I, 1, 7. 11. 36; 2, 13. II, 1, 20. 25. IV, 8, 3 sq.
Seuthes III, 2, 2. 9. IV, 8, 26.
Sicilia I, 1, 37; 5, 21. VI, 2, 9. Siculi II, 2, 24.
Sicyon IV, 2, 14; 4, 1. 7. 14; 5, 12. 19. VII, 1, 17. 18. 44; 2, 11. 15; 3, 1. Sicyonii IV, 2, 16; 4, 8 sq. VI, 4, 18. VII, 1, 22; 2, 1 sq.; 3, 1; 4, 1.
Sidus IV, 4, 13; 5, 19.
Sisyphus dictus Dercylidas III, 1, 8.
Soclidas Laced. VII, 4, 19.
Socrates Athen. I, 7, 15.
Sophocles Athen. II, 3, 2.
Sophroniscus I, 7, 15.
Sostratidas Laced. II, 3, 10.
Sparta s. Lacedaemon I, 1, 23; 2, 1; 3, 19; 6, 8. 32. III, 2, 20; 3, 1. IV, 2, 12; 8, 7. V, 3, 10, 11. VI, 4, 16; 5, 23. VII, 1, 23. 28. 32; 2, 3; 5, 7. 9.
Spartiatae III, 3, 5 sq.; 4, 2. V, 1, 11; 3, 8. 9; 4, 39. VI, 4, 15; 5, 21. 25. VII, 5, 10. 11. Lacedaemonii passim.
Spartolus V, 3, 6.
Sphagiae VI, 2, 31.
Sphodrias Laced. V, 4, 15 sq. 23 sq. VI, 4, 14.
Spithridates Persa III, 4, 10. IV, 1, 2 sq. 10 sq. 20 sq.
Stages Persa I, 2, 5.
Stalcas Eleus VII, 4, 15.
Stasippus Tegeates VI, 4, 18; 5, 6 sq.; 36.
Sthenelaus Laced. II, 2, 2.
Stratolas Eleus VII, 4, 15. 31.
Stratus IV, 6, 4.
Strombichides Athen. VI, 3, 2.
Struthas Persa IV, 8, 17 sq.
Syennesis III, 1, 1.
Syracusae I, 1, 29. 31. V, 1, 26. 28. VI, 2, 35. VII, 1, 22.
Syracusani I, 1, 18. 26 sq.; 2, 8 sq. II, 2, 24; 3, 5.

Tanagra V, 4, 49. Tanagraei ib.
Tegea III, 5, 7. 25. V, 1, 33; 4, 37. VI, 5, 9. 15 sq. VII, 4, 36; 5, 6 sq. Tegeatae IV, 2, 13. VI, 4, 18; 5, 9 sq. VII, 4, 36; 5, 5. 8. Tegeatis VI, 5, 15.
Teleutias Laced. IV, 4, 19; 8, 11. 23 sq. V, 1, 1 sq. 13; 2, 37. 41. 43; 3, 3 sq.
Temnus IV, 8, 5.
Tenea IV, 4, 19.
Tenedus V, 1, 6. Tenedii 7.
Teuthrania III, 1, 6.
Thalamae VII, 4, 26.
Thamneria II, 1, 13.
Thasus I, 1, 12. 32; 4, 9. V, 1, 7.
Thebae II, 4, 1. III, 5, 1. 3. V, 2, 25; 4, 19. VI, 3, 2. VII, 4, 34. Thebani I, 7, 28. II, 2, 19. III, 2, 21; 5, 4 sq. 18. 22. 24. IV, 3, 16 sq.; 5, 10. V, 1, 32 sq.; 2, 25 sq.; 4, 2 sq. VI, 1, 1; 2, 1; 3, 1. 9. 19; 4, 3 sq. 10 sq. 20 sq.; 5, 22 sq. VII, 1, 15 sq.; 2, 5; 3, 4 sq.; 4, 1 sq.; 5, 6. 16.
Thebes campus IV, 1, 41.
Themistogenes Syrac. III, 1, 2.
Theogenes Athen. I, 3, 13. II, 3, 2.
Theognis Athen. II, 3, 2.
Theopompus Milesius II, 1, 30.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Theramenes Athen. I, 1, 12. 22; 6, 35; 7, 4 sq. II, 2, 16 sq.; 3, 2.
Therimachus Laced. IV, 8, 29.
Thermopylae VI, 5, 43.
Thersander Laced. IV, 8, 18 sq.
Thespiae V, 4, 15. 20. 38 sq. VI, 3, 5. Thespice VI, 4. 4.
Thessalia II, 3, 4. 36. IV, 3, 3. VI, 1, 2 sq. 12; 4, 28; 5, 23. Thessali IV, 3, 3. 7. 8. V, 3, 9. VI, 1, 8. 9. 14. 18; 4, 28. 30. VII, 5, 4. Thessalicus VI, 1, 3; 5, 4.
Thibrachus Laced. II, 4, 33.
Thibron Laced. III, 1, 4. 1 sq. IV, 8, 17 sq.
Thisbae VI, 4, 3.
Thorax Laced. II, 1, 18. 28.
Thoricus I, 2, 1.
Thraces III, 2, 8. 10. V, 2, 17. Thraces Bithyni I, 3, 2. Odrysae III, 2, 2. 5. Thracia I, 4, 9. II, 2, 5. III, 2, 9. IV, 8, 26. V, 1, 26; 2, 12. 24.
Thracium I, 3, 20.
Thrasonidas Eleus VII, 4, 15.
Thrasybulus Collytensis V, 1, 26. Stiriensis I, 1, 12; 4, 9 sq.; 5, 11; 6, 35; 7, 5. 17. 31. II, 3, 42. 44; 4, 2. III, 5, 16. IV, 8, 25 sq.
Thrasydaeus Eleus III, 2, 27 sq.
Thrasyllus I, 1, 8. 33. 34; 2, 1; 3, 6; 4, 10; 5, 16; 6, 30; 7, 2. 29.
Thraustus VII, 4, 14.
Thria V, 4, 21.
Thurinae triremes I, 5, 19.
Thyamia VII, 2, 1. 23; 4, 1. 11.
Thymochares Athen. I, 1, 1.
Thyrienses VI, 2, 37.
Tigranes Persa IV, 8, 21.
Timagoras Athen. VII, 1, 33. 35. 38.
Timocrates Athen. I, 7, 3.
Timocrates Laced. VII, 1, 13.
Timocrates Rhodius III, 5, 1.
Timocrates Syracus. VII, 4, 12.
Timolaus Corinthius III, 5, 1. IV, 2, 11.
Timomachus Athen. VII, 1, 41.
Timotheus Athen. V, 4, 63 sq. VI, 2, 2 sq.
Tiribazus Persa IV, 8, 12 sq. V, 1, 6. 28. 30.
Tisamenus Laced. III, 3, 11.
Tisiphonus Thessalus VI, 4, 37 5, 1.
Tissaphernes Persa I, 1, 9. 31; 2, 6. 8; 5, 2. 8. III, 1, 3. 6. 9. 2, 12; 4, 1. 5. 6. 11. 21. 25.
Tithraustes Persa III, 4, 25; 5, 1
Tlemonidas Laced. V, 3, 3.
Torone V, 3, 18. Toronaei II, 2, 3.
Trachinia Heraclea, v. Heraclea.
Tralles III, 2, 19.
Tricaranum VII, 2, 1. 5. 11; 4, 11.
Triphyliae urbes III, 2, 30. Triphylii IV, 2, 16. VI, 5, 2. VII, 1, 26.
Triptolemus VI, 3, 6.
Tripyrgia V, 1, 10.
Troezen VI, 2, 3. Troezenii IV, 2, 16. VII, 2, 2.
Troia III, 4, 3. VII, 1, 34.
Tydeus Athen. II, 1, 16. 26.
Tyndaridae VI, 5, 31.

Vesta II, 3, 52. VII, 4, 31.

Xenias Eleus III, 2, 27.
Xenocles Laced. III, 4, 20.
Xerxes II, 1, 8.

Zacynthus VI, 2, 3. Zacynthii 2
Zenis Dardan. III, 1, 10.
Zeuxippus Laced. II, 3, 10.
Zoster V, 1, 9.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΔΗΜΟΣΘΕΝΟΥΣ
## ΛΟΓΟΙ

# DEMOSTHENIS ORATIONES

EX RECENSIONE

**GUILIELMI DINDORFII.**

VOL. I. PARS I.

**Orationes I—XVII.**

EDITIO TERTIA CORRECTIOR.

LIPSIAE

SUMPTIBUS ET TYPIS B. G. TEUBNERI.

MDCCCLXXIX.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΕΙΣ

## ΤΩΝ ΛΟΓΩΝ ΔΗΜΟΣΘΕΝΟΥΣ.

Ἐπειδή, κράτιστε ἀνθυπάτων Μόντιε, κατὰ τὸν Ὁμη- 1
ρικὸν Ἀστεροπαῖον περιδέξιος τὰ εἰς λόγους ὢν πρωτεύεις (Reisk.)
μὲν ἐν τῇ Ῥωμαίων φωνῇ καὶ τῆς παρ' ἐκείνοις παιδείας
ὁμολογουμένως τὸ πρεσβεῖον ἀνῄρησαι, ἀμελεῖς δὲ οὐδὲ τῆς
Ἑλληνικῆς, ἅτε καὶ ἐν αὐτῇ διὰ τὸ τῆς φύσεως μέγεθος
ὑπερέχειν δυνάμενος, ἀλλὰ περί τε τοὺς ἄλλους διατρίβεις
καὶ περὶ τὸν τελεώτατον τῶν Ἑλληνικῶν ῥητόρων, τὸν Δη-
μοσθένην, καὶ δὴ καὶ ἡμᾶς ἐβουλήθης τὰς ὑποθέσεις τῶν
τούτου λόγων ἀναγράψασθαί σοι, δεχόμεθα μὲν ἄσμενοι
τὸ πρόσταγμα, ἴσμεν γὰρ ὅτι πλείω τὴν τιμὴν ἢ πόνον ἔχει,
ἀρξόμεθα δὲ τοῦ συντάγματος ἀπὸ τοῦ βίου τοῦ ῥήτορος,
οὐχ ὅλον αὐτὸν διεξιόντες, περιττὸν γὰρ τοῦτο, ἀλλὰ τοσού- 2
των μνημονεύοντες ὅσα δοκεῖ καὶ πρὸς κατάληψιν ἀκριβε-
στέραν τῶν λόγων συντελεῖν.

Δημοσθένει τοίνυν τῷ ῥήτορι πατὴρ ἦν Δημοσθένης, ἀνεπίληπτος τῷ γένει δοκῶν, ὡς καὶ Αἰσχίνης ἐχθρὸς ὢν μαρτυρεῖ· εἴρηται γοῦν οὕτως αὐτοῖς ῥήμασι „τούτῳ πατὴρ μὲν ἦν Δημοσθένης ὁ Παιανιεύς, ἀνὴρ ἐλεύθερος· οὐ γὰρ δεῖ ψεύδεσθαι“· ἐργαστήριον δὲ οἰκετῶν μαχαιροποιῶν κεκτημένος ἐντεῦθεν τὴν τοῦ μαχαιροποιοῦ κλῆσιν ἔλαβε. τὸ μέντοι μητρῷον γένος τοῦ ῥήτορος οὐκ ἦν, ὥς φασι, καθαρῶς Ἀττικόν, Γύλωνος τοῦ πάππου τοῦ Δημοσθένους φυγόντος μὲν ἐξ Ἀθηνῶν ἐπὶ προδοσίας ἐγκλήματι, οἰκήσαντος δὲ περὶ τὸν Πόντον, κἀκεῖ γυναῖκα ἀγα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γομένου Σκύθιν τὸ γένος, ἐξ ἧς ἦν τοῦ Δημοσθένους ἡ μήτηρ Κλεοβούλη. εἰς τοῦτο γοῦν ἄλλοι τε λελοιδορήκασι καὶ Αἰσχίνης, εἰπὼν ὡς ἄρα εἴη Σκύθης, βάρβαρος ἑλληνίζων τῇ φωνῇ. περὶ μὲν οὖν τοῦ γένους αὐτοῦ τοσαῦτα εἰρήσθω· ὀρφανὸς δὲ καταλειφθεὶς ὑπὸ τοῦ πατρὸς κομιδῇ νέος ἦν μέν, ὥς φασιν, ἀσθενὴς τῷ σώματι καὶ νοσώδης, ὥστε μηδὲ εἰς παλαίστραν φοιτῆσαι, καθάπερ πάντες οἱ τῶν Ἀθηναίων παῖδες εἰώθεσαν. ὅθεν καὶ ἀνδρωθεὶς ὑπὸ τῶν ἐχθρῶν εἰς μαλακίαν ἐσκώπτετο καὶ Βάταλος ἐπωνυμίαν ἔσχεν· ἱστόρηται γάρ τινα Βάταλον Ἐφέσιον αὐλητὴν γενέσθαι, ὃς πρῶτος ὑποδήμασι γυναικείοις ἐπὶ τῆς σκηνῆς ἐχρήσατο καὶ μέλεσι κατεαγόσι, καὶ ὅλως τὴν τέχνην ἐμάλθαξεν· ἀπὸ τούτου δὲ τοὺς ἐκλύτους καὶ ἀνάνδρους Βατάλους ἐκάλουν.

Λέγεται δὲ τὸν Δημοσθένην τὴν πολλὴν καὶ σφοδρὰν ἐπὶ λόγους ὁρμὴν ἐντεῦθεν σχεῖν. Καλλίστρατος ἦν Ἀθηναῖος ῥήτωρ ἔνδοξος· οὗτος ἔμελλε δημοσίαν τινὰ δίκην 3
ἀγωνίζεσθαι, φασίν, οἶμαι, τὴν περὶ Ὠρωποῦ. ὁ τοίνυν Δημοσθένης παῖς ὢν ἐδεῖτο τοῦ ἐφεστῶτος οἰκέτου συγχωρῆσαι παραβαλεῖν αὐτῷ τῇ δίκῃ· καὶ ὃς ἐπέτρεψεν. ἀκούσας δὲ οὕτω διετέθη ὥστε ἀπ' ἐκείνης τῆς ὥρας πάντα πάρεργα πρὸς τοὺς λόγους θέσθαι. διδασκάλῳ δὲ χρησάμενος Ἰσαίῳ, μάλα δεινῷ ῥήτορι, εἰς ἄνδρας ἐγγραφεὶς εὐθὺς ἀγῶνα κατὰ τῶν ἐπιτρόπων ἐνεστήσατο, κακῶς διῳκηκότων τὴν οὐσίαν αὐτοῦ. καὶ εἷλε μὲν αὐτούς, οὐ μὴν ἠδυνήθη πάντα ἀπολαβεῖν ὅσα ἀπωλωλέκει. τοὺς δὲ λόγους τοὺς ἐπιτροπικοὺς εἰσὶν οἵ φασιν Ἰσαίου καὶ οὐ Δημοσθένους εἶναι, διὰ τὴν ἡλικίαν τοῦ ῥήτορος ἀπιστοῦντες, ὀκτωκαίδεκα γὰρ ἐτῶν ἦν, ὅτε πρὸς τούτους ἠγωνίζετο, καὶ ὅτι δοκοῦσιν οἱ λόγοι τὸ τοῦ Ἰσαίου πως ἐπιφαίνειν εἶδος. ἕτεροι δὲ νομίζουσι συντετάχθαι μὲν ὑπὸ Δημοσθένους, διωρθῶσθαι δὲ ὑπὸ τοῦ Ἰσαίου. οὐδὲν δὲ θαυμαστόν, εἰ ὁ Δημοσθένης ἠδύνατο μὲν κἀπ' ἐκείνης τῆς ἡλικίας συγγράφειν τοιούτους λόγους, ἡ γὰρ ὕστερον ὑπεροχὴ καὶ τοῦτο πιστοῦται, ἀπὸ δὲ νεαρᾶς ἔτι τῆς ἀσκήσεως τῆς ὑπὸ τῷ διδασκάλῳ τὸν ἐκείνου χαρακτῆρα πολλαχῇ μεμίμηται. μετὰ μέντοι τούτους τοὺς ἀγῶνας βραχὺ τῇ ἡλικίᾳ προελθὼν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοφιστεύειν ἐνεχείρησεν, εἶτα ἀπαλλαγεὶς τούτου συνηγόρησεν ἐν δικαστηρίῳ. τούτοις δὲ ὥσπερ γυμνασίοις χρησάμενος ἐπὶ τὸ δημαγωγεῖν καὶ τὰ τῆς πόλεως πράττειν ἦλθεν.

Ἔτι κἀκείνων μνημονευτέον, ὅτι τραυλὸς μὲν ἦν τὴν γλῶτταν ἐκ φύσεως, τὸ δὲ πνεῦμα ἀτονώτερος· ἐξ ὧν ἀμφοτέρων συνέβαινε φαυλοτάτην αὐτὸν τὴν ὑπόκρισιν παρεχόμενον οὐκ εὐδοκιμεῖν τὸ κατ᾽ ἀρχὰς ἐπὶ τοῖς λόγοις. διὸ καὶ πρὸς τὸν ἐρωτήσαντα „τί ἐστι ῥητορική“ ἀπεκρίνατο ὅτι ὑπόκρισις, δυσχεραίνων ὅτι διὰ ταύτην τῶν χειρόνων ἥττων ἐφαίνετο. ἀλλὰ καὶ ταῦτα μελέτῃ κατώρθωσε 4
καὶ ὅσα ἄλλα αὐτῷ πρὸς δημαγωγίαν ὑπῆν ἐλαττώματα. καὶ γὰρ δειλὸς ἦν τὸ πρῶτον πρὸς τοὺς τοῦ δήμου θορύβους καὶ εὐκατάπληκτος, ὥστε εὐθὺς ἐξίστασθαι. διὰ δὲ τοῦτό φασιν αὐτὸν ἄνεμον ῥαγδαῖον τηροῦντα καὶ κινουμένην σφοδρῶς τὴν θάλατταν παρὰ τοὺς αἰγιαλοὺς βαδίζοντα λέγειν, καὶ τῷ τῆς θαλάττης ἤχῳ συνεθίζεσθαι φέρειν τὰς τοῦ δήμου καταβοάς. μνημονεύονται δὲ αὐτοῦ καὶ οἰκήσεις κατάγειοι καὶ ξυρήσεις ἀπρεπεῖς, ἵνα δι᾽ αἰσχύνην μὴ προΐοι τοῦ τῆς οἰκίας δωματίου, καὶ ὡς οὐδὲ τὰς νύκτας ἐκάθευδεν, ἀλλὰ διεπονεῖτο πρὸς φῶς περὶ λόγους. ὅθεν καὶ Πυθέας σκώπτων ἔφη τοὺς λόγους τοῦ Δημοσθένους λύχνων ἀπόζειν. πρὸς ὃν ὁ Δημοσθένης ἀστείως ἅμα καὶ πικρῶς „οἶδα“ εἶπεν „ὅτι σε λυπῶ λύχνον καίων·“ διεβέβλητο γὰρ ὡς λωποδυτῶν νύκτωρ ὁ Πυθέας. καὶ μὴν ὅτι γε ὕδωρ ἐπετήδευε πίνειν, ἵνα ἐγρηγορυῖαν μᾶλλον παρέχηται τὴν διάνοιαν, ἅπασιν ὡμολόγηται, παρειλήφαμεν δὲ κἀκεῖνο, ὡς καὶ ξίφος ποτὲ ἐκ τῆς ὀροφῆς ἀπήρτησε καὶ ἱστάμενος ὑπὸ τοῦτο ἔλεγεν. ἐποίει δὲ τοῦτο δι᾽ αἰτίαν τοιαύτην. ἐν τῷ λέγειν ἀπρεπῶς τὸν ὦμον εἰώθει κινεῖν· ὑπερεκρέμασεν οὖν τοῦ ὤμου τὸ ξίφος ἐν χρῷ, καὶ οὕτω τῷ δέει τῆς πληγῆς ἠδυνήθη κατασχεῖν ἑαυτὸν ἐπὶ τοῦ πρέποντος σχήματος.

Ἀναγκαῖον δὲ διηγήσασθαι καὶ ὅπως εἶχε τά τε τῶν Ἑλλήνων καὶ τῶν Ἀθηναίων πράγματα, ὅτε ἐπὶ τὸ δημαγωγεῖν ἦλθε Δημοσθένης. Θηβαῖοι Λακεδαιμονίους ἄρχοντας τῶν Ἑλλήνων καὶ μεγίστην δύναμιν ἔχοντας ἐν Λεύκτροις



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς Βοιωτίας μάχῃ νικήσαντες αὐτοὶ προῆλθον εἰς ἰσχὺν, καὶ μετ' ὀλίγον πρὸς Φωκέας πόλεμον ἐξήνεγκαν. ἦσαν δὲ οἱ Φωκεῖς ἔθνος ὅμορον τῇ Βοιωτίᾳ, πόλεις ἔχον δύο καὶ 5
εἴκοσιν. οὗτοι καταλαβόντες τὸν τοῦ Πυθίου ναὸν, πλησίον ὄντα, ἐσύλησαν· ἀνθ' ὅτου καὶ οἱ Θηβαῖοι πόλεμον ἐξήνεγκαν πρὸς αὐτούς. ἐπολέμουν δὲ καὶ Ἀθηναῖοι τὸν συμμαχικὸν κληθέντα πόλεμον· Χῖοι γὰρ καὶ Ῥόδιοι καὶ Βυζάντιοι πάλαι ποτὲ ὄντες ὑπήκοοι Ἀθηναίων, τότε μετ' ἀλλήλων συστάντες καὶ συμμαχίαν ποιησάμενοι, πρὸς αὐτοὺς ἐπολέμουν. καὶ οὕτω μὲν ἡ Ἑλλὰς εἰς πολλὰ μέρη διῄρητο, Ἀθηναίων πολεμούντων πρὸς τοὺς προειρημένους καὶ Θηβαίων πρὸς Φωκέας καὶ Λακεδαιμονίων πρὸς Πελοποννησίους. κατὰ δὲ τοῦτον τὸν καιρὸν Φίλιππος ὁ Ἀμύντου παῖς εἰς τὴν Μακεδόνων βασιλείαν παρῆλθεν. Ἀμύντᾳ γὰρ τῷ Μακεδονίας βασιλεῖ τρεῖς ἐγένοντο παῖδες ἐξ Εὐρυδίκης τῆς Ἰλλυρίδος, Ἀλέξανδρος, Περδίκκας, Φίλιππος. τούτων ὁ μὲν πρεσβύτατος Ἀλέξανδρος δολοφονηθεὶς ἐτελεύτησεν, ὁ δὲ Περδίκκας πρὸς Ἰλλυριοὺς μαχόμενος· Φίλιππος δὲ ὁ νεώτατος ἐτύγχανε μὲν ἐν Θήβαις ὁμηρεύων, ὡς δὲ ἐπύθετο τὸν Περδίκκου θάνατον, ὑπεξελθὼν λάθρα καὶ ὀξέως εἰς Μακεδονίαν ἀφικόμενος κατέσχε τὴν ἀρχήν. Ἀθηναῖοι δ' ἄρ' ἕτερόν τινα, γένους μὲν ὄντα τοῦ βασιλικοῦ, φυγάδα δὲ ἐκ Μακεδονίας, ἐπὶ βασιλείαν κατῆγον μετὰ πολλοῦ πλήθους στρατιωτῶν. τούτοις ὁ Φίλιππος ἐπιθέμενος ἐνίκησε μάχῃ καὶ ὅσους συνέλαβεν αἰχμαλώτους τῶν Ἀθηναίων, ἀφῆκεν ἄνευ λύτρων, οὐ κατ' εὔνοιαν τῆς πόλεως οὐδὲ δι' ἐπιείκειαν τρόπου.

## ΠΕΡΙ ΤΩΝ ΜΕΡΩΝ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ. 6

Τῆς ῥητορικῆς μέρη τρία, ἐπιδεικτικὸν, δικανικὸν, συμβουλευτικόν. τοῖν μὲν οὖν δυοῖν ἄκρος ἀγωνιστὴς γέγονε, τοῦ τε δικανικοῦ καὶ τοῦ συμβουλευτικοῦ· ἐπιδεικτικοὺς δὲ οὐκ ἔχομεν αὐτοῦ λόγους. τοὺς γὰρ φερομένους οὐ πιστευτέον εἶναι Δημοσθένους, τὸν ἐπιτάφιον καὶ τὸν ἐρωτικόν· πολὺ γὰρ τῆς ἐκείνου δυνάμεως ἀπολείπονται. καὶ οὐχ ἡμετέραν γνώμην λέγομεν, ἀλλὰ καὶ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ τοῦτο συνδοκεῖ. ὅτι μὲν γὰρ εἶπεν ἐπιτάφιον λόγον Δημο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθένης ὡμολόγηται· οὐ μὴν τοῦτον εἰκὸς εἶναι τὸν ὑπ' ἐκείνου ῥηθέντα, πάνυ φαύλως καὶ ἀσθενῶς ἔχοντα. τῶν δὲ συμβουλευτικῶν αὐτοῦ λόγων οἱ μὲν αὐτὸ τοῦτο ἔχουσιν ἐπίγραμμα, συμβουλευτικοὶ, οἱ δὲ οὐδὲν μὲν ἧττόν εἰσι συμβουλευτικοὶ, Φιλιππικοὶ δὲ ἐπιγράφονται, ἐκ τοῦ περὶ τῶν τοῦ Φιλίππου πραγμάτων εἰρῆσθαι τὴν κλῆσιν λαχόντες. καὶ τῶν Φιλιππικῶν ἕκαστος ἰδίαν τινὰ ἐπιγραφὴν ἔχει κατὰ τὴν τῶν πραγμάτων ἑκάστων ἰδιότητα.

---

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

I.

# ΟΛΥΝΘΙΑΚΟΣ Α

*ΛΙΒΑΝΙΟΥ ΥΠΟΘΕΣΙΣ.* Ὄλυνθος ἦν πόλις ἐπὶ Θρᾴκης, Ἑλληνικὸν δὲ ταυτῃ τῶν ἐνοικουντων τὸ γένος, ἀπὸ Χαλκίδος τῆς ἐν Εὐβοίᾳ· ἡ δὲ Χαλκὶς Ἀθηναίων ἄποικος. πολλοὶ δὲ πόλεμοι καὶ ἔνδοξοι τῆς Ὀλύνθου· Ἀθηναίοις τε 7
γὰρ ἐπολέμησεν ἄρχουσι τῶν Ἑλλήνων τὸ παλαιὸν καὶ αὖθις Λακεδαιμονίοις, χρόνῳ τε εἰς δύναμιν προῆλθε μεγάλην καὶ τῶν συγγενῶν πόλεων ἐπῆρχεν· ἦν γὰρ ἐπὶ Θρᾴκης πολύ τι γένος Χαλκιδικόν. Φιλίππῳ δὲ τῷ Μακεδόνων βασιλεῖ συμμαχίαν οἱ Ὀλύνθιοι ποιησάμενοι, καὶ πολεμοῦντες μετ' αὐτοῦ πρὸς Ἀθηναίους τὸ κατ' ἀρχάς, καὶ τοῦτο μὲν Ἀνθεμοῦντα παρὰ τοῦ Μακεδόνος εἰληφότες, πόλιν ἀμφισβητήσιμον Μακεδόσι καὶ Ὀλυνθίοις, τοῦτο δὲ Ποτίδαιαν, ἣν Ἀθηναίων ἐχόντων ἐκπολιορκήσας ὁ Φίλιππος Ὀλυνθίοις παρέδωκεν, ὕστερον ὑποπτεύειν ἤρξαντο τὸν βασιλέα, ὁρῶντες αὐτοῦ ταχεῖαν καὶ πολλὴν τὴν αὔξησιν, οὐ πιστὴν δὲ τὴν γνώμην. ἀποδημοῦντα δὲ τηρήσαντες αὐτόν, πέμψαντες πρέσβεις πρὸς Ἀθηναίους κατελύσαντο τὸν πρὸς αὐτοὺς πόλεμον, ποιοῦντες τοῦτο παρὰ τὰς συνθήκας τὰς πρὸς Φίλιππον· συνετέθειντο γὰρ καὶ κοινῇ πολεμεῖν πρὸς Ἀθηναίους, κἂν ἄλλο τι δόξῃ, κοινῇ σπείσασθαι. ὁ δὲ Φίλιππος πάλαι μὲν προφάσεως ἐπ' αὐτοὺς δεόμενος, τότε δὲ ταύτην λαβών, ὡς τὰς συνθήκας παραβεβηκόσι καὶ πρὸς τοὺς ἐχθροὺς τοὺς ἑαυτοῦ φιλίαν ἐσπεισμένοις πόλεμον ἐπήνεγκεν. οἱ δὲ πεπόμφασι πρέσβεις εἰς Ἀθήνας περὶ βοηθείας,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὡς ὁ Δημοσθένης συναγορεύει, βοηθεῖν κελεύων τοῖς Ὀλυνθίοις. καί φησι τὴν Ὀλυνθίων σωτηρίαν ἀσφάλειαν εἶναι τῶν Ἀθηναίων· σωζομένων γὰρ τῶν Ὀλυνθίων οὐδέποτε ἥξειν εἰς τὴν Ἀττικὴν Φίλιππον, ἀλλὰ τοῖς Ἀθηναίοις ἐξουσίαν ἔσεσθαι πλεῖν ἐπὶ τὴν Μακεδονίαν κἀκεῖ ποιεῖσθαι τὸν 8
πόλεμον· εἰ δὲ ὑπὸ Φιλίππῳ γένοιτο ἡ πόλις αὕτη, ἀνεῖσθαι τὴν ἐπὶ τὰς Ἀθήνας ὁδὸν τῷ βασιλεῖ. φησὶ δὲ δύσμαχον εἶναι τον Φίλιππον οὐχ ὡς ὑπείληπται, θαρσύνων ἐπ' αὐτὸν τοὺς Ἀθηναίους.

Διείλεκται δὲ καὶ περὶ τῶν δημοσίων χρημάτων, συμβουλεύων ποιῆσαι αὐτὰ στρατιωτικὰ ἀντὶ θεωρικῶν. καὶ τὸ ἔθος οὐ πρόδηλον ὄν, ᾧ ἐχρῶντο οἱ Ἀθηναῖοι, ἀνάγκη σαφηνίσαι. οὐκ ὄντος τὸ παλαιὸν θεάτρου λιθίνου παρ' αὐτοῖς, ἀλλὰ ξυλίνων συμπηγνυμένων ἰκρίων, καὶ πάντων καταλαμβάνειν τόπον σπευδόντων, πληγαί τε ἐγίνοντο καί που καὶ τραύματα. τοῦτο κωλῦσαι βουληθέντες οἱ προεστῶτες τῶν Ἀθηναίων ὠνητοὺς ἐποιήσαντο τοὺς τόπους, καὶ ἕκαστον ἔδει διδόναι δύο ὀβολοὺς καὶ καταβαλόντα θέαν ἔχειν. ἵνα δὲ μὴ δοκῶσιν οἱ πένητες λυπεῖσθαι τῷ ἀναλώματι, ἐκ τοῦ δημοσίου λαμβάνειν ἕκαστον ἐτάχθη τοὺς δύο ὀβολούς. ἐντεῦθεν μὲν οὖν τὸ ἔθος ἤρξατο, προῆλθε δὲ εἰς τοῦτο ὥστε οὐκ εἰς τοὺς τόπους μόνον ἐλάμβανον, ἀλλὰ ἁπλῶς πάντα τὰ δημόσια χρήματα διενέμοντο. ὅθεν καὶ περὶ τὰς στρατείας ὀκνηροὶ κατέστησαν. πάλαι μὲν γὰρ στρατευόμενοι μισθὸν παρὰ τῆς πόλεως ἐλάμβανον, τότε δὲ ἐν ταῖς θεωρίαις καὶ ταῖς ἑορταῖς οἴκοι μένοντες διενέμοντο τὰ χρήματα οὐκέτι οὖν ἤθελον ἐξιέναι καὶ κινδυνεύειν, ἀλλὰ καὶ νόμον ἔθεντο περὶ τῶν θεωρικῶν τούτων χρημάτων, θάνατον ἀπειλοῦντα τῷ γράψαντι μετατεθῆναι ταῦτα εἰς τὴν ἀρχαίαν τάξιν καὶ γενέσθαι στρατιωτικά. διὸ ὁ Δημοσθένης εὐλαβῶς ἅπτεται τῆς περὶ τούτου συμβουλῆς, καὶ ὑπερωτήσας ἑαυτὸν ὅτι „σὺ γράφεις ταῦτα εἶναι στρατιωτικά;“ 9
ἐπιφέρει „μὰ Δί' οὐκ ἔγωγε.“ τοσαῦτα μὲν περὶ τῶν θεωρικῶν.

Διείλεκται δὲ ὁ ῥήτωρ καὶ περὶ πολιτικῆς δυνάμεως, ἀξιῶν αὐτοὺς στρατεύεσθαι καὶ μὴ διὰ ξένων, ὥσπερ εἰώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θεσαν, ποιεῖσθαι τὴν βοήθειαν· τοῦτο γὰρ αἴτιον εἶναί φησι τοῦ τὰ πράγματα ἀπόλλυσθαι.

---

Ἀντὶ πολλῶν ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, χρημάτων ὑμᾶς ἑλέσθαι νομίζω, εἰ φανερὸν γένοιτο τὸ μέλλον συνοίσειν τῇ πόλει περὶ ὧν νυνὶ σκοπεῖτε. ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει, προσήκει προθύμως ἐθέλειν ἀκούειν τῶν βουλομένων συμβουλεύειν· οὐ γὰρ μόνον εἴ τι χρήσιμον ἐσκεμμένος ἥκει τις, τοῦτ' ἂν ἀκούσαντες λάβοιτε, ἀλλὰ καὶ τῆς ὑμετέρας τύχης ὑπολαμβάνω πολλὰ τῶν δεόντων ἐκ τοῦ παραχρῆμα ἐνίοις ἂν ἐπελθεῖν εἰπεῖν, ὥστ' ἐξ ἁπάντων ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.

2 Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, μόνον οὐχὶ λέγει φωνὴν ἀφιεὶς ὅτι τῶν πραγμάτων ὑμῖν ἐκείνων αὐτοῖς ἀντιληπτέον ἐστίν, εἴπερ ὑπὲρ σωτηρίας αὐτῶν φροντίζετε· ἡμεῖς δ' οὐκ οἶδ' ὅντινά μοι δοκοῦμεν ἔχειν τρόπον πρὸς αὐτά. ἔστι δὴ τά γ' ἐμοὶ δοκοῦντα ψηφίσασθαι μὲν ἤδη τὴν βοήθειαν, καὶ παρασκευάσασθαι τὴν ταχίστην, ὅπως ἐνθένδε βοηθήσετε καὶ μὴ πάθητε ταὐτὸν ὅπερ καὶ πρότερον, πρεσβείαν δὲ πέμπειν, ἥτις ταῦτ' ἐρεῖ καὶ παρέσται τοῖς πράγμα-
3 σιν· ὡς ἔστι μάλιστα τοῦτο δέος, μὴ πανοῦργος ὢν καὶ 10
δεινὸς ἄνθρωπος πράγμασι χρῆσθαι, τὰ μὲν εἴκων, ἡνίκ' ἂν τύχῃ, τὰ δ' ἀπειλῶν (ἀξιόπιστος δ' ἂν εἰκότως φαίνοιτο), τὰ δ' ἡμᾶς διαβάλλων καὶ τὴν ἀπουσίαν τὴν ἡμετέραν τρέψῃ τε καὶ παρασπάσηταί τι τῶν ὅλων
4 πραγμάτων. οὐ μὴν ἀλλ' ἐπιεικῶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὃ δυσμαχώτατόν ἐστι τῶν Φιλίππου πραγμάτων, καὶ βέλτιστον ὑμῖν· τὸ γὰρ εἶναι πάντων ἐκεῖνον ἕνα ὄντα κύριον καὶ ῥητῶν καὶ ἀπορρήτων καὶ ἅμα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

στρατηγὸν καὶ δεσπότην καὶ ταμίαν, καὶ πανταχοῦ αὐ-
τὸν παρεῖναι τῷ στρατεύματι, πρὸς μὲν τὸ τὰ τοῦ πο-
λέμου ταχὺ καὶ κατὰ καιρὸν πράττεσθαι πολλῷ προέ-
χει, πρὸς δὲ τὰς καταλλαγάς, ἃς ἂν ἐκεῖνος ποιήσαιτο
5 ἄσμενος πρὸς Ὀλυνθίους, ἐναντίως ἔχει. δῆλον γὰρ
ἐστι τοῖς Ὀλυνθίοις ὅτι νῦν οὐ περὶ δόξης οὐδ' ὑπὲρ
μέρους χώρας πολεμοῦσιν, ἀλλ' ἀναστάσεως καὶ ἀν-
δραποδισμοῦ τῆς πατρίδος, καὶ ἴσασιν ἅ τ' Ἀμφιπολι-
τῶν ἐποίησε τοὺς παραδόντας αὐτῷ τὴν πόλιν καὶ Πυ-
δναίων τοὺς ὑποδεξαμένους· καὶ ὅλως ἄπιστον, οἶμαι,
ταῖς πολιτείαις ἡ τυραννίς, ἄλλως τε κἂν ὅμορον χώραν
6 ἔχωσι. ταῦτ' οὖν ἐγνωκότας ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖ-
οι, καὶ τἄλλ' ἃ προσήκει πάντα ἐνθυμουμένους φημὶ
δεῖν ἐθελῆσαι καὶ παροξυνθῆναι καὶ τῷ πολέμῳ προσ-
έχειν, εἴπερ ποτέ, καὶ νῦν, χρήματα εἰσφέροντας προ-
θύμως καὶ αὐτοὺς ἐξιόντας καὶ μηδὲν ἐλλείποντας.
οὐδὲ γὰρ λόγος οὐδὲ σκῆψις ἔθ' ὑμῖν τοῦ μὴ τὰ δέοντα
7 ποιεῖν ἐθέλειν ὑπολείπεται. νυνὶ γάρ, ὃ πάντες ἐθρύ-
λουν τέως, Ὀλυνθίους ἐκπολεμῆσαι δεῖν Φιλίππῳ, γέ- 11
γονεν αὐτόματον, καὶ ταῦθ' ὡς ἂν ὑμῖν μάλιστα συμ-
φέροι. εἰ μὲν γὰρ ὑφ' ὑμῶν πεισθέντες ἀνείλοντο τὸν
πόλεμον, σφαλεροὶ σύμμαχοι καὶ μέχρι του ταῦτ' ἂν
ἐγνωκότες ἦσαν ἴσως· ἐπειδὴ δ' ἐκ τῶν πρὸς αὐτοὺς
ἐγκλημάτων μισοῦσι, βεβαίαν εἰκὸς τὴν ἔχθραν αὐ-
8 τοὺς ὑπὲρ ὧν φοβοῦνται καὶ πεπόνθασιν ἔχειν. οὐ δεῖ
δὴ τοιοῦτον, ὦ ἄνδρες Ἀθηναῖοι, παραπεπτωκότα και-
ρὸν ἀφεῖναι, οὐδὲ παθεῖν ταὐτὸ ὅπερ ἤδη πολλάκις
πρότερον πεπόνθατε. εἰ γάρ, ὅθ' ἥκομεν Εὐβοεῦσι
βεβοηθηκότες καὶ παρῆσαν Ἀμφιπολιτῶν Ἱέραξ καὶ
Στρατοκλῆς ἐπὶ τουτὶ τὸ βῆμα, κελεύοντες ἡμᾶς πλεῖν
καὶ παραλαμβάνειν τὴν πόλιν, τὴν αὐτὴν παρειχόμεθ'
ἡμεῖς ὑπὲρ ἡμῶν αὐτῶν προθυμίαν ἥνπερ ὑπὲρ τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*Εὐβοέων σωτηρίας, εἴχετ' ἂν Ἀμφίπολιν τότε καὶ πάν-
των τῶν μετὰ ταῦτ' ἂν ἦτε ἀπηλλαγμένοι πραγμάτων.
9 καὶ πάλιν ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαί,
τἄλλα, ἵνα μὴ καθ' ἕκαστα λέγων διατρίβω, πολιορκού-
μενα ἀπηγγέλλετο, εἰ τότε τούτων ἑνὶ τῷ πρώτῳ προ-
θύμως καὶ ὡς προσῆκεν ἐβοηθήσαμεν αὐτοί, ῥᾷον καὶ
πολὺ ταπεινοτέρῳ νῦν ἂν ἐχρώμεθα τῷ Φιλίππῳ. νῦν
δὲ τὸ μὲν παρον ἀεὶ προϊέμενοι, τα δὲ μέλλοντα αὐτό-
ματ' οἰόμενοι σχήσειν καλῶς, ηὐξήσαμεν, ὦ ἄνδρες
Ἀθηναῖοι, Φίλιππον ἡμεῖς καὶ κατεστήσαμεν τηλικοῦ-
τον ἡλίκος οὐδείς πω βασιλεὺς γέγονε Μακεδονίας.
νυνὶ δὲ δὴ καιρὸς ἥκει τις, οὗτος ὁ τῶν Ὀλυνθίων,
αὐτόματος τῇ πόλει, ὃς οὐδενός ἐστιν ἐλάττων τῶν
10 προτέρων ἐκείνων. καὶ ἔμοιγε δοκεῖ τις ἄν, ὦ ἄνδρες
Ἀθηναῖοι, δίκαιος λογιστὴς τῶν παρὰ τῶν θεῶν ἡμῖν 12
ὑπηργμένων καταστάς, καίπερ οὐκ ἐχόντων ὡς δεῖ
πολλῶν, ὅμως μεγάλην ἂν ἔχειν αὐτοῖς χάριν, εἰκότως·
τὸ μὲν γὰρ πολλὰ ἀπολωλεκέναι κατὰ τὸν πόλεμον τῆς
ἡμετέρας ἀμελείας ἄν τις θείη δικαίως, τὸ δὲ μήτε πά-
λαι τοῦτο πεπονθέναι πεφηνέναι τέ τινα ἡμῖν συμμα-
χίαν τούτων ἀντίρροπον, ἂν βουλώμεθα χρῆσθαι, τῆς
11 παρ' ἐκείνων εὐνοίας εὐεργέτημ' ἂν ἔγωγε θείην. ἀλλ',
οἶμαι, παρόμοιόν ἐστιν ὅπερ καὶ περὶ τῆς τῶν χρη-
μάτων κτήσεως· ἂν μὲν γὰρ ὅσα ἄν τις λάβῃ καὶ σώ-
σῃ, μεγάλην ἔχει τῇ τύχῃ τὴν χάριν, ἂν δ' ἀναλώσας
λάθῃ, συνανήλωσε καὶ τὸ μεμνῆσθαι τὴν χάριν. καὶ
περὶ τῶν πραγμάτων οὕτως οἱ μὴ χρησάμενοι τοῖς και-
ροῖς ὀρθῶς, οὐδ' εἰ συνέβη τι παρὰ τῶν θεῶν χρηστόν,
μνημονεύουσι· πρὸς γὰρ τὸ τελευταῖον ἐκβὰν ἕκαστον
τῶν προϋπαρξάντων [ὡς τὰ πολλὰ] κρίνεται. διὸ καὶ
σφόδρα δεῖ τῶν λοιπῶν ἡμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι,
φροντίσαι, ἵνα ταῦτ' ἐπανορθωσάμενοι τὴν ἐπὶ τοῖς*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

12 πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα. εἰ δὲ προησό-
μεθα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τούτους τοὺς ἀνθρώ-
πους, εἶτ' Ὄλυνθον ἐκεῖνος καταστρέψεται, φρασάτω
τις ἐμοὶ τί τὸ κωλῦον ἔτ' αὐτὸν ἔσται βαδίζειν ὅποι
βούλεται. ἆρα λογίζεταί τις ὑμῶν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, καὶ θεωρεῖ τὸν τρόπον δι' ὃν μέγας γέγονεν
ἀσθενὴς ὢν τὸ κατ' ἀρχὰς Φίλιππος; τὸ πρῶτον Ἀμ-
φίπολιν λαβών, μετὰ ταῦτα Πύδναν, πάλιν Ποτίδαιαν,
13 Μεθώνην αὖθις, εἶτα Θετταλίας ἐπέβη· μετὰ ταῦτα
Φεράς, Παγασάς, Μαγνησίαν, πάνθ' ὃν ἐβούλετο εὐ-
τρεπίσας τρόπον ᾤχετ' εἰς Θρᾴκην· εἶτ' ἐκεῖ τοὺς μὲν 13
ἐκβαλών, τοὺς δὲ καταστήσας τῶν βασιλέων ἠσθένησε·
πάλιν ῥᾴσας οὐκ ἐπὶ τὸ ῥᾳθυμεῖν ἀπέκλινεν, ἀλλ' εὐ-
θὺς Ὀλυνθίοις ἐπεχείρησεν. τὰς δ' ἐπ' Ἰλλυριοὺς καὶ
Παίονας αὐτοῦ καὶ πρὸς Ἀρύββαν καὶ ὅποι τις ἂν εἴποι
παραλείπω στρατείας.

14 Τί οὖν, τις ἂν εἴποι, ταῦτα λέγεις ἡμῖν νῦν; ἵνα
γνῶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ αἴσθησθε ἀμφότερα,
καὶ τὸ προΐεσθαι καθ' ἕκαστον ἀεί τι τῶν πραγμάτων
ὡς ἀλυσιτελές, καὶ τὴν φιλοπραγμοσύνην ᾗ χρῆται καὶ
συζῇ Φίλιππος, ὑφ' ἧς οὐκ ἔστιν ὅπως ἀγαπήσας τοῖς
πεπραγμένοις ἡσυχίαν σχήσει. εἰ δ' ὁ μὲν ὡς ἀεί τι
μεῖζον τῶν ὑπαρχόντων δεῖ πράττειν ἐγνωκὼς ἔσται,
ὑμεῖς δ' ὡς οὐδενὸς ἀντιληπτέον ἐρρωμένως τῶν πρα-
γμάτων, σκοπεῖσθε εἰς τί ποτ' ἐλπὶς ταῦτα τελευτῆσαι.
15 πρὸς θεῶν, τίς οὕτως εὐήθης ἐστὶν ὑμῶν ὅστις ἀγνοεῖ
τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα, ἂν ἀμελήσωμεν;
ἀλλὰ μὴν εἰ τοῦτο γενήσεται, δέδοικα, ὦ ἄνδρες Ἀθη-
ναῖοι, μὴ τὸν αὐτὸν τρόπον ὥσπερ οἱ δανειζόμε-
νοι ῥᾳδίως ἐπὶ τοῖς μεγάλοις τόκοις μικρὸν εὐπορή-
σαντες χρόνον ὕστερον καὶ τῶν ἀρχαίων ἀπέστη-
σαν, οὕτω καὶ ἡμεῖς ἐπὶ πολλῷ φανῶμεν ἐρρᾳθυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μηκότες καὶ ἅπαντα πρὸς ἡδονὴν ζητοῦντες πολλὰ
καὶ χαλεπὰ ὧν οὐκ ἐβουλόμεθα ὕστερον εἰς ἀνάγκην
ἔλθωμεν ποιεῖν, καὶ κινδυνεύσωμεν περὶ τῶν ἐν αὐτῇ
τῇ χώρᾳ.

16 Τὸ μὲν οὖν ἐπιτιμᾶν ἴσως φήσαι τις ἂν ῥᾴδιον καὶ
παντὸς εἶναι, τὸ δ' ὑπὲρ τῶν παρόντων ὅ τι δεῖ πράτ-
τειν ἀποφαίνεσθαι, τοῦτ' εἶναι συμβούλου. ἐγὼ δ'
οὐκ ἀγνοῶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦθ', ὅτι πολλά-
κις ὑμεῖς οὐ τοὺς αἰτίους, ἀλλὰ τοὺς ὑστάτους περὶ τῶν 14
πραγμάτων εἰπόντας ἐν ὀργῇ ποιεῖσθε, ἄν τι μὴ κατὰ
γνώμην ἐκβῇ· οὐ μὴν οἶμαι δεῖν τὴν ἰδίαν ἀσφάλειαν
σκοποῦνθ' ὑποστείλασθαι περὶ ὧν ὑμῖν συμφέρειν
17 ἡγοῦμαι. φημὶ δὴ διχῇ βοηθητέον εἶναι τοῖς πράγμασιν
ὑμῖν, τῷ τε τὰς πόλεις τοῖς Ὀλυνθίοις σῴζειν καὶ τοὺς
τοῦτο ποιήσοντας στρατιώτας ἐκπέμπειν καὶ τῷ τὴν
ἐκείνου χώραν κακῶς ποιεῖν καὶ τριήρεσι καὶ στρατιώ-
ταις ἑτέροις· εἰ δὲ θατέρου τούτων ὀλιγωρήσετε, ὀκνῶ
18 μὴ μάταιος ὑμῖν ἡ στρατεία γένηται. εἴτε γὰρ ὑμῶν τὴν
ἐκείνου κακῶς ποιούντων ὑπομείνας τοῦτο Ὄλυνθον
παραστήσεται, ῥᾳδίως ἐπὶ τὴν οἰκείαν ἐλθὼν ἀμυνεῖται·
εἴτε βοηθησάντων μόνον ὑμῶν εἰς Ὄλυνθον ἀκινδύ-
νως ὁρῶν ἔχοντα τὰ οἴκοι προσκαθεδεῖται καὶ προσε-
δρεύσει τοῖς πράγμασι, περιέσται τῷ χρόνῳ τῶν πολιορ-
κουμένων. δεῖ δὴ πολλὴν καὶ διχῇ τὴν βοήθειαν εἶναι.

19 Καὶ περὶ μὲν τῆς βοηθείας ταῦτα γιγνώσκω· περὶ
δὲ χρημάτων πόρου, ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήμα-
τα ὑμῖν, ἔστιν ὅσα οὐδέσι τῶν ἄλλων ἀνθρώπων στρα-
τιωτικά· ταῦτα δ' ὑμεῖς οὕτως ὡς βούλεσθε λαμβά-
νετε. εἰ μὲν οὖν ταῦτα τοῖς στρατευομένοις ἀποδώ-
σετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου, εἰ δὲ μή, προσδεῖ,
μᾶλλον δ' ἅπαντος ἐνδεῖ τοῦ πόρου. τί οὖν, ἄν τις εἴποι,
σὺ γράφεις ταῦτ' εἶναι στρατιωτικά; μὰ Δί' οὐκ ἔγωγε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

20 ἐγὼ μὲν γὰρ ἡγοῦμαι στρατιώτας δεῖν κατασκευασθῆ-
ναι καὶ μίαν σύνταξιν εἶναι τὴν αὐτὴν τοῦ τε λαμβά-
νειν καὶ τοῦ ποιεῖν τὰ δέοντα· ὑμεῖς δὲ οὕτω πως ἄνευ
πραγμάτων λαμβάνετε εἰς τὰς ἑορτάς. ἔστι δὴ λοιπόν,
οἶμαι, πάντας εἰσφέρειν, ἂν πολλῶν δέῃ, πολλά, ἂν
ὀλίγων, ὀλίγα. δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐ-
δὲν ἔστι γενέσθαι τῶν δεόντων. λέγουσι δὲ καὶ ἄλ-
λους τινὰς ἄλλοι πόρους, ὧν ἕλεσθε ὅστις ὑμῖν συμ-
φέρειν δοκεῖ· καὶ ἕως ἐστὶ καιρός, ἀντιλάβεσθε τῶν
πραγμάτων.

21 Ἄξιον δ' ἐνθυμηθῆναι καὶ λογίσασθαι τὰ πράγμα-
τα ἐν ᾧ καθέστηκε νυνὶ τὰ Φιλίππου. οὔτε γάρ, ὡς
δοκεῖ καὶ φήσειέ τις ἂν μὴ σκοπῶν ἀκριβῶς, εὐτρεπῶς
οὐδ' ὡς ἂν κάλλιστ' αὐτῷ τὰ παρόντ' ἔχει, οὔτ' ἂν
ἐξήνεγκε τὸν πόλεμόν ποτε τοῦτον ἐκεῖνος, εἰ πολεμεῖν
ᾠήθη δεήσειν αὐτόν, ἀλλ' ὡς ἐπιὼν ἅπαντα τότε ἤλ-
πιζε τὰ πράγματα ἀναιρήσεσθαι, κᾆτα διέψευσται.
τοῦτο δὴ πρῶτον αὐτὸν ταράττει παρὰ γνώμην γεγο-
νὸς καὶ πολλὴν ἀθυμίαν αὐτῷ παρέχει, εἶτα τὰ τῶν
22 Θετταλῶν. ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει καὶ
ἀεὶ πᾶσιν ἀνθρώποις, κομιδῇ δ', ὥσπερ ἦν, καὶ ἔστι
νῦν τούτῳ. καὶ γὰρ Παγασὰς ἀπαιτεῖν αὐτόν εἰσιν
ἐψηφισμένοι καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν.
ἤκουον δ' ἔγωγέ τινων ὡς οὐδὲ τοὺς λιμένας καὶ τὰς
ἀγορὰς ἔτι δώσοιεν αὐτῷ καρποῦσθαι· τὰ γὰρ κοινὰ
τὰ Θετταλῶν ἀπὸ τούτων δέοι διοικεῖν, οὐ Φίλιππον
λαμβάνειν. εἰ δὲ τούτων ἀποστερηθήσεται τῶν χρη-
μάτων, εἰς στενὸν κομιδῇ τὰ τῆς τροφῆς τοῖς ξένοις
23 αὐτῷ καταστήσεται. ἀλλὰ μὴν τόν γε Παίονα καὶ τὸν
Ἰλλυριὸν καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ
αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους ἢ δούλους εἶναι
καὶ γὰρ ἀήθεις τοῦ κατακούειν τινός εἰσι, καὶ ἄνθρω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πος ὑβριστής, ὥς φασιν. καὶ μὰ Δί᾽ οὐδὲν ἄπιστον
ἴσως· τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ 16
κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίγνεται, διόπερ πολλά-
κις δοκεῖ τὸ φυλάξαι τἀγαθὰ τοῦ κτήσασθαι χαλεπώ-
24 τερον εἶναι. δεῖ τοίνυν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν
ἀκαιρίαν τὴν ἐκείνου καιρὸν ὑμέτερον νομίσαντας ἑτοί-
μως συνάρασθαι τὰ πράγματα, καὶ πρεσβευομένους
ἐφ᾽ ἃ δεῖ καὶ στρατευομένους αὐτοὺς καὶ παροξύνον-
τας τοὺς ἄλλους ἅπαντας, λογιζομένους, εἰ Φίλιππος
λάβοι καθ᾽ ἡμῶν τοιοῦτον καιρὸν καὶ πόλεμος γένοιτο
πρὸς τῇ χώρᾳ, πῶς ἂν αὐτὸν οἴεσθε ἑτοίμως ἐφ᾽ ὑμᾶς
ἐλθεῖν. εἶτ᾽ οὐκ αἰσχύνεσθε, εἰ μηδ᾽ ἃ πάθοιτ᾽ ἄν, εἰ
δύναιτ᾽ ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες οὐ τολ-
μήσετε;

25 Ἔτι τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, μηδὲ τοῦθ᾽ ὑμᾶς
λανθανέτω, ὅτι νῦν αἵρεσίς ἐστιν ὑμῖν πότερ᾽ ὑμᾶς
ἐκεῖ χρὴ πολεμεῖν ἢ παρ᾽ ὑμῖν ἐκεῖνον. ἐὰν μὲν γὰρ
ἀντέχῃ τὰ τῶν Ὀλυνθίων, ὑμεῖς ἐκεῖ πολεμήσετε καὶ
τὴν ἐκείνου κακῶς ποιήσετε, τὴν ὑπάρχουσαν καὶ τὴν
οἰκείαν ταύτην ἀδεῶς καρπούμενοι· ἂν δ᾽ ἐκεῖνα Φί-
26 λιππος λάβῃ, τίς αὐτὸν κωλύσει δεῦρο βαδίζειν; Θη-
βαῖοι; οἵ, εἰ μὴ λίαν πικρὸν εἰπεῖν, καὶ συνεισβαλοῦσιν
ἑτοίμως. ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τ᾽ ὄντες
φυλάττειν, ἐὰν μὴ βοηθήσηθ᾽ ὑμεῖς. ἢ ἄλλος τις; ἀλλ᾽,
ὦ τᾶν, οὐχὶ βουλήσεται. τῶν ἀτοπωτάτων μέντἂν εἴη,
εἰ ἃ νῦν ἄνοιαν ὀφλισκάνων ὅμως ἐκλαλεῖ, ταῦτα δυ-
27 νηθεὶς μὴ πράξει. ἀλλὰ μὴν ἡλίκα γ᾽ ἐστὶ τὰ διάφορα
ἐνθάδ᾽ ἢ ᾽κεῖ πολεμεῖν, οὐδὲ λόγου προσδεῖν ἡγοῦμαι.
εἰ γὰρ ὑμᾶς δεήσειεν αὐτοὺς τριάκοντα ἡμέρας μόνας
ἔξω γενέσθαι καὶ ὅσα ἀνάγκη στρατοπέδῳ χρωμένους
τῶν ἐκ τῆς χώρας λαμβάνειν, μηδενὸς ὄντος ἐν αὐτῇ 17
πολεμίου λέγω, πλέον ἂν οἶμαι ζημιωθῆναι τοὺς γεωρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γοῦντας ὑμῶν ἢ ὅσα εἰς ἅπαντα τὸν πρὸ τοῦ πόλεμον δεδαπάνησθε. εἰ δὲ δὴ πόλεμός τις ἥξει, πόσα χρὴ νομίσαι ζημιώσεσθαι; καὶ πρόσεσθ' ἡ ὕβρις καὶ ἔτι ἡ τῶν πραγμάτων αἰσχύνη, οὐδεμιᾶς ἐλάττων ζημία τοῖς γε σώφροσιν.

28 Πάντα δὴ ταῦτα δεῖ συνιδόντας ἅπαντας βοηθεῖν καὶ ἀπωθεῖν ἐκεῖσε τὸν πόλεμον, τοὺς μὲν εὐπόρους, ἵν' ὑπὲρ τῶν πολλῶν ὧν καλῶς ποιοῦντες ἔχουσι μικρὰ ἀναλίσκοντες τὰ λοιπὰ καρπῶνται ἀδεῶς, τοὺς δ' ἐν ἡλικίᾳ, ἵνα τὴν τοῦ πολεμεῖν ἐμπειρίαν ἐν τῇ Φιλίππου χώρᾳ κτησάμενοι φοβεροὶ φύλακες τῆς οἰκείας ἀκεραίου γένωνται, τοὺς δὲ λέγοντας, ἵν' αἱ τῶν πεπολιτευμένων αὐτοῖς εὔθυναι ῥᾴδιαι γένωνται, ὡς ὁποῖ' ἄττ' ἂν ὑμᾶς περιστῇ τὰ πράγματα, τοιοῦτοι κριταὶ καὶ τῶν πεπραγμένων αὐτοῖς ἔσεσθε. χρηστὰ δ' εἴη παντὸς ἕνεκα.

---

## ΟΛΥΝΘΙΑΚΟΣ Β

### ΥΠΟΘΕΣΙΣ.

Προσήκαντο μὲν τὴν πρεσβείαν τῶν Ὀλυνθίων οἱ Ἀθηναῖοι, καὶ βοηθεῖν αὐτοῖς κεκρίκασι· μέλλουσι δὲ περὶ τὴν ἔξοδον καὶ δεδιόσιν ὡς δυσπολεμήτου ὄντος τοῦ Φιλίππου, παρελθὼν ὁ Δημοσθένης πειρᾶται θαρσύνειν τὸν δῆμον, ἐπιδεικνὺς ὡς ἀσθενῆ τὰ τοῦ Μακεδόνος πράγματα. καὶ γὰρ τοῖς συμμάχοις αὐτὸν ὕποπτον εἶναί φησι καὶ κατὰ τὴν ἰδίαν δύναμιν οὐκ ἰσχυρόν· τοὺς γὰρ Μακεδόνας εἶναι ἀσθενεῖς καθ' ἑαυτούς.

---

Ἐπὶ πολλῶν μὲν ἄν τις ἰδεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, 18
δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν φανερὰν γιγνο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μένην τῇ πόλει, οὐχ ἥκιστα δ' ἐν τοῖς παροῦσι πράγμα-
σι· τὸ γὰρ τοὺς πολεμήσοντας Φιλίππῳ γεγενῆσθαι καὶ
χώραν ὅμορον καὶ δύναμίν τινα κεκτημένους, καὶ τὸ μέ-
γιστον ἁπάντων, τὴν ὑπὲρ τοῦ πολέμου γνώμην τοιαύ-
την ἔχοντας ὥστε τὰς πρὸς ἐκεῖνον διαλλαγὰς πρῶτον
μὲν ἀπίστους, εἶτα τῆς ἑαυτῶν πατρίδος νομίζειν ἀνά-
στασιν εἶναι, δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοι-
2 κεν εὐεργεσίᾳ. δεῖ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτ'
ἤδη σκοπεῖν αὐτούς, ὅπως μὴ χείρους περὶ ἡμᾶς αὐ-
τοὺς εἶναι δόξομεν τῶν ὑπαρχόντων, ὡς ἔστι τῶν αἰσ-
χρῶν, μᾶλλον δὲ τῶν αἰσχίστων, μὴ μόνον πόλεων καὶ
τόπων ὧν ἦμέν ποτε κύριοι φαίνεσθαι προϊεμένους,
ἀλλὰ καὶ τῶν ὑπὸ τῆς τύχης παρασκευασθέντων συμ-
μάχων καὶ καιρῶν.

3 Τὸ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν Φιλίππου
ῥώμην διεξιέναι καὶ διὰ τούτων τῶν λόγων προτρέπειν
τὰ δέοντα ποιεῖν ὑμᾶς οὐχὶ καλῶς ἔχειν ἡγοῦμαι. διὰ τί;
ὅτι μοι δοκεῖ πάνθ' ὅσ' ἂν εἴπῃ τις ὑπὲρ τούτων, ἐκεί-
νῳ μὲν ἔχειν φιλοτιμίαν τινά, ἡμῖν δ' οὐχὶ καλῶς πε-
πρᾶχθαι. ὁ μὲν γὰρ ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πε-
ποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι
νομίζεται· ὑμεῖς δ' ὅσῳ χεῖρον ἢ προσῆκε κέχρησθε
τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε.
4 ταῦτα μὲν οὖν παραλείψω. καὶ γὰρ εἰ μετ' ἀληθείας
τις, ὦ ἄνδρες Ἀθηναῖοι, σκοποῖτο, ἐνθένδ' ἂν αὐτὸν 19
ἴδοι μέγαν γεγενημένον, οὐχὶ παρ' αὑτοῦ. ὧν οὖν ἐκεῖ-
νος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χά-
ριν, ὑμῖν δὲ δίκην προσήκει λαβεῖν, τούτων οὐχὶ νῦν
ὁρῶ τὸν καιρὸν τοῦ λέγειν· ἃ δὲ καὶ χωρὶς τούτων ἔνι,
καὶ βέλτιόν ἐστιν ἀκηκοέναι πάντας ὑμᾶς, καὶ μεγάλα,
ὦ ἄνδρες Ἀθηναῖοι, κατ' ἐκείνου φαίνοιτ' ἂν ὀνείδη
βουλομένοις ὀρθῶς δοκιμάζειν, ταῦτ' εἰπεῖν πειράσομαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

5 Τὸ μὲν οὖν ἐπίορκον καὶ ἄπιστον καλεῖν ἄνευ τοῦ
τὰ πεπραγμένα δεικνύναι λοιδορίαν εἶναί τις ἂν φή-
σειε κενὴν δικαίως· τὸ δὲ πάνθ' ὅσα πώποτ' ἔπραξε,
διεξιόντα ἐφ' ἅπασι τούτοις ἐλέγχειν καὶ βραχέος λό-
γου συμβαίνει δεῖσθαι, καὶ δυοῖν ἕνεκα ἡγοῦμαι συμ-
φέρειν εἰρῆσθαι, τοῦ τ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρ-
χει, φαῦλον φαίνεσθαι, καὶ τοῦ τοὺς ὑπερεκπεπλη-
γμένους ὡς ἄμαχόν τινα τὸν Φίλιππον ἰδεῖν ὅτι πάντα
διεξελήλυθεν οἷς πρότερον παρακρουόμενος μέγας
ηὐξήθη, καὶ πρὸς αὐτὴν ἥκει τὴν τελευτὴν τὰ πρά-
6 γματ' αὐτῷ. ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρ' ἂν
ἡγούμην καὶ αὐτὸς φοβερὸν τὸν Φίλιππον καὶ θαυμα-
στόν, εἰ τὰ δίκαια πράττοντα ἑώρων ηὐξημένον· νῦν
δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν εὐή-
θειαν τὸ κατ' ἀρχάς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες
ἐνθένδε βουλομένους ὑμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφί-
πολιν φάσκειν παραδώσειν καὶ τὸ θρυλούμενόν ποτε
ἀπόρρητον ἐκεῖνο κατασκευάσαι, τούτῳ προσαγαγό-
7 μενον, τὴν δ' Ὀλυνθίων φιλίαν μετὰ ταῦτα τῷ Ποτί-
δαιαν οὖσαν ὑμετέραν ἐξελεῖν καὶ τοὺς μὲν πρότερον
συμμάχους ὑμᾶς ἀδικῆσαι, παραδοῦναι δ' ἐκείνοις,
Θετταλοὺς δὲ νῦν τὰ τελευταῖα τῷ Μαγνησίαν παρα-
δώσειν ὑποσχέσθαι καὶ τὸν Φωκικὸν πόλεμον πολεμή-
σειν ὑπὲρ αὐτῶν ἀναδέξασθαι. ὅλως δ' οὐδεὶς ἔστιν
ὅντιν' οὐ πεφενάκικεν ἐκεῖνος τῶν αὐτῷ χρησαμένων·
τὴν γὰρ ἑκάστων ἄνοιαν ἀεὶ τῶν ἀγνοούντων αὐτὸν
8 ἐξαπατῶν καὶ προσλαμβάνων οὕτως ηὐξήθη. ὥσπερ
οὖν διὰ τούτων ἤρθη μέγας, ἡνίκα ἕκαστοι συμφέρον
αὐτὸν ἑαυτοῖς ᾤοντό τι πράξειν, οὕτως ὀφείλει διὰ τῶν
αὐτῶν τούτων καὶ καθαιρεθῆναι πάλιν, ἐπειδὴ πάνθ'
ἕνεκα ἑαυτοῦ ποιῶν ἐξελήλεγκται. καιροῦ μὲν δή, ὦ
ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πράγματα· ἢ παρελθών τις ἐμοί, μᾶλλον δὲ ὑμῖν δει-
ξάτω ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω, ἢ ὡς οἱ τὰ πρῶτα
ἐξηπατημένοι τὰ λοιπὰ πιστεύσουσιν, ἢ ὡς οἱ παρὰ τὴν
αὑτῶν ἀξίαν δεδουλωμένοι Θετταλοὶ νῦν οὐκ ἂν ἐλεύ-
θεροι γένοιντο ἄσμενοι.
9 Καὶ μὴν εἴ τις ὑμῶν ταῦτα μὲν οὕτως ἔχειν ἡγεῖ-
ται, οἴεται δὲ βίᾳ καθέξειν αὐτὸν τὰ πράγματα τῷ τὰ
χωρία καὶ λιμένας καὶ τὰ τοιαῦτα προειληφέναι, οὐκ
ὀρθῶς οἴεται. ὅταν μὲν γὰρ ὑπ' εὐνοίας τὰ πράγματα
συστῇ καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τοῦ πο-
λέμου, καὶ συμπονεῖν καὶ φέρειν τὰς συμφορὰς καὶ μέ-
νειν ἐθέλουσιν ἄνθρωποι· ὅταν δ' ἐκ πλεονεξίας καὶ πο-
νηρίας τις ὥσπερ οὗτος ἰσχύσῃ, ἡ πρώτη πρόφασις καὶ
10 μικρὸν πταῖσμα ἅπαντα ἀνεχαίτισε καὶ διέλυσεν. οὐ γάρ
ἔστιν, οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικοῦντα καὶ
ἐπιορκοῦντα καὶ ψευδόμενον δύναμιν βεβαίαν κτήσα-
σθαι, ἀλλὰ τὰ τοιαῦτα εἰς μὲν ἅπαξ καὶ βραχὺν χρόνον 21
ἀντέχει, καὶ σφόδρα γε ἤνθησεν ἐπὶ ταῖς ἐλπίσιν, ἂν
τύχῃ, τῷ χρόνῳ δὲ φωρᾶται καὶ περὶ αὑτὰ καταρρεῖ.
ὥσπερ γὰρ οἰκίας, οἶμαι, καὶ πλοίου καὶ τῶν ἄλλων τῶν
τοιούτων τὰ κάτωθεν ἰσχυρότατα εἶναι δεῖ, οὕτω καὶ
τῶν πράξεων τὰς ἀρχὰς καὶ τὰς ὑποθέσεις ἀληθεῖς καὶ
δικαίας εἶναι προσήκει. τοῦτο δὲ οὐκ ἔνι νῦν ἐν τοῖς
πεπραγμένοις Φιλίππῳ.
11 Φημὶ δὴ δεῖν ὑμᾶς τοῖς μὲν Ὀλυνθίοις βοηθεῖν,
καὶ ὅπως τις λέγει κάλλιστα καὶ τάχιστα, οὕτως ἀρέσκει
μοι· πρὸς δὲ Θετταλοὺς πρεσβείαν πέμπειν, ἢ τοὺς μὲν
διδάξει ταῦτα, τοὺς δὲ παροξυνεῖ· καὶ γὰρ νῦν εἰσιν
ἐψηφισμένοι Παγασὰς ἀπαιτεῖν καὶ περὶ Μαγνησίας
12 λόγους ποιεῖσθαι. σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν
πρέσβεις, ἀλλὰ καὶ ἔργον τι δεικνύειν ἕξουσιν ἐξεληλυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θότων ἡμῶν ἀξίως τῆς πόλεως καὶ ὄντων ἐπὶ τοῖς πρά-
γμασιν, ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ πράγματα, μά-
ταιόν τι φαίνεται καὶ κενόν, μάλιστα δὲ ὁ παρὰ τῆς
ἡμετέρας πόλεως· ὅσῳ γὰρ ἑτοιμότατ' αὐτῷ δοκοῦμεν
χρῆσθαι, τοσούτῳ μᾶλλον ἀπιστοῦσι πάντες αὐτῷ.
13 πολλὴν δὴ τὴν μετάστασιν καὶ μεγάλην δεικτέον τὴν
μεταβολήν, εἰσφέροντας, ἐξιόντας, ἅπαντα ποιοῦντας
ἑτοίμως, εἴπερ τις ὑμῖν προσέξει τὸν νοῦν. κἂν ταῦτα
ἐθελήσητε ὡς προσήκει καὶ δὴ περαίνειν, οὐ μόνον, ὦ
ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ ἀσθενῶς καὶ ἀπίστως
ἔχοντα φανήσεται Φιλίππῳ, ἀλλὰ καὶ τὰ τῆς οἰκείας 22
ἀρχῆς καὶ δυνάμεως κακῶς ἔχοντα ἐξελεγχθήσεται.

14 Ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις καὶ ἀρχὴ ἐν
μὲν προσθήκης μέρει ἐστί τις οὐ μικρά, οἷον ὑπῆρξέ
ποθ' ὑμῖν ἐπὶ Τιμοθέου πρὸς Ὀλυνθίους· πάλιν αὖ
πρὸς Ποτίδαιαν Ὀλυνθίοις ἐφάνη τι τοῦτο συναμφό-
τερον· νυνὶ δὲ Θετταλοῖς στασιάζουσι καὶ τεταραγμέ-
νοις ἐπὶ τὴν τυραννικὴν οἰκίαν ἐβοήθησε· καὶ ὅποι τις
ἄν, οἶμαι, προσθῇ κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ·
αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενὴς καὶ πολλῶν κακῶν ἐστι
15 μεστή. καὶ γὰρ οὗτος ἅπασι τούτοις, οἷς ἄν τις μέγαν
αὐτὸν ἡγήσαιτο, τοῖς πολέμοις καὶ ταῖς στρατείαις, ἔτ'
ἐπισφαλεστέραν αὐτὴν ἢ ὑπῆρχε φύσει κατεσκεύακεν
αὑτῷ. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς
Φίλιππόν τε χαίρειν καὶ τοὺς ἀρχομένους, ἀλλ' ὁ μὲν
δόξης ἐπιθυμεῖ καὶ τοῦτο ἐζήλωκε, καὶ προῄρηται πράτ-
των καὶ κινδυνεύων, ἂν συμβῇ τι, παθεῖν, τὴν τοῦ
διαπράξασθαι ταῦτα ἃ μηδεὶς πώποτε ἄλλος Μακεδό-
νων βασιλεὺς δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος·
16 τοῖς δὲ τῆς μὲν φιλοτιμίας τῆς ἀπὸ τούτων οὐ μέτεστι,
κοπτόμενοι δὲ ἀεὶ ταῖς στρατείαις ταύταις ταῖς ἄνω κά-
τω λυποῦνται καὶ συνεχῶς ταλαιπωροῦσιν, οὔτ' ἐπὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς ἔργοις οὔτ' ἐπὶ τοῖς αὑτῶν ἰδίοις ἐώμενοι διατρί-
βειν, οὔθ' ὅσ' ἂν ποιήσωσιν οὕτως ὅπως ἂν δύνωνται,
ταῦτ' ἔχοντες διαθέσθαι κεκλειμένων τῶν ἐμπορίων
17 τῶν ἐν τῇ χώρᾳ διὰ τὸν πόλεμον. οἱ μὲν οὖν πολλοὶ
Μακεδόνων πῶς ἔχουσι Φιλίππῳ, ἐκ τούτων ἄν τις
σκέψαιτο οὐ χαλεπῶς· οἱ δὲ δὴ περὶ αὐτὸν ὄντες ξένοι 23
καὶ πεζέταιροι δόξαν μὲν ἔχουσιν ὡς εἰσὶ θαυμαστοὶ
καὶ συγκεκροτημένοι τὰ τοῦ πολέμου, ὡς δ' ἐγὼ τῶν
ἐν αὐτῇ τῇ χώρᾳ γεγενημένων τινὸς ἤκουον, ἀνδρὸς
οὐδαμῶς οἵου τε ψεύδεσθαι, οὐδένων εἰσὶ βελτίους.
18 εἰ μὲν γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς οἷος ἔμπειρος πολέ-
μου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπω-
θεῖν αὐτὸν ἔφη, βουλόμενον πάντα αὑτοῦ δοκεῖν εἶναι
τὰ ἔργα· πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ τὴν φιλοτιμίαν
τἀνδρὸς ἀνυπέρβλητον εἶναι· εἰ δέ τις σώφρων ἢ δί-
καιος ἄλλως τε τὴν καθ' ἡμέραν ἀκρασίαν τοῦ βίου καὶ
μέθην καὶ κορδακισμοὺς οὐ δυνάμενος φέρειν, παρεῶ-
19 σθαι καὶ ἐν οὐδενὸς εἶναι μέρει τὸν τοιοῦτον. λοιποὺς
δὴ περὶ αὐτὸν εἶναι λῃστὰς καὶ κόλακας καὶ τοιούτους
ἀνθρώπους οἵους μεθυσθέντας ὀρχεῖσθαι τοιαῦτα οἷα
ἐγὼ νῦν ὀκνῶ πρὸς ὑμᾶς ὀνομάσαι. δῆλον δ' ὅτι ταῦτ'
ἐστὶν ἀληθῆ· καὶ γὰρ οὓς ἐνθένδε πάντες ἀπήλαυνον
ὡς πολὺ τῶν θαυματοποιῶν ἀσελγεστέρους ὄντας,
Καλλίαν ἐκεῖνον τὸν δημόσιον καὶ τοιούτους ἀνθρώ-
πους, μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων
ὧν εἰς τοὺς συνόντας ποιοῦσιν ἕνεκα τοῦ γελασθῆναι,
20 τούτους ἀγαπᾷ καὶ περὶ αὑτὸν ἔχει. καίτοι ταῦτα, καὶ
εἰ μικρά τις ἡγεῖται, μεγάλα, ὦ ἄνδρες Ἀθηναῖοι, δεί-
γματα τῆς ἐκείνου γνώμης καὶ κακοδαιμονίας ἐστὶ τοῖς
εὖ φρονοῦσιν. ἀλλ', οἶμαι, νῦν μὲν ἐπισκοτεῖ τούτοις
τὸ κατορθοῦν· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι τὰ
τοιαῦτα ὀνείδη· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς αὐτοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτ' ἐξετασθήσεται. δοκεῖ δ' ἔμοιγε, ὦ ἄνδρες Ἀθη- 24
ναῖοι, δείξειν οὐκ εἰς μακράν, ἂν οἵ τε θεοὶ θέλωσι καὶ
21 ὑμεῖς βούλησθε. ὥσπερ γὰρ ἐν τοῖς σώμασιν, ἕως μὲν
ἂν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται [τῶν καθ'
ἕκαστα σαθρῶν], ἐπὰν δὲ ἀρρώστημά τι συμβῇ, πάντα
κινεῖται, κἂν ῥῆγμα κἂν στρέμμα κἂν ἄλλο τι τῶν
ὑπαρχόντων σαθρὸν ᾖ, οὕτω καὶ τῶν πόλεων καὶ τῶν
τυράννων, ἕως μὲν ἂν ἔξω πολεμῶσιν, ἀφανῆ τὰ κακὰ
τοῖς πολλοῖς ἐστιν, ἐπειδὰν δὲ ὅμορος πόλεμος συμπλα-
κῇ, πάντα ἐποίησεν ἔκδηλα.

22 Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον
εὐτυχοῦντα ὁρῶν ταύτῃ φοβερὸν προσπολεμῆσαι νο-
μίζει, σώφρονος μὲν ἀνθρώπου λογισμῷ χρῆται· με-
γάλη γὰρ ῥοπή, μᾶλλον δὲ ὅλον ἡ τύχη παρὰ πάντ'
ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα· οὐ μὴν ἀλλ' ἔγωγε,
εἴ τις αἵρεσίν μοι δοίη, τὴν τῆς ἡμετέρας πόλεως τύχην
ἂν ἑλοίμην, ἐθελόντων ἃ προσήκει ποιεῖν ὑμῶν αὐτῶν
καὶ κατὰ μικρόν, ἢ τὴν ἐκείνου· πολὺ γὰρ πλείους
ἀφορμὰς εἰς τὸ τὴν παρὰ τῶν θεῶν εὔνοιαν ἔχειν ὁρῶ
23 ὑμῖν ἐνούσας ἢ 'κείνῳ. ἀλλ', οἶμαι, καθήμεθα οὐδὲν
ποιοῦντες· οὐκ ἔνι δ' αὐτὸν ἀργοῦντα οὐδὲ τοῖς φίλοις
ἐπιτάττειν ὑπὲρ αὑτοῦ τι ποιεῖν, μή τί γε δὴ τοῖς θε-
οῖς. οὐ δὴ θαυμαστόν ἐστιν, εἰ στρατευόμενος καὶ πο-
νῶν ἐκεῖνος αὐτὸς καὶ παρὼν ἐφ' ἅπασι καὶ μηδένα
καιρὸν μηδ' ὥραν παραλείπων ἡμῶν μελλόντων καὶ
ψηφιζομένων καὶ πυνθανομένων περιγίγνεται. οὐδὲ
θαυμάζω τοῦτ' ἐγώ· τοὐναντίον γὰρ ἂν ἦν θαυμαστόν,
εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν τοῖς πολεμοῦσι προσήκει
24 τοῦ πάντα ποιοῦντος ἃ δεῖ περιῆμεν. ἀλλ' ἐκεῖνο θαυ- 25
μάζω, εἰ Λακεδαιμονίοις μέν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι,
ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων ἀντήρατε, καὶ πολλὰ
ἰδίᾳ πλεονεκτῆσαι πολλάκις ὑμῖν ἐξὸν οὐκ ἠθελήσατε,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ' ἵν' οἱ ἄλλοι τύχωσι τῶν δικαίων, τὰ ὑμέτερ' αὐ-
τῶν ἀνηλίσκετε εἰσφέροντες καὶ προεκινδυνεύετε
στρατευόμενοι, νυνὶ δ' ὀκνεῖτε ἐξιέναι καὶ μέλλετε εἰσ-
φέρειν ὑπὲρ τῶν ὑμετέρων αὐτῶν κτημάτων, καὶ τοὺς
μὲν ἄλλους σεσώκατε πολλάκις πάντας καὶ καθ' ἕνα
αὐτῶν ἕκαστον ἐν μέρει, τὰ δ' ὑμέτερ' αὐτῶν ἀπολω-
25 λεκότες κάθησθε. ταῦτα θαυμάζω, καὶ ἔτι πρὸς τού-
τοις, εἰ μηδὲ εἷς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δύναται
λογίσασθαι πόσον πολεμεῖτε χρόνον Φιλίππῳ καὶ τί
ποιούντων ὑμῶν ὁ χρόνος διελήλυθεν οὗτος. ἴστε γὰρ
δήπου τοῦθ', ὅτι μελλόντων αὐτῶν, ἑτέρους τινὰς ἐλ-
πιζόντων πράξειν, αἰτιωμένων ἀλλήλους, κρινόντων,
πάλιν ἐλπιζόντων, σχεδὸν ταὐτὰ ἅπερ νυνὶ ποιούντων
26 ἅπας ὁ χρόνος διελήλυθεν. εἶθ' οὕτως ἀγνωμόνως ἔχε-
τε, ὦ ἄνδρες Ἀθηναῖοι, ὥστε δι' ὧν ἐκ χρηστῶν φαῦλα
τὰ πράγματα τῆς πόλεως γέγονε, διὰ τούτων ἐλπίζετε
τῶν αὐτῶν πράξεων ἐκ φαύλων αὐτὰ χρηστὰ γενήσε-
σθαι; ἀλλ' οὔτ' εὔλογον οὔτ' ἔχον ἐστὶ φύσιν τοῦτό γε·
πολὺ γὰρ ῥᾷον ἔχοντας φυλάττειν ἢ κτήσασθαι πάντα
πέφυκεν. νῦν δὲ ὅ τι μὲν φυλάξομεν, οὐδέν ἐστιν ὑπὸ
τοῦ πολέμου λοιπὸν τῶν πρότερον, κτήσασθαι δὲ δεῖ
27 αὐτῶν οὖν ἡμῶν ἔργον τοῦτ' ἤδη. φημὶ δὴ δεῖν εἰσφέ-
ρειν χρήματα, αὐτοὺς ἐξιέναι προθύμως, μηδέν' αἰτιᾶ-
σθαι πρὶν ἂν τῶν πραγμάτων κρατήσητε, τηνικαῦτα
δὲ ἀπ' αὐτῶν τῶν ἔργων κρίναντας τοὺς μὲν ἀξίους 26
ἐπαίνου τιμᾶν, τοὺς δ' ἀδικοῦντας κολάζειν, τὰς προ-
φάσεις δ' ἀφελεῖν καὶ τὰ καθ' ὑμᾶς ἐλλείμματα· οὐ
γάρ ἐστι πικρῶς ἐξετάσαι τί πέπρακται τοῖς ἄλλοις, ἂν
28 μὴ παρ' ὑμῶν αὐτῶν πρῶτον ὑπάρξῃ τὰ δέοντα. τίνος
γὰρ ἕνεκα, ὦ ἄνδρες Ἀθηναῖοι, νομίζετε τοῦτον μὲν
φεύγειν τὸν πόλεμον πάντας ὅσους ἂν ἐκπέμψητε στρα-
τηγούς, ἰδίους δ' εὑρίσκειν πολέμους, εἰ δεῖ τι τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

όντων καὶ περὶ τῶν στρατηγῶν εἰπεῖν; ὅτι ἐνταῦθα μὲν ἔστι τὰ ἆθλα, ὑπὲρ ὧν ἐστιν ὁ πόλεμος, ὑμέτερα· Ἀμφίπολιν, κἂν ληφθῇ, παραχρῆμα ὑμεῖς κομιεῖσθε· οἱ δὲ κίνδυνοι τῶν ἐφεστηκότων ἴδιοι, μισθὸς δ᾽ οὐκ ἔστιν· ἐκεῖ δὲ κίνδυνοι μὲν ἐλάττους, τὰ δὲ λήμματα τῶν ἐφεστηκότων καὶ τῶν στρατιωτῶν, Λάμψακος, Σίγειον, τὰ πλοῖα ἃ συλῶσιν. ἐπ᾽ οὖν τὸ λυσιτελοῦν αὑτοῖς ἕκαστοι χωροῦσιν. ὑμεῖς δὲ, ὅταν μὲν εἰς τα πράγματα ἀποβλέψητε φαύλως ἔχοντα, τοὺς ἐφεστηκότας κρίνετε, ὅταν δὲ δόντες λόγον τὰς ἀνάγκας ἀκούσητε ταύτας, ἀφίετε. περίεστι τοίνυν ὑμῖν ἀλλήλοις ἐρίζειν καὶ διεστάναι, τοῖς μὲν ταῦτα πεπεισμένοις, τοῖς δὲ ταῦτα, τὰ κοινὰ δ᾽ ἔχειν φαύλως. πρότερον μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, εἰσεφέρετε κατὰ συμμορίας, νυνὶ δὲ πολιτεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμὼν ἑκατέρων, καὶ στρατηγὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμενοι τριακόσιοι· οἱ δ᾽ ἄλλοι προσνενέμησθε οἱ μὲν ὡς τούτους, οἱ δὲ ὡς ἐκείνους. δεῖ δὴ ταῦτα ἐπανέντας καὶ ὑμῶν αὐτῶν ἔτι καὶ νῦν γενομένους κοινὸν καὶ τὸ λέγειν καὶ τὸ βουλεύεσθαι καὶ τὸ πράττειν ποιῆσαι. εἰ δὲ τοῖς μὲν ὥσπερ ἐκ τυραννίδος ὑμῶν 27
ἐπιτάττειν ἀποδώσετε, τοῖς δ᾽ ἀναγκάζεσθαι τριηραρχεῖν, εἰσφέρειν, στρατεύεσθαι, τοῖς δὲ ψηφίζεσθαι κατὰ τούτων μόνον, ἄλλο δὲ μηδ᾽ ὁτιοῦν συμπονεῖν, οὐχὶ γενήσεται τῶν δεόντων ὑμῖν οὐδὲν ἐν καιρῷ· τὸ γὰρ ἠδικημένον ἀεὶ μέρος ἐλλείψει, εἶθ᾽ ὑμῖν τούτους κολάζειν ἀντὶ τῶν ἐχθρῶν περιέσται. λέγω δὴ κεφάλαιον, πάντας εἰσφέρειν ἀφ᾽ ὅσων ἕκαστος ἔχει τὸ ἴσον· πάντας ἐξιέναι κατὰ μέρος, ἕως ἂν ἅπαντες στρατεύσησθε· πᾶσι τοῖς παριοῦσι λόγον διδόναι, καὶ τὰ βέλτιστα ὧν ἂν ἀκούσητε αἱρεῖσθαι, μὴ ἃ ἂν ὁ δεῖνα ἢ ὁ δεῖνα εἴπῃ. κἂν ταῦτα ποιῆτε, οὐ τὸν εἰπόντα μόνον παραχρῆμα

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

ἐπαινέσεσθε, ἀλλὰ καὶ ὑμᾶς αὐτοὺς ὕστερον, βέλτιον τῶν ὅλων πραγμάτων ὑμῖν ἐχόντων.

---

## ΟΛΥΝΘΙΑΚΟΣ Γ.

### ΥΠΟΘΕΣΙΣ.

Ἔπεμψαν βοήθειαν τοῖς Ὀλυνθίοις οἱ Ἀθηναῖοι, καί τι κατορθοῦν ἔδοξαν δι᾽ αὐτῆς, καὶ ταῦτα αὐτοῖς ἀπηγγέλλετο. ὁ δὲ δῆμος περιχαρὴς, οἵ τε ῥήτορες παρακαλοῦσιν ἐπὶ τιμωρίαν Φιλίππου. δέδοικε τοίνυν ὁ Δημοσθένης μὴ θαρσήσαντες, ὡς τὰ πάντα νενικηκότες καὶ ἱκανὴν βοήθειαν πεποιημένοι τοῖς Ὀλυνθίοις, τῶν λοιπῶν ὀλιγωρήσωσι. διὰ τοῦτο παρελθὼν ἐπικόπτει τὴν ἀλαζονείαν αὐτῶν καὶ πρὸς εὐλάβειαν σώφρονα τὴν γνώμην μεθίστησι, λέγων οὐ περὶ τῆς Φιλίππου τιμωρίας νῦν αὐτοῖς εἶναι τὸν λόγον, ἀλλὰ περὶ τῆς τῶν συμμάχων σωτηρίας· οἶδε γὰρ ὅτι καὶ Ἀθη- 28
ναῖοι καὶ ἄλλοι πού τινες τοῦ μὲν μὴ τὰ οἰκεῖα προέσθαι ποιοῦνται φροντίδα, περὶ δὲ τὸ τιμωρήσασθαι τοὺς ἐναντίους ἧττον σπουδάζουσιν. ἐν δὲ τούτῳ τῷ λόγῳ καὶ τῆς περὶ τῶν θεωρικῶν χρημάτων συμβουλῆς φανερώτερον ἅπτεται, καὶ ἀξιοῖ λυθῆναι τοὺς νόμους τοὺς ἐπιτιθέντας ζημίαν τοῖς γράψασιν αὐτὰ γενέσθαι στρατιωτικὰ, ἵν᾽ ἀδεὲς ᾖ τὸ συμβουλεύειν τὰ βέλτιστα. παραινεῖ δὲ καὶ ὅλως πρὸς τὸν τῶν προγόνων ζῆλον ἀναστῆναι καὶ στρατεύεσθαι σώμασιν οἰκείοις, καὶ ἐπιτιμήσει πολλῇ κέχρηται κατὰ τοῦ δήμου τε ὡς ἐκλελυμένου καὶ τῶν δημαγωγῶν ὡς οὐκ ὀρθῶς προισταμένων τῆς πόλεως.

---

Οὐχὶ ταὐτὰ παρίσταταί μοι γιγνώσκειν, ὦ ἄνδρες Ἀθηναῖοι, ὅταν τε εἰς τὰ πράγματα ἀποβλέψω καὶ ὅταν πρὸς τοὺς λόγους οὓς ἀκούω· τοὺς μὲν γὰρ λόγους περὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τοῦ τιμωρήσασθαι Φίλιππον ὁρῶ γιγνομένους, τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα, ὥστε ὅπως μὴ πεισόμεθα αὐτοὶ πρότερον κακῶς σκέψασθαι δέον. οὐδὲν οὖν ἄλλο μοι δοκοῦσιν οἱ τὰ τοιαῦτα λέγοντες ἢ τὴν ὑπόθεσιν, περὶ ἧς βουλεύεσθε, οὐχὶ τὴν οὖσαν παρι-
2 στάντες ὑμῖν ἁμαρτάνειν. ἐγὼ δ᾽ ὅτι μέν ποτ᾽ ἐξῆν τῇ πόλει καὶ τὰ αὑτῆς ἔχειν ἀσφαλῶς καὶ Φίλιππον τιμωρήσασθαι, καὶ μάλα ἀκριβῶς οἶδα· ἐπ᾽ ἐμοῦ γάρ, οὐ πάλαι γέγονε ταῦτα ἀμφότερα· νῦν μέντοι πέπεισμαι τοῦθ᾽ ἱκανὸν προλαβεῖν ἡμῖν εἶναι τὴν πρώτην, ὅπως 29
τοὺς συμμάχους σώσομεν. ἐὰν γὰρ τοῦτο βεβαίως ὑπάρξῃ, τότε καὶ περὶ τοῦ τίνα τιμωρήσεταί τις καὶ ὃν τρόπον ἐξέσται σκοπεῖν· πρὶν δὲ τὴν ἀρχὴν ὀρθῶς ὑποθέσθαι, μάταιον ἡγοῦμαι περὶ τῆς τελευτῆς ὁντινοῦν ποιεῖσθαι λόγον.

3 Ὁ μὲν οὖν παρὼν καιρός, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ ποτέ, πολλῆς φροντίδος καὶ βουλῆς δεῖται· ἐγὼ δὲ οὐχ ὅ τι χρὴ περὶ τῶν παρόντων συμβουλεῦσαι χαλεπώτατον ἡγοῦμαι, ἀλλ᾽ ἐκεῖν᾽ ἀπορῶ, τίνα χρὴ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς ὑμᾶς περὶ αὐτῶν εἰπεῖν. πέπεισμαι γὰρ ἐξ ὧν παρὼν καὶ ἀκούων σύνοιδα τὰ πλείω τῶν πραγμάτων ὑμᾶς ἐκπεφευγέναι τῷ μὴ βούλεσθαι τὰ δέοντα ποιεῖν, οὐ τῷ μὴ συνιέναι. ἀξιῶ δὲ ὑμᾶς, ἂν μετὰ παρρησίας ποιῶμαι τοὺς λόγους, ὑπομένειν, τοῦτο θεωροῦντας εἰ τἀληθῆ λέγω καὶ διὰ τοῦτο, ἵνα τὰ λοιπὰ βελτίω γένηται· ὁρᾶτε γὰρ ὡς ἐκ τοῦ πρὸς χάριν δημηγορεῖν ἐνίους εἰς πᾶν προελήλυθε μοχθηρίας τὰ παρόντα.

4 Ἀναγκαῖον δὲ ὑπολαμβάνω μικρὰ τῶν γεγενημένων πρῶτον ὑμᾶς ὑπομνῆσαι. μέμνησθε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ᾽ ἀπηγγέλθη Φίλιππος ὑμῖν ἐν Θρᾴκῃ τρίτον ἢ τέταρτον ἔτος τουτὶ Ἡραῖον τεῖχος πολιορκῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τότε τοίνυν μὴν μὲν ἦν μαιμακτηριών, πολλῶν δὲ λό-
γων καὶ θορύβου γιγνομένου παρ' ὑμῖν ἐψηφίσασθε
τετταράκοντα τριήρεις καθέλκειν καὶ τοὺς μέχρι πέντε
καὶ τετταράκοντα ἐτῶν αὐτοὺς ἐμβαίνειν καὶ τάλαντα
5 ἑξήκοντα εἰσφέρειν. | καὶ μετὰ ταῦτα διελθόντος τοῦ
ἐνιαυτοῦ τούτου ἑκατομβαιών, μεταγειτνιών, βοηδρο-
μιών· τούτου τοῦ μηνὸς μόλις μετὰ τὰ μυστήρια δέκα
ναῦς ἀπεστείλατε ἔχοντα κενὰς Χαρίδημον καὶ πέντε
τάλαντα ἀργυρίου. ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθε-
νῶν ἢ τεθνεώς, ἦλθε γὰρ ἀμφότερα, οὐκέτι καιρὸν οὐ-
δένα τοῦ βοηθεῖν νομίσαντες ἠφίετε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, τὸν ἀπόστολον. ἦν δ' οὗτος ὁ καιρὸς αὐ-
τός· εἰ γὰρ τότε ἐκεῖσε ἐβοηθήσαμεν, ὥσπερ ἐψηφι-
σάμεθα, προθύμως, οὐκ ἂν ἠνώχλει νῦν ἡμῖν ὁ Φίλιπ-
πος σωθείς.
6 Τὰ μὲν δὴ τότε πραχθέντα οὐκ ἂν ἄλλως ἔχοι· νῦν
δ' ἑτέρου πολέμου καιρὸς ἥκει τις, δι' ὃν καὶ περὶ τού-
των ἐμνήσθην, ἵνα μὴ ταὐτὰ πάθητε. τί δὴ χρησόμε-
θα, ὦ ἄνδρες Ἀθηναῖοι, τούτῳ; εἰ γὰρ μὴ βοηθήσετε
παντὶ σθένει κατὰ τὸ δυνατόν, θεάσασθε ὃν τρόπον
7 ὑμεῖς ἐστρατηγηκότες πάντα ἔσεσθε ὑπὲρ Φιλίππου.
ὑπῆρχον Ὀλύνθιοι δύναμίν τινα κεκτημένοι, καὶ διέ-
κειθ' οὕτω τὰ πράγματα· οὔτε Φίλιππος ἐθάρρει τού-
τους οὔθ' οὗτοι Φίλιππον. ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι
πρὸς ἡμᾶς εἰρήνην· ἦν τοῦτο ὥσπερ ἐμπόδισμά τι τῷ
Φιλίππῳ καὶ δυσχερές, πόλιν μεγάλην ἐφορμεῖν τοῖς
ἑαυτοῦ καιροῖς διηλλαγμένην πρὸς ἡμᾶς· ἐκπολεμῆσαι
δεῖν ᾠόμεθα τοὺς ἀνθρώπους ἐκ παντὸς τρόπου· καὶ
ὃ πάντες ἐθρύλουν τέως, τοῦτο πέπρακται νυνὶ ὁπωσ-
8 δήποτε. τί οὖν ὑπόλοιπον, ὦ ἄνδρες Ἀθηναῖοι, πλὴν
βοηθεῖν ἐρρωμένως καὶ προθύμως; ἐγὼ μὲν οὐχ ὁρῶ·
χωρὶς γὰρ τῆς περιστάσης ἂν ἡμᾶς αἰσχύνης, εἰ καθ-

φείμεθα τι τῶν πραγμάτων, οὐδὲ τὸν φόβον, ὦ ἄνδρες Ἀθηναῖοι, μικρὸν ὁρῶ τὸν τῶν μετὰ ταῦτα, ἐχόντων ἐν ὡς ἔχουσι Θηβαίων ἡμῖν, ἀπειρηκότων δὲ χρήμασι ωκέων, μηδενὸς δ' ἐμποδὼν ὄντος Φιλίππῳ τὰ αρόντα καταστρεψαμένῳ πρὸς ταῦτα ἐπικλῖναι τὰ ράγματα. ἀλλὰ μὴν εἴ τις ὑμῶν εἰς τοῦτο ἀναβάλ- 31
εται ποιήσειν τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλεται τὰ εινά, ἐξὸν ἀκούειν ἄλλοθι γιγνόμενα, καὶ βοηθοὺς αυτῷ ζητεῖν, ἐξὸν νῦν ἑτέροις αὐτὸν βοηθεῖν· ὅτι γὰρ ς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα ροώμεθα, σχεδὸν ἴσμεν ἅπαντες δήπου.

Ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, εἴποι τις ἄν, πάντες νώκαμεν, καὶ βοηθήσομεν· τὸ δὲ ὅπως, τοῦτο λέγε. ὴ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, θαυμάσητε, ἂν παράοξον εἴπω τι τοῖς πολλοῖς. νομοθέτας καθίσατε. ἐν ε τούτοις τοῖς νομοθέταις μὴ θῆσθε νόμον μηδένα ἰσὶ γὰρ ἱκανοὶ ὑμῖν), ἀλλὰ τοὺς εἰς τὸ παρὸν βλάτοντας ὑμᾶς λύσατε, λέγω δὲ τοὺς περὶ τῶν θεωρικῶν, αφῶς οὑτωσί, καὶ τοὺς περὶ τῶν στρατευομένων ἐνίυς, ὧν οἱ μὲν τὰ στρατιωτικὰ τοῖς οἴκοι μένουσι διαέμουσι θεωρικά, οἱ δὲ τοὺς ἀτακτοῦντας ἀθῴους καθτᾶσιν, εἶτα καὶ τοὺς τὰ δέοντα ποιεῖν βουλομένους θυμοτέρους ποιοῦσιν. ἐπειδὰν δὲ ταῦτα λύσητε καὶ ὴν τοῦ τὰ βέλτιστα λέγειν ὁδὸν παράσχητε ἀσφαλῆ, ηνικαῦτα τὸν γράψοντα ἃ πάντες ἴστε ὅτι συμφέρει τεῖτε. πρὶν δὲ ταῦτα πρᾶξαι, μὴ σκοπεῖτε τίς εἰπὼν βέλτιστα ὑπὲρ ὑμῶν ὑφ' ὑμῶν ἀπολέσθαι βουλήσεαι· οὐ γὰρ εὑρήσετε, ἄλλως τε καὶ τούτου μόνου πεγίγνεσθαι μέλλοντος, παθεῖν ἀδίκως τι κακὸν τὸν ῦτ' εἰπόντα καὶ γράψαντα, μηδὲν δὲ ὠφελῆσαι τὰ ράγματα, ἀλλὰ καὶ εἰς το λοιπὸν μᾶλλον ἔτι ἢ νῦν τὸ βέλτιστα λέγειν φοβερώτερον ποιῆσαι. καὶ λύειν

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

γε, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς νόμους δεῖ τούτους τοὺς
13 αὐτοὺς ἀξιοῦν οἵπερ καὶ τεθείκασιν· οὐ γάρ ἐστι δί-
καιον τὴν μὲν χάριν, ἣ πᾶσαν ἔβλαπτε τὴν πόλιν, τοῖς 32
τότε θεῖσιν ὑπάρχειν, τὴν δ' ἀπέχθειαν, δι' ἧς ἂν ἅπαν-
τες ἄμεινον πράξαιμεν, τῷ νῦν τά βέλτιστα εἰπόντι ζη-
μίαν γενέσθαι. πρὶν δὲ ταῦτα εὐτρεπίσαι, μηδαμῶς,
ὦ ἄνδρες Ἀθηναῖοι, μηδέν' ἀξιοῦτε τηλικοῦτον εἶναι
παρ' ὑμῖν ὥστε τοὺς νόμους τούτους παραβάντα μὴ
δοῦναι δίκην, μηδ' οὕτως ἀνόητον ὥστε εἰς προὖπτον
κακὸν αὑτὸν ἐμβαλεῖν.]

14 Οὐ μὴν οὐδ' ἐκεῖνό γ' ὑμᾶς ἀγνοεῖν δεῖ, ὦ ἄνδρες
Ἀθηναῖοι, ὅτι ψήφισμα οὐδενὸς ἄξιόν ἐστιν, ἂν μὴ
προσγένηται τὸ ποιεῖν ἐθέλειν τά γε δόξαντα προθύ-
μως ὑμᾶς. εἰ γὰρ αὐτάρκη τὰ ψηφίσματα ἦν ἢ ὑμᾶς
ἀναγκάζειν ἃ προσήκει πράττειν ἢ περὶ ὧν γραφείη
διαπράξασθαι, οὔτ' ἂν ὑμεῖς πολλὰ ψηφιζόμενοι μι-
κρά, μᾶλλον δ' οὐδὲν ἐπράττετε τούτων, οὔτε Φίλιπ-
πος τοσοῦτον ὑβρίκει χρόνον· πάλαι γὰρ ἂν ἕνεκά γε
15 ψηφισμάτων ἐδεδώκει δίκην. ἀλλ' οὐχ οὕτω ταῦτ' ἔχει·
τὸ γὰρ πράττειν τοῦ λέγειν καὶ χειροτονεῖν ὕστερον
ὂν τῇ τάξει, πρότερον τῇ δυνάμει καὶ κρεῖττόν ἐστιν.
τοῦτ' οὖν δεῖ προσεῖναι, τὰ δ' ἄλλα ὑπάρχει· καὶ γὰρ
εἰπεῖν τὰ δέοντα παρ' ὑμῖν εἰσιν, ὦ ἄνδρες Ἀθηναῖοι,
δυνάμενοι, καὶ γνῶναι πάντων ὑμεῖς ὀξύτατοι τὰ ῥη-
θέντα, καὶ πρᾶξαι δὲ δυνήσεσθε νῦν, ἐὰν ὀρθῶς ποιῆ-
16 τε. τίνα γὰρ χρόνον ἢ τίνα καιρόν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, τοῦ παρόντος βελτίω ζητεῖτε; ἢ πότε ἃ δεῖ πρά-
ξετε, εἰ μὴ νῦν; οὐχ ἅπαντα μὲν ἡμῶν προείληφε τὰ
χωρία ἄνθρωπος, εἰ δὲ καὶ ταύτης κύριος τῆς χώρας
γενήσεται, πάντων αἴσχιστα πεισόμεθα; οὐχ οὓς, εἰ
πολεμήσαιεν, ἑτοίμως σώσειν ὑπισχνούμεθα, οὗτοι 33
νῦν πολεμοῦνται; οὐκ ἐχθρός; οὐκ ἔχων τα ἡμέτερα;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

17 οὐ βάρβαρος; οὐχ ὅ τι ἂν εἴποι τις;] ἀλλὰ πρὸς θεῶν
πάντα ἐάσαντες καὶ μόνον οὐχὶ συγκατασκευάσαντες
αὐτῷ τότε τοὺς αἰτίους, οἵτινές εἰσι, τούτων ζητήσο-
μεν; οὐ γὰρ αὐτοί γ᾽ αἴτιοι φήσομεν εἶναι, σαφῶς οἶ-
δα τοῦτ᾽ ἐγώ. οὐδὲ γὰρ ἐν τοῖς τοῦ πολέμου κινδύνοις
τῶν φυγόντων οὐδεὶς ἑαυτοῦ κατηγορεῖ, ἀλλὰ τοῦ
στρατηγοῦ καὶ τῶν πλησίον καὶ πάντων μᾶλλον, ἥτ-
τηνται δ᾽ ὅμως διὰ πάντας τοὺς φυγόντας δήπου· μέ-
νειν γὰρ ἐξῆν τῷ κατηγοροῦντι τῶν ἄλλων, εἰ δὲ τοῦτ᾽
18 ἐποίει ἕκαστος, ἐνίκων ἄν. καὶ νῦν οὐ λέγει τις τὰ βέλ-
τιστα; ἀναστὰς ἄλλος εἰπάτω, μὴ τοῦτον αἰτιάσθω·
ἕτερος λέγει τις βελτίω; ταῦτα ποιεῖτε ἀγαθῇ τύχῃ·
ἀλλ᾽ οὐχ ἡδέα ταῦτα; οὐκέτι τοῦθ᾽ ὁ λέγων ἀδικεῖ,
πλὴν εἰ δέον εὔξασθαι παραλείπει. εὔξασθαι μὲν γάρ,
ὦ ἄνδρες Ἀθηναῖοι, ῥᾴδιον, εἰς ταὐτὸ πάνθ᾽ ὅσα βού-
λεταί τις ἀθροίσαντα ἐν ὀλίγῳ· ἑλέσθαι δέ, ὅταν περὶ
πραγμάτων προτεθῇ σκοπεῖν, οὐκέθ᾽ ὁμοίως εὔπορον,
ἀλλὰ δεῖ τὰ βέλτιστα ἀντὶ τῶν ἡδέων, ἂν μὴ συναμφό-
19 τερα ἐξῇ, λαμβάνειν. εἰ δέ τις ἡμῖν ἔχει καὶ τὰ θεωρι-
κὰ ἐᾶν καὶ πόρους ἑτέρους λέγειν στρατιωτικούς, οὐχ
οὗτος κρείττων; εἴποι τις ἄν. φήμ᾽ ἔγωγε, εἴπερ ἔστιν,
ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλὰ θαυμάζω εἴ τῳ ποτε ἀνθρώ-
πων ἢ γέγονεν ἢ γενήσεται, ἂν τὰ παρόντα ἀναλώσῃ
πρὸς ἃ μὴ δεῖ, τῶν ἀπόντων εὐπορῆσαι πρὸς ἃ δεῖ.
ἀλλ᾽ οἶμαι, μέγα τοῖς τοιούτοις ὑπάρχει λόγοις ἡ παρ᾽
ἑκάστου βούλησις, διόπερ ῥᾷστον ἁπάντων ἐστὶν αὑ-
τὸν ἐξαπατῆσαι· ὃ γὰρ βούλεται, τοῦθ᾽ ἕκαστος καὶ οἴε-
20 ται, τὰ δὲ πράγματα πολλάκις οὐχ οὕτω πέφυκεν. ὁρᾶτε 34
οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦθ᾽ οὕτως, ὅπως καὶ τὰ πρά-
γματα ἐνδέχεται καὶ δυνήσεσθε ἐξιέναι καὶ μισθὸν
ἕξετε. οὔ τοι σωφρόνων οὐδὲ γενναίων ἐστὶν ἀνθρώ-
πων, ἐλλείποντάς τι δι᾽ ἔνδειαν χρημάτων τῶν τοῦ πο-

Ψηφιακή Βιβλιοθήκη Θεόφραστος

λέμου εὐχερῶς τὰ τοιαῦτα ὀνείδη φέρειν. ο
μὲν Κορινθίους καὶ Μεγαρέας ἁρπάσαντας
πορεύεσθαι, Φίλιππον δ' ἐᾶν πόλεις Ἑλ
ἀνδραποδίζεσθαι δι' ἀπορίαν ἐφοδίων τοῖς στ
μένοις.

21 Καὶ ταῦτ' οὐχ ἵν' ἀπέχθωμαί τισιν ὑμῶν,
λως προήρημαι λέγειν· οὐ γὰρ οὕτως ἄφρων οὐ
χής εἰμι ἐγὼ ὥστε ἀπεχθάνεσθαι βούλεσθα
ὠφελεῖν νομίζων· ἀλλὰ δικαίου πολίτου κρίνω
πραγμάτων σωτηρίαν ἀντὶ τῆς ἐν τῷ λέγειν χάρ
ρεῖσθαι. καὶ γὰρ τοὺς ἐπὶ τῶν προγόνων ἡμῶν λ
ἀκούω, ὥσπερ ἴσως καὶ ὑμεῖς, οὓς ἐπαινοῦσι μὲν
ιόντες ἅπαντες, μιμοῦνται δ' οὐ πάνυ, τούτῳ
καὶ τῷ τρόπῳ τῆς πολιτείας χρῆσθαι, τὸν Ἀρ
ἐκεῖνον, τὸν Νικίαν, τὸν ὁμώνυμον ἐμαυτῷ, τὸ
22 κλέα. ἐξ οὗ δ' οἱ διερωτῶντες ὑμᾶς οὗτοι π
ῥήτορες „τί βούλεσθε; τί γράψω; τί ὑμῖν χαρί
προπέποται τῆς παραυτίκα χάριτος τὰ τῆς πόλε
γματα καὶ τοιαυτὶ συμβαίνει, καὶ τὰ μὲν τούτω
23 καλῶς ἔχει, τὰ δ' ὑμέτερα αἰσχρῶς. | καίτοι σκ
ὦ ἄνδρες Ἀθηναῖοι, ἅ τις ἂν κεφάλαια εἰπεῖν ἔ
τ' ἐπὶ τῶν προγόνων ἔργων καὶ τῶν ἐφ' ὑμῶ
δὲ βραχὺς καὶ γνώριμος ὑμῖν ὁ λόγος· οὐ γὰ
τρίοις ὑμῖν χρωμένοις παραδείγμασιν, ἀλλ' οἰκ
24 ἄνδρες Ἀθηναῖοι, εὐδαίμοσιν ἔξεστι γενέσθαι.
τοίνυν, οἷς οὐκ ἐχαρίζονθ' οἱ λέγοντες οὐδ'
αὐτοὺς ὥσπερ ὑμᾶς οὗτοι νῦν, πέντε μὲν καὶ τ
κοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων, πλ
μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον, ὑ
δὲ ὁ ταύτην τὴν χώραν ἔχων αὐτοῖς βασιλεύς,
ἐστι προσῆκον βάρβαρον Ἕλλησι, πολλὰ δὲ κ
καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν τρόπαι

Ψηφιοποίηση Κεντρική Βιβλιοθήκη Βέροιας

23-29

στρατευόμενοι, μόνοι δὲ ἀνθρώπων κρείττω την ἐπὶ
25 τοῖς ἔργοις δόξαν τῶν φθονούντων κατέλιπον. ἐπὶ μὲν
δὴ τῶν Ἑλληνικῶν ἦσαν τοιοῦτοι· ἐν δὲ τοῖς κατὰ τὴν
πόλιν αὐτὴν θεάσασθε ὁποῖοι ἔν τε τοῖς κοινοῖς καὶ ἐν
τοῖς ἰδίοις. δημοσίᾳ μὲν τοίνυν οἰκοδομήματα καὶ
κάλλη τοιαῦτα καὶ τοσαῦτα κατεσκεύασαν ἡμῖν ἱερῶν
καὶ τῶν ἐν τούτοις ἀναθημάτων ὥστε μηδενὶ τῶν ἐπι-
γιγνομένων ὑπερβολὴν λελεῖφθαι· ἰδίᾳ δ' οὕτω σώ-
φρονες ἦσαν καὶ σφόδρα ἐν τῷ τῆς πολιτείας ἤθει μέ-
26 νοντες ὥστε τὴν Ἀριστείδου καὶ τὴν Μιλτιάδου καὶ
τῶν τότε λαμπρῶν οἰκίαν εἴ τις ἄρα οἶδεν ὑμῶν ὁποία
ποτ' ἐστίν, ὁρᾷ τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖ-
σαν· οὐ γὰρ εἰς περιουσίαν ἐπράττετο αὐτοῖς τὰ τῆς
πόλεως, ἀλλὰ τὸ κοινὸν αὔξειν ἕκαστος ᾤετο δεῖν. ἐκ
δὲ τοῦ τὰ μὲν Ἑλληνικὰ πιστῶς, τὰ δὲ πρὸς τοὺς θεοὺς
εὐσεβῶς, τὰ δ' ἐν αὐτοῖς ἴσως διοικεῖν μεγάλην εἰκό-
27 τως ἐκτήσαντο εὐδαιμονίαν. τότε μὲν δὴ τοῦτον τὸν
τρόπον εἶχε τὰ πράγματα ἐκείνοις, χρωμένοις οἷς εἶπον
προστάταις· νυνὶ δὲ πῶς ἡμῖν ὑπὸ τῶν χρηστῶν τῶν
νῦν τὰ πράγματα ἔχει; ἆρά γε ὁμοίως καὶ παραπλη-
σίως; οἵ — τὰ μὲν ἄλλα σιωπῶ, πόλλ' ἂν ἔχων εἰπεῖν,
ἀλλ' ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, καὶ
Λακεδαιμονίων μὲν ἀπολωλότων, Θηβαίων δ' ἀσχό-
λων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ
τῶν πρωτείων ἡμῖν ἀντιτάξασθαι, ἐξὸν ἡμῖν καὶ τὰ
ἡμέτερ' αὐτῶν ἀσφαλῶς ἔχειν καὶ τὰ τῶν ἄλλων δί-
καια βραβεύειν, ἀπεστερήμεθα μὲν χώρας οἰκείας,
28 πλείω δ' ἢ χίλια καὶ πεντακόσια τάλαντα ἀνηλώκαμεν
εἰς οὐδὲν δέον, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτη-
σάμεθα, εἰρήνης οὔσης ἀπολωλέκασιν οὗτοι, ἐχθρὸν
δ' ἐφ' ἡμᾶς αὐτοὺς τηλικοῦτον ἠσκήκαμεν. ἢ φρασά-
τω τις ἐμοὶ παρελθών, πόθεν ἄλλοθεν ἰσχυρὸς γέγονεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

29 ἢ παρ' ἡμῶν αὐτῶν Φίλιππος. ἀλλ' ὦ τᾶν, εἰ ταῦτα φαύλως, τά γ' ἐν αὐτῇ τῇ πόλει νῦν ἄμεινον ἔχει. καὶ τί ἂν εἰπεῖν τις ἔχοι; τὰς ἐπάλξεις ἃς κονιῶμεν, καὶ τὰς ὁδοὺς ἃς ἐπισκευάζομεν, καὶ κρήνας, καὶ λήρους; ἀποβλέψατε δὴ πρὸς τοὺς ταῦτα πολιτευομένους, ὧν οἱ μὲν ἐκ πτωχῶν πλούσιοι γεγόνασιν, οἱ δ' ἐξ ἀδόξων ἔντιμοι, ἔνιοι δὲ τὰς ἰδίας οἰκίας τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας εἰσὶ κατεσκευασμένοι, ὅσῳ δὲ τὰ τῆς πόλεως ἐλάττω γέγονε, τοσούτῳ τὰ τούτων ηὔξηται.

30 Τί δὴ τὸ πάντων αἴτιον τούτων, καὶ τί δή ποτε ἅπαντ' εἶχε καλῶς τότε καὶ νῦν οὐκ ὀρθῶς; ὅτι τὸ μὲν πρότερον στρατεύεσθαι τολμῶν αὐτὸς ὁ δῆμος δεσπότης τῶν πολιτευομένων ἦν καὶ κύριος αὐτὸς ἁπάντων τῶν ἀγαθῶν, καὶ ἀγαπητὸν ἦν παρὰ τοῦ δήμου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινος
31 μεταλαβεῖν· νῦν δὲ τοὐναντίον κύριοι μὲν οἱ πολιτευόμενοι τῶν ἀγαθῶν, καὶ διὰ τούτων ἅπαντα πράττεται, ὑμεῖς δ' ὁ δῆμος ἐκνενευρισμένοι καὶ περιῃρημένοι χρήματα καὶ συμμάχους ἐν ὑπηρέτου καὶ προσθήκης μέρει γεγένησθε, ἀγαπῶντες ἐὰν μεταδιδῶσι θεωρικῶν ὑμῖν ἢ Βοηδρόμια πέμψωσιν οὗτοι, καὶ τὸ πάντων ἀνδρειότατον, τῶν ὑμετέρων αὐτῶν χάριν προσοφείλετε. οἱ δ' ἐν αὐτῇ τῇ πόλει καθείρξαντες ὑμᾶς ἐπάγουσιν ἐπὶ ταῦτα καὶ τιθασεύουσι χειροήθεις αὐτοῖς
32 ποιοῦντες. ἔστι δ' οὐδέποτ', οἶμαι, μέγα καὶ νεανικὸν φρόνημα λαβεῖν μικρὰ καὶ φαῦλα πράττοντας· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ φρόνημα ἔχειν. ταῦτα μὰ τὴν Δήμητρα οὐκ ἂν θαυμάσαιμι, εἰ μείζων εἰπόντι ἐμοὶ γένοιτο παρ' ὑμῶν βλάβη τῶν πεποιηκότων αὐτὰ γενέ-

σθαι· οὐδὲ γὰρ παρρησία περὶ πάντων ἀεὶ παρ' ὑμῖν
ἐστιν, ἀλλ' ἔγωγε ὅτι καὶ νῦν γέγονε θαυμάζω.
33 Ἐὰν οὖν ἀλλὰ νῦν γ' ἔτι ἀπαλλαγέντες τούτων
τῶν ἐθῶν ἐθελήσητε στρατεύεσθαί τε καὶ πράττειν
ἀξίως ὑμῶν αὐτῶν, καὶ ταῖς περιουσίαις ταῖς οἴκοι ταύ-
ταις ἀφορμαῖς ἐπὶ τὰ ἔξω τῶν ἀγαθῶν χρήσησθε, ἴσως
ἄν, ἴσως, ὦ ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτή-
σαισθε ἀγαθὸν καὶ τῶν τοιούτων λημμάτων ἀπαλλα-
γείητε ἃ τοῖς [ἀσθενοῦσι] παρὰ τῶν ἰατρῶν σιτίοις δι-
δομένοις ἔοικε. καὶ γὰρ ἐκεῖνα οὔτ' ἰσχὺν ἐντίθησιν οὔτ'
ἀποθνήσκειν ἐᾷ· καὶ ταῦτα, ἃ νέμεσθε νῦν ὑμεῖς, οὔτε
τοσαῦτά ἐστιν ὥστε ὠφέλειαν ἔχειν τινὰ διαρκῆ, οὔτ'
ἀπογνόντας ἄλλο τι πράττειν ἐᾷ, ἀλλ' ἔστι ταῦτα τὴν
34 ἑκάστου ῥαθυμίαν ὑμῶν ἐπαυξάνοντα. οὐκοῦν σὺ μι- 38
σθοφορὰν λέγεις; φήσει τις. καὶ παραχρῆμά γε τὴν αὐ-
τὴν σύνταξιν ἁπάντων, ὦ ἄνδρες Ἀθηναῖοι, ἵνα τῶν
κοινῶν ἕκαστος τὸ μέρος λαμβάνων, ὅτου δέοιτο ἡ πό-
λις, τοῦθ' ὑπάρχοι. ἔξεστιν ἄγειν ἡσυχίαν· οἴκοι μέ-
νων [βελτίων], τοῦ δι' ἔνδειαν ἀνάγκῃ τι ποιεῖν αἰσ-
χρὸν ἀπηλλαγμένος. συμβαίνει τι τοιοῦτον οἷον καὶ τὰ
νῦν· στρατιώτης αὐτὸς ὑπάρχων ἀπὸ τῶν αὐτῶν τού-
των λημμάτων, ὥσπερ ἐστὶ δίκαιον ὑπὲρ τῆς πατρίδος.
ἔστι τις ἔξω τῆς ἡλικίας ὑμῶν· ὅσα οὗτος ἀτάκτως νῦν
λαμβάνων οὐκ ὠφελεῖ, ταῦτ' ἐν ἴσῃ τάξει λαμβάνων
35 πάντ' ἐφορῶν καὶ διοικῶν ἃ χρὴ πράττεσθαι. ὅλως δὲ
οὔτ' ἀφελὼν οὔτε προσθείς, πλὴν μικρῶν τὴν ἀταξίαν
ἀνελών, εἰς τάξιν ἤγαγον τὴν πόλιν τὴν αὐτὴν τοῦ λα-
βεῖν, τοῦ στρατεύεσθαι, τοῦ δικάζειν, τοῦ ποιεῖν τοῦθ'
ὅ τι καθ' ἡλικίαν ἕκαστος ἔχοι καὶ ὅτου καιρὸς εἴη, τά-
ξιν ποιήσας. οὐκ ἔστιν ὅπου μηδὲν ποιοῦσιν ἐγὼ τὰ
τῶν ποιησόντων εἶπον ὡς δεῖ νέμειν, οὐδ' αὐτοὺς μὲν
ἀργεῖν καὶ σχολάζειν καὶ ἀπορεῖν, ὅτι δὲ οἱ τοῦ δεῖνος



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

36 νικῶσι ξένοι, ταῦτα πυνθάνεσθαι· ταῦτα γὰρ νυνὶ γίγνεται. καὶ οὐχὶ μέμφομαι τὸν ποιοῦντά τι τῶν δεόντων ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ ὑμᾶς ὑπὲρ ὑμῶν αὐτῶν ἀξιῶ πράττειν ταῦτα ἐφ' οἷς ἑτέρους τιμᾶτε, καὶ μὴ παραχωρεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τῆς τάξεως, ἣν ὑμῖν οἱ πρόγονοι τῆς ἀρετῆς μετὰ πολλῶν καὶ καλῶν κινδύνων κτησάμενοι κατέλιπον.

Σχεδὸν εἴρηκα ἃ νομίζω συμφέρειν· ὑμεῖς δ' ἕλοισθε ὅ τι καὶ τῇ πόλει καὶ ἅπασι συνοίσειν ὑμῖν μέλλει. 39

---

# IV.

## ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Α.

### ΥΠΟΘΕΣΙΣ.

Κακῶς ἐν τῷ πολέμῳ τῷ πρὸς Φίλιππον οἱ Ἀθηναῖοι φερόμενοι συνεληλύθασιν εἰς ἐκκλησίαν ἀθυμοῦντες. ὁ τοίνυν ῥήτωρ τήν τε ἀθυμίαν πειρᾶται παύειν, λέγων οὐδὲν εἶναι θαυμαστὸν εἰ ῥᾳθυμοῦντες κεκράτηνται, καὶ εἰσηγεῖται πῶς ἂν ἄριστα τῷ πολέμῳ προσενεχθεῖεν. κελεύει δὲ δύο δυνάμεις παρασκευάσασθαι, μίαν μὲν μείζω, πολιτικήν, ἥτις οἴκοι μένουσα πρὸς τὰς κατὰ καιρὸν χρείας ἕτοιμος ὑπάρξει, ἑτέραν δὲ ἐλάττω, ξένων ὄντων τῶν στρατευομένων, παραμεμιγμένων δὲ καὶ πολιτῶν, κελεύει μὴ Ἀθήνησι μένειν μηδὲ ἐκ τῆς πόλεως ποιεῖσθαι τὰς βοηθείας, ἀλλὰ περὶ τὴν Μακεδονίαν ἀναστρέφεσθαι πολεμοῦσαν ἀδιαλείπτως, ἵνα μὴ τοὺς ἐτησίας πνέοντας ἐπιτηρήσας ὁ Φίλιππος ἢ καὶ τὸν χειμῶνα, ἡνίκα Ἀθήνηθεν εἰς Μακεδονίαν πλεῖν οὐ δυνατόν, ἐπιχειρῇ τοῖς πράγμασι καὶ παρὰ τὴν ἀπουσίαν τὴν τῶν Ἀθηναίων ἁπάντων κρατῇ, ἀλλ' ἐγγὺς ἡ πρὸς αὐτὸν ἀντιταξομένη δύναμις ὑπάρχῃ.

---

1 Εἰ μὲν περὶ καινοῦ τινος πράγματος προὐτίθετο, 40
ὦ ἄνδρες Ἀθηναῖοι, λέγειν, ἐπισχὼν ἂν ἕως οἱ πλεῖστοι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν εἰωθότων γνώμην ἀπεφήναντο, εἰ μὲν ἤρεσκέ τί μοι τῶν ὑπὸ τούτων ῥηθέντων, ἡσυχίαν ἂν ἦγον, εἰ δὲ μή, τότ' ἂν αὐτὸς ἐπειρώμην ἃ γιγνώσκω λέγειν· ἐπειδὴ δὲ περὶ ὧν πολλάκις εἰρήκασιν οὗτοι πρότερον συμβαίνει καὶ νυνὶ σκοπεῖν, ἡγοῦμαι καὶ πρῶτος ἀναστὰς εἰκότως ἂν συγγνώμης τυγχάνειν. εἰ γὰρ ἐκ τοῦ παρεληλυθότος χρόνου τὰ δέοντα οὗτοι συνεβούλευσαν, οὐδὲν ἂν ὑμᾶς νῦν ἔδει βουλεύεσθαι.

2 Πρῶτον μὲν οὖν οὐκ ἀθυμητέον, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς παροῦσι πράγμασιν, οὐδ' εἰ πάνυ φαύλως ἔχειν δοκεῖ. ὃ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν ἐστι τοῦτο; ὅτι οὐδέν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν δεόντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματα ἔχει, ἐπεί τοι εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτως εἶχεν, οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ βελτίω γενέσθαι.
3 ἔπειτα ἐνθυμητέον καὶ παρ' ἄλλων ἀκούουσι καὶ τοῖς εἰδόσιν αὐτοῖς ἀναμιμνησκομένοις, ἡλίκην ποτ' ἐχόντων δύναμιν Λακεδαιμονίων, ἐξ οὗ χρόνος οὐ πολύς, ὡς καλῶς καὶ προσηκόντως οὐδὲν ἀνάξιον ὑμεῖς ἐπράξατε τῆς πόλεως, ἀλλ' ὑπεμείνατε ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων τὸν πρὸς ἐκείνους πόλεμον. τίνος οὖν
ἕνεκα ταῦτα λέγω; ἵν' εἰδῆτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ 41
θεάσησθε ὅτι οὐδὲν οὔτε φυλαττομένοις ὑμῖν ἐστι φοβερὸν οὔτ', ἂν ὀλιγωρῆτε, τοιοῦτον οἷον ἂν ὑμεῖς βούλοισθε, παραδείγμασι χρώμενοι τῇ τότε ῥώμῃ τῶν Λακεδαιμονίων, ἧς ἐκρατεῖτε ἐκ τοῦ προσέχειν τοῖς πράγμασι τὸν νοῦν, καὶ τῇ νῦν ὕβρει τούτου, δι' ἣν ταραττ-
4 όμεθα ἐκ τοῦ μηδὲν φροντίζειν ὧν ἐχρῆν. εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, δυσπολέμητον οἴεται τὸν Φίλιππον εἶναι, σκοπῶν τό τε πλῆθος τῆς ὑπαρχούσης αὐτῷ δυνάμεως καὶ τὸ τὰ χωρία πάντα ἀπολωλέναι τῇ



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

πόλει, ὀρθῶς μὲν οἴεται, λογισάσθω μέντοι τοῦθ', ὅτι εἴχομέν ποτε ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, Πύδναν καὶ Ποτίδαιαν καὶ Μεθώνην καὶ πάντα τὸν τόπον τοῦτον οἰκεῖον κύκλῳ, καὶ πολλὰ τῶν μετ' ἐκείνου νῦν ὄντων ἐθνῶν αὐτονομούμενα καὶ ἐλεύθερα ὑπῆρχε καὶ μᾶλλον ἡμῖν ἐβούλετ' ἔχειν οἰκείως ἢ 'κείνῳ. εἰ τοίνυν ὁ Φίλιππος τότε ταύτην ἔσχε τὴν γνώμην, ὡς χαλεπὸν πολεμεῖν ἐστιν Ἀθηναίοις ἔχουσι τοσαῦτα ἐπιτειχίσματα τῆς αὑτοῦ χώρας ἔρημον ὄντα συμμάχων, οὐδὲν ἂν ὧν νυνὶ πεποίηκεν ἔπραξεν, οὐδὲ τοσαύτην ἐκτήσατο δύναμιν. ἀλλ' εἶδεν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο καλῶς ἐκεῖνος, ὅτι ταῦτα μέν ἐστιν ἅπαντα τὰ χωρία ἆθλα τοῦ πολέμου κείμενα ἐν μέσῳ, φύσει δ' ὑπάρχει τοῖς παροῦσι τὰ τῶν ἀπόντων καὶ τοῖς ἐθέλουσι πονεῖν καὶ
6 κινδυνεύειν τὰ τῶν ἀμελούντων. καὶ γάρ τοι ταύτῃ χρησάμενος τῇ γνώμῃ πάντα κατέστραπται καὶ ἔχει, τὰ μὲν ὡς ἂν ἑλών τις ἔχοι πολέμῳ, τὰ δὲ σύμμαχα καὶ φίλα ποιησάμενος· καὶ γὰρ συμμαχεῖν καὶ προσέχειν 42
τὸν νοῦν τούτοις ἐθέλουσιν ἅπαντες, οὓς ἂν ὁρῶσι παρ-
7 εσκευασμένους καὶ πράττειν ἐθέλοντας ἃ χρή. ἂν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὑμεῖς ἐπὶ τῆς τοιαύτης ἐθελήσητε γενέσθαι γνώμης νῦν, ἐπειδήπερ οὐ πρότερον, καὶ ἕκαστος ὑμῶν, οὗ δεῖ καὶ δύναιτ' ἂν παρασχεῖν αὑτὸν χρήσιμον τῇ πόλει, πᾶσαν ἀφεὶς τὴν εἰρωνείαν ἕτοιμος πράττειν ὑπάρξῃ, ὁ μὲν χρήματ' ἔχων εἰσφέρειν, ὁ δ' ἐν ἡλικίᾳ στρατεύεσθαι, — συνελόντι δ' ἁπλῶς ἂν ὑμῶν αὐτῶν ἐθελήσητε γενέσθαι καὶ παύσησθε αὐτὸς μὲν οὐδὲν ἕκαστος ποιήσειν ἐλπίζων, τὸν δὲ πλησίον πάνθ' ὑπὲρ αὑτοῦ πράξειν, καὶ τὰ ὑμέτερ' αὐτῶν κομιεῖσθε, ἂν θεὸς θέλῃ, καὶ τὰ κατερρᾳθυμη-
8 μένα πάλιν ἀναλήψεσθε, κἀκεῖνον τιμωρήσεσθε. μὴ γὰρ ὡς θεῷ νομίζετ' ἐκείνῳ τὰ παρόντα πεπηγέναι πρά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γματα ἀθάνατα, ἀλλὰ καὶ μισεῖ τις ἐκεῖνον καὶ δέδιεν,
ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φθονεῖ, καὶ τῶν πάνυ νῦν δο-
κούντων οἰκείως ἔχειν αὐτῷ· καὶ ἅπανθ' ὅσα περ καὶ
ἐν ἄλλοις τισὶν ἀνθρώποις ἔνι, ταῦτα κἀν τοῖς μετ'
ἐκείνου χρὴ νομίζειν ἐνεῖναι. κατέπτηχε μέντοι πάντα
ταῦτα νῦν, οὐκ ἔχοντ' ἀποστροφὴν διὰ τὴν ὑμετέραν
βραδυτῆτα καὶ ῥᾳθυμίαν, ἣν ἀποθέσθαι φημὶ δεῖν ἤδη.
9 ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ πρᾶγμα, οἷ προελή-
λυθεν ἀσελγείας ἄνθρωπος, ὃς οὐδ' αἵρεσιν ὑμῖν δί-
δωσι τοῦ πράττειν ἢ ἄγειν ἡσυχίαν, ἀλλ' ἀπειλεῖ καὶ
λόγους ὑπερηφάνους, ὥς φασι, λέγει, καὶ οὐχ οἷός ἐστιν
ἔχων ἃ κατέστραπται μένειν ἐπὶ τούτων, ἀλλ' ἀεί τι
προσπεριβάλλεται καὶ κύκλῳ πανταχῇ μέλλοντας ἡμᾶς 43
10 καὶ καθημένους περιστοιχίζεται. πότ' οὖν, ὦ ἄνδρες
Ἀθηναῖοι, πότε ἃ χρὴ πράξετε; ἐπειδὰν τί γένηται;
ἐπειδὰν νὴ Δί' ἀνάγκη τις ᾖ. νῦν δὲ τί χρὴ τὰ γιγνό-
μενα ἡγεῖσθαι; ἐγὼ μὲν γὰρ οἶμαι τοῖς ἐλευθέροις με-
γίστην ἀνάγκην τὴν ὑπὲρ τῶν πραγμάτων αἰσχύνην
εἶναι. ἢ βούλεσθε, εἰπέ μοι, περιιόντες αὑτῶν πυνθά-
νεσθαι [κατὰ τὴν ἀγοράν], λέγεταί τι καινόν; γένοιτο
γὰρ ἄν τι καινότερον ἢ Μακεδὼν ἀνὴρ Ἀθηναίους κα-
11 ταπολεμῶν καὶ τὰ τῶν Ἑλλήνων διοικῶν; τέθνηκε Φί-
λιππος; οὐ μὰ Δί', ἀλλ' ἀσθενεῖ. τί δ' ὑμῖν διαφέρει;
καὶ γὰρ ἂν οὗτός τι πάθῃ, ταχέως ὑμεῖς ἕτερον Φίλιπ-
πον ποιήσετε, ἄνπερ οὕτω προσέχητε τοῖς πράγμασι
τὸν νοῦν· οὐδὲ γὰρ οὗτος παρὰ τὴν αὑτοῦ ῥώμην το-
σοῦτον ἐπηύξηται ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν.
12 καίτοι καὶ τοῦτο· εἴ τι πάθοι καὶ τὰ τῆς τύχης ἡμῖν
ὑπάρξαι, ἥπερ ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμε-
λούμεθα, [καὶ τοῦτ' ἐξεργάσαιτο] ἴσθ' ὅτι πλησίον μὲν
ὄντες, ἅπασιν ἂν τοῖς πράγμασι τεταραγμένοις ἐπι-
στάντες ὅπως βούλεσθε διοικήσαισθε, ὡς δὲ νῦν ἔχετε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδὲ διδόντων τῶν καιρῶν Ἀμφίπολιν δέξασθαι δύναισθ' ἄν, ἀπηρτημένοι καὶ ταῖς παρασκευαῖς καὶ ταῖς γνώμαις.

13 Ὡς μὲν οὖν δεῖ τὰ προσήκοντα ποιεῖν ἐθέλοντας ὑπάρχειν ἅπαντας ἑτοίμως, ὡς ἐγνωκότων ὑμῶν καὶ πεπεισμένων, παύομαι λέγων· τὸν δὲ τρόπον τῆς παρασκευῆς ἣν ἀπαλλάξαι ἂν τῶν τοιούτων πραγμάτων ὑμᾶς οἴομαι, καὶ τὸ πλῆθος ὅσον, καὶ πόρους οὕστινας χρημάτων, καὶ τἆλλα ὡς ἄν μοι βέλτιστα καὶ τάχιστα δοκεῖ παρασκευασθῆναι, καὶ δὴ πειράσομαι λέγειν,
14 δεηθεὶς ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τοσοῦτον. ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε, μὴ πρότερον προλαμβάνετε· μηδ' ἂν ἐξ ἀρχῆς δοκῶ τινι καινὴν παρασκευὴν λέγειν, ἀναβάλλειν με τὰ πράγματα ἡγείσθω. οὐ γὰρ οἱ ταχὺ καὶ τήμερον εἰπόντες μάλιστα εἰς δέον λέγουσιν· οὐ γὰρ ἂν τά γε ἤδη γεγενημένα τῇ νυνὶ βοηθείᾳ κω-
15 λῦσαι δυνηθείημεν· ἀλλ' ὃς ἂν δείξῃ τίς πορισθεῖσα παρασκευὴ καὶ πόση καὶ πόθεν διαμεῖναι δυνήσεται, ἕως ἂν ἢ διαλυσώμεθα πεισθέντες τὸν πόλεμον ἢ περιγενώμεθα τῶν ἐχθρῶν· οὕτω γὰρ οὐκέτι τοῦ λοιποῦ πάσχοιμεν ἂν κακῶς. οἶμαι τοίνυν ἐγὼ ταῦτα λέγειν ἔχειν, μὴ κωλύων εἴ τις ἄλλος ἐπαγγέλλεταί τι. ἡ μὲν οὖν ὑπόσχεσις οὕτω μεγάλη, τὸ δὲ πρᾶγμα ἤδη τὸν ἔλεγχον δώσει· κριταὶ δ' ὑμεῖς ἔσεσθε.

16 Πρῶτον μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, τριήρεις πεντήκοντα παρασκευάσασθαί φημι δεῖν, εἶτ' αὐτοὺς οὕτω τὰς γνώμας ἔχειν ὡς, ἐάν τι δέῃ, πλευστέον εἰς ταύτας αὐτοῖς ἐμβᾶσιν. πρὸς δὲ τούτοις τοῖς ἡμίσεσι τῶν ἱππέων ἱππαγωγοὺς τριήρεις καὶ πλοῖα ἱκανὰ εὐτρεπί-
17 σαι κελεύω. ταῦτα μὲν οἶμαι δεῖν ὑπάρχειν ἐπὶ τὰς ἐξαίφνης ταύτας ἀπὸ τῆς οἰκείας χώρας αὐτοῦ στρατείας εἰς Πύλας καὶ Χερρόνησον καὶ Ὄλυνθον καὶ ὅποι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βούλεται· δεῖ γὰρ ἐκείνῳ τοῦτο ἐν τῇ γνώμῃ πα-
ραστῆναι, ὡς ὑμεῖς ἐκ τῆς ἀμελείας ταύτης τῆς ἄγαν,
ὥσπερ εἰς Εὔβοιαν καὶ πρότερόν ποτέ φασιν εἰς Ἁλί-
αρτον καὶ τὰ τελευταῖα πρῴην εἰς Πύλας, ἴσως ἂν ὁρ-
18 μήσαιτε. οὔτοι παντελῶς οὐδ' εἰ μὴ ποιήσαιτ' ἂν τοῦ-
το, ὡς ἔγωγέ φημι δεῖν, εὐκαταφρόνητόν ἐστιν, ἵν' ἢ
διὰ τὸν φόβον εἰδὼς εὐτρεπεῖς ὑμᾶς — εἴσεται γὰρ
ἀκριβῶς· εἰσὶ γάρ, εἰσὶν οἱ πάντ' ἐξαγγέλλοντες ἐκείνῳ
παρ' ἡμῶν αὐτῶν πλείους τοῦ δέοντος — ἡσυχίαν ἔχῃ,
ἢ παριδὼν ταῦτα ἀφύλακτος ληφθῇ, μηδενὸς ὄντος
ἐμποδὼν πλεῖν ἐπὶ τὴν ἐκείνου χώραν ὑμῖν, ἂν ἐνδῷ
19 καιρόν. ταῦτα μέν ἐστιν ἃ πᾶσι δεδόχθαι φημὶ δεῖν
καὶ παρεσκευάσθαι προσήκειν οἶμαι· πρὸ δὲ τούτων
δύναμίν τινα, ὦ ἄνδρες Ἀθηναῖοι, φημὶ προχειρίσα-
σθαι δεῖν ὑμᾶς, ἣ συνεχῶς πολεμήσει καὶ κακῶς ἐκεῖ-
νον ποιήσει. μή μοι μυρίους μηδὲ δισμυρίους ξένους,
μηδὲ τὰς ἐπιστολιμαίους ταύτας δυνάμεις, ἀλλ' ἣ τῆς
πόλεως ἔσται, κἂν ὑμεῖς ἕνα κἂν πλείους κἂν τὸν δεῖνα
κἂν ὁντινοῦν χειροτονήσητε στρατηγόν, τούτῳ πείσε-
ται καὶ ἀκολουθήσει. καὶ τροφὴν ταύτῃ πορίσαι κε-
20 λεύω. ἔσται δ' αὕτη τίς ἡ δύναμις καὶ πόση, καὶ πόθεν
τὴν τροφὴν ἕξει, καὶ πῶς ταῦτ' ἐθελήσει ποιεῖν; ἐγὼ
φράσω, καθ' ἕκαστον τούτων διεξιὼν χωρίς. ξένους
μὲν λέγω — καὶ ὅπως μὴ ποιήσετε ὃ πολλάκις ὑμᾶς
ἔβλαψεν· πάντ' ἐλάττω νομίζοντες εἶναι τοῦ δέοντος,
καὶ τὰ μέγιστ' ἐν τοῖς ψηφίσμασιν αἱρούμενοι, ἐπὶ τῷ
πράττειν οὐδὲ τὰ μικρὰ ποιεῖτε· ἀλλὰ τὰ μικρὰ ποιή-
σαντες καὶ πορίσαντες τούτοις προστίθετε, ἂν ἐλάττω
21 φαίνηται. λέγω δὴ τοὺς πάντας στρατιώτας δισχιλίους,
τούτων δὲ Ἀθηναίους φημὶ δεῖν εἶναι πεντακοσίους,
ἐξ ἧς ἄν τινος ὑμῖν ἡλικίας καλῶς ἔχειν δοκῇ, χρόνον
τακτὸν στρατευομένους, μὴ μακρὸν τοῦτον, ἀλλ' ὅσον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν δοκῇ καλῶς ἔχειν, ἐκ διαδοχῆς ἀλλήλοις· τοὺς δ' 46
ἄλλους ξένους εἶναι κελεύω. καὶ μετὰ τούτων ἱππέας διακοσίους, καὶ τούτων πεντήκοντα Ἀθηναίους τοὐλάχιστον, ὥσπερ τοὺς πεζούς, τὸν αὐτὸν τρόπον στρα-
22 τευομένους, καὶ ἱππαγωγοὺς τούτοις. εἶεν· τί πρὸς τούτοις ἔτι; ταχείας τριήρεις δέκα· δεῖ γάρ, ἔχοντος ἐκείνου ναυτικόν, καὶ ταχειῶν τριήρων ἡμῖν, ὅπως ἀσφαλῶς ἡ δύναμις πλέῃ. πόθεν δὴ τούτοις ἡ τροφὴ γενήσεται; ἐγὼ καὶ τοῦτο φράσω καὶ δείξω, ἐπειδάν, διότι τηλικαύτην ἀποχρῆν οἶμαι τὴν δύναμιν καὶ πολίτας τοὺς στρατευομένους εἶναι κελεύω, διδάξω.

23 Τοσαύτην μέν, ὦ ἄνδρες Ἀθηναῖοι, διὰ ταῦτα, ὅτι οὐκ ἔνι νῦν ἡμῖν πορίσασθαι δύναμιν τὴν ἐκείνῳ παραταξομένην, ἀλλὰ λῃστεύειν ἀνάγκη καὶ τούτῳ τῷ τρόπῳ τοῦ πολέμου χρῆσθαι τὴν πρώτην· οὐ τοίνυν ὑπέρογκον αὐτήν, οὐ γάρ ἐστι μισθὸς οὐδὲ τροφή, οὐ-
24 δὲ παντελῶς ταπεινὴν εἶναι δεῖ. πολίτας δὲ παρεῖναι καὶ συμπλεῖν διὰ ταῦτα κελεύω, ὅτι καὶ πρότερόν ποτ' ἀκούω ξενικὸν τρέφειν ἐν Κορίνθῳ τὴν πόλιν, οὗ Πολύστρατος ἡγεῖτο καὶ Ἰφικράτης καὶ Χαβρίας καὶ ἄλλοι τινές, καὶ αὐτοὺς ὑμᾶς συστρατεύεσθαι· καὶ οἶδα ἀκούων ὅτι Λακεδαιμονίους παραταττόμενοι μεθ' ὑμῶν ἐνίκων οὗτοι οἱ ξένοι καὶ ὑμεῖς μετ' ἐκείνων. ἐξ οὗ δ' αὐτὰ καθ' αὑτὰ τὰ ξενικὰ ὑμῖν στρατεύεται, τοὺς φίλους νικᾷ καὶ τοὺς συμμάχους, οἱ δ' ἐχθροὶ μείζους τοῦ δέοντος γεγόνασιν. καὶ παρακύψαντα ἐπὶ τὸν τῆς πόλεως πόλεμον, πρὸς Ἀρτάβαζον καὶ πανταχοῖ μᾶλλον οἴχεται πλέοντα, ὁ δὲ στρατηγὸς ἀκολουθεῖ, εἰκό- 47
25 τως· οὐ γάρ ἐστιν ἄρχειν μὴ διδόντα μισθόν. τί οὖν κελεύω; τὰς προφάσεις ἀφελεῖν καὶ τοῦ στρατηγοῦ καὶ τῶν στρατιωτῶν, μισθὸν πορίσαντας καὶ στρατιώτας οἰκείους ὥσπερ ἐπόπτας τῶν στρατηγουμένων παρα-

καταστήσαντας, ἐπεὶ νῦν γε γέλως ἔσθ' ὡς χρώμεθα
τοῖς πράγμασιν. εἰ γὰρ ἔροιτό τις ὑμᾶς, εἰρήνην ἄγετε,
ὦ ἄνδρες Ἀθηναῖοι; μὰ Δί' οὐχ ἡμεῖς γε, εἴποιτ' ἄν,
26 ἀλλὰ Φιλίππῳ πολεμοῦμεν. οὐκ ἐχειροτονεῖτε δ' ἐξ
ὑμῶν αὐτῶν δέκα ταξιάρχους καὶ στρατηγοὺς καὶ φυ-
λάρχους καὶ ἱππάρχους δύο; τί οὖν οὗτοι ποιοῦσιν;
πλὴν ἑνὸς ἀνδρός, ὃν ἂν ἐκπέμψητε ἐπὶ τὸν πόλεμον,
οἱ λοιποὶ τὰς πομπὰς πέμπουσιν ὑμῖν μετὰ τῶν ἱερο-
ποιῶν· ὥσπερ γὰρ οἱ πλάττοντες τοὺς πηλίνους, εἰς
τὴν ἀγορὰν χειροτονεῖτε τοὺς ταξιάρχους καὶ τοὺς φυ-
27 λάρχους, οὐκ ἐπὶ τὸν πόλεμον. οὐ γὰρ ἐχρῆν, ὦ ἄνδρες
Ἀθηναῖοι, ταξιάρχους παρ' ὑμῶν, ἱππάρχους παρ' ὑμῶν
ἄρχοντας οἰκείους εἶναι, ἵν' ἦν ὡς ἀληθῶς τῆς πόλεως
ἡ δύναμις; ἀλλ' εἰς μὲν Λῆμνον τὸν παρ' ὑμῶν ἵππαρ-
χον δεῖ πλεῖν, τῶν δ' ὑπὲρ τῶν τῆς πόλεως κτημάτων
ἀγωνιζομένων Μενέλαον ἱππαρχεῖν; καὶ οὐ τὸν ἄνδρα
μεμφόμενος ταῦτα λέγω, ἀλλ' ὑφ' ὑμῶν ἔδει κεχειρο-
τονημένον εἶναι τοῦτον, ὅστις ἂν ᾖ.

28 Ἴσως δὲ ταῦτα μὲν ὀρθῶς ἡγεῖσθε λέγεσθαι, τὸ δὲ
τῶν χρημάτων, πόσα καὶ πόθεν ἔσται, μάλιστα ποθεῖτε
ἀκοῦσαι. τοῦτο δὴ καὶ περανῶ. χρήματα τοίνυν, ἔστι
μὲν ἡ τροφή, σιτηρέσιον μόνον τῇ δυνάμει ταύτῃ, τά-
λαντα ἐνενήκοντα καὶ μικρόν τι πρός, δέκα μὲν ναυσὶ
ταχείαις τετταράκοντα τάλαντα, εἴκοσιν εἰς τὴν ναῦν 48
μναῖ τοῦ μηνὸς ἑκάστου, στρατιώταις δὲ δισχιλίοις το-
σαῦθ' ἕτερα, ἵνα δέκα τοῦ μηνὸς ὁ στρατιώτης δραχμὰς
σιτηρέσιον λαμβάνῃ, τοῖς δ' ἱππεῦσι διακοσίοις οὖσιν,
ἐὰν τριάκοντα δραχμὰς ἕκαστος λαμβάνῃ τοῦ μηνός,
29 δώδεκα τάλαντα. εἰ δέ τις οἴεται μικρὰν ἀφορμὴν εἶναι
σιτηρέσιον τοῖς στρατευομένοις ὑπάρχειν, οὐκ ὀρθῶς
ἔγνωκεν· ἐγὼ γὰρ οἶδα σαφῶς ὅτι, τοῦτ' ἂν γένηται,
προσποριεῖ τὰ λοιπὰ αὐτὸ τὸ στράτευμα ἀπὸ τοῦ πο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λέμου, οὐδένα τῶν Ἑλλήνων ἀδικοῦν οὐδὲ τῶν συμ-
μάχων, ὥστ᾽ ἔχειν μισθὸν ἐντελῆ. [ἐγὼ συμπλέων
ἐθελοντὴς πάσχειν ὁτιοῦν ἕτοιμος, ἐὰν μὴ ταῦθ᾽ οὕ-
τως ἔχῃ.] πόθεν οὖν ὁ πόρος τῶν χρημάτων, ἃ παρ᾽
ὑμῶν κελεύω γενέσθαι, τοῦτ᾽ ἤδη λέξω.

ΠΟΡΟΥ ΑΠΟΔΕΙΞΙΣ.

30 Ἃ μὲν οὖν ἡμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, δεδυνήμε-
θα εὑρεῖν, ταῦτ᾽ ἐστίν. ἐπειδὰν δ᾽ ἐπιχειροτονῆτε τὰς
γνώμας, ἂν ὑμῖν ἀρέσκῃ, χειροτονήσετε, ἵνα μὴ μόνον
ἐν τοῖς ψηφίσμασι καὶ ταῖς ἐπιστολαῖς πολεμῆτε Φιλίπ-
πῳ, ἀλλὰ καὶ τοῖς ἔργοις.

31 Δοκεῖτε δέ μοι πολὺ βέλτιον ἂν περὶ τοῦ πολέμου
καὶ ὅλης τῆς παρασκευῆς βουλεύσασθαι, εἰ τὸν τόπον,
ὦ ἄνδρες Ἀθηναῖοι, τῆς χώρας, πρὸς ἣν πολεμεῖτε, ἐν-
θυμηθείητε, καὶ λογίσαισθε ὅτι τοῖς πνεύμασι καὶ ταῖς
ὥραις τοῦ ἔτους τὰ πολλὰ προλαμβάνων διαπράττεται
Φίλιππος καὶ φυλάξας τοὺς ἐτησίας ἢ τὸν χειμῶνα ἐπι-
χειρεῖ, ἡνίκ᾽ ἂν ἡμεῖς μὴ δυναίμεθα ἐκεῖσε ἀφικέσθαι.
32 δεῖ τοίνυν ταῦτ᾽ ἐνθυμουμένους μὴ βοηθείαις πολε-
μεῖν, ὑστεριοῦμεν γὰρ ἁπάντων, ἀλλὰ παρασκευῇ συν- 49
εχεῖ καὶ δυνάμει. ὑπάρχει δ᾽ ὑμῖν χειμαδίῳ μὲν χρῆ-
σθαι τῇ δυνάμει Λήμνῳ καὶ Θάσῳ καὶ Σκιάθῳ καὶ ταῖς
ἐν τούτῳ τῷ τόπῳ νήσοις, ἐν αἷς καὶ λιμένες καὶ σῖτος
καὶ ἃ χρὴ στρατεύματι πάνθ᾽ ὑπάρχει· τὴν δ᾽ ὥραν
τοῦ ἔτους, ὅτε καὶ πρὸς τῇ γῇ γενέσθαι ῥᾴδιον καὶ τὸ
τῶν πνευμάτων ἀσφαλές, πρὸς αὐτῇ τῇ χώρᾳ καὶ πρὸς
τοῖς τῶν ἐμπορίων στόμασι ῥᾳδίως εἴσεσθε.

33 Ἃ μὲν οὖν χρήσεται καὶ πότε τῇ δυνάμει, παρὰ τὸν
καιρὸν ὁ τούτων κύριος καταστὰς ὑφ᾽ ὑμῶν βουλεύ-
σεται· ἃ δ᾽ ὑπάρξαι δεῖ παρ᾽ ὑμῶν, ταῦτ᾽ ἐστὶν ἁγὼ γέ-
γραφα. ἂν ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, πορίσητε τὰ
χρήματα πρῶτον ἃ λέγω, εἶτα καὶ τἄλλα παρασκευά-

σαντες, τοὺς στρατιώτας, τὰς τριήρεις, τοὺς ἱππέας,
ἐντελῆ πᾶσαν τὴν δύναμιν, νόμῳ κατακλείσητε ἐπὶ τῷ
πολέμῳ μένειν, τῶν μὲν χρημάτων αὐτοὶ ταμίαι καὶ πο-
ρισταὶ γιγνόμενοι, τῶν δὲ πράξεων παρὰ τοῦ στρατη-
γοῦ τὸν λόγον ἀπαιτοῦντες, παύσεσθ᾽ ἀεὶ περὶ τῶν αὐ-
34 τῶν βουλευόμενοι καὶ πλέον οὐδὲν ποιοῦντες, καὶ ἔτι
πρὸς τούτῳ πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν μέ-
γιστον τῶν ἐκείνου πόρων ἀφαιρήσεσθε. ἔστι δ᾽ οὗτος
τίς; ἀπὸ τῶν ὑμετέρων ὑμῖν πολεμεῖ συμμάχων, ἄγων
καὶ φέρων τοὺς πλέοντας τὴν θάλατταν. ἔπειτα τί πρὸς
τούτῳ; τοῦ πάσχειν αὐτοὶ κακῶς ἔξω γενήσεσθε, οὐχ
ὥσπερ τὸν παρελθόντα χρόνον εἰς Λῆμνον καὶ Ἴμβρον
ἐμβαλὼν αἰχμαλώτους πολίτας ὑμετέρους ᾤχετ᾽ ἔχων,
πρὸς τῷ Γεραιστῷ τὰ πλοῖα συλλαβὼν ἀμύθητα χρή-
ματ᾽ ἐξέλεξε, τὰ τελευταῖα εἰς Μαραθῶνα ἀπέβη καὶ
τὴν ἱερὰν ἀπὸ τῆς χώρας ᾤχετ᾽ ἔχων τριήρη. ὑμεῖς δ᾽
οὔτε ταῦτα δύνασθε κωλύειν οὔτ᾽ εἰς τοὺς χρόνους,
35 οὓς ἂν προθῆσθε, βοηθεῖν. καίτοι τί δήποτε, ὦ ἄνδρες
Ἀθηναῖοι, νομίζετε τὴν μὲν τῶν Παναθηναίων ἑορτὴν
καὶ τὴν τῶν Διονυσίων ἀεὶ τοῦ καθήκοντος χρόνου
γίγνεσθαι, ἄν τε δεινοὶ λάχωσιν ἄν τε ἰδιῶται οἱ τού-
των ἑκατέρων ἐπιμελούμενοι, εἰς ἃ τοσαῦτ᾽ ἀναλίσκετε
χρήματα ὅσα οὐδ᾽ εἰς ἕνα τῶν ἀποστόλων, καὶ τοσοῦ-
τον ὄχλον καὶ παρασκευὴν ὅσην οὐκ οἶδ᾽ εἴ τι τῶν
ἁπάντων ἔχει, τοὺς δ᾽ ἀποστόλους πάντας ὑμῖν ὑστε-
ρίζειν τῶν καιρῶν, τὸν εἰς Μεθώνην, τὸν εἰς Παγασάς,
36 τὸν εἰς Ποτίδαιαν; ὅτι ἐκεῖνα μὲν ἅπαντα νόμῳ τέτα-
κται, καὶ πρόοιδεν ἕκαστος ὑμῶν ἐκ πολλοῦ τίς χορηγὸς
ἢ γυμνασίαρχος τῆς φυλῆς, πότε καὶ παρὰ τοῦ καὶ τί-
να λαβόντα τί δεῖ ποιεῖν, οὐδὲν ἀνεξέταστον οὐδ᾽ ἀό-
ριστον ἐν τούτοις ἠμέληται. ἐν δὲ τοῖς περὶ τοῦ πολέμου
καὶ τῇ τούτου παρασκευῇ ἄτακτα ἀδιόρθωτα ἀόριστα

*ἅπαντα. τοιγαροῦν ἅμα ἀκηκόαμέν τι καὶ τριηράρχους
καθίσταμεν καὶ τούτοις ἀντιδόσεις ποιούμεθα καὶ περὶ
χρημάτων πόρον σκοποῦμεν, καὶ μετὰ ταῦτα ἐμβαίνειν
τοὺς μετοίκους ἔδοξε καὶ τοὺς χωρὶς οἰκοῦντας. εἶτ' αὐ-
37 τοὺς πάλιν [ἀντεμβιβάζειν], εἶτ' ἐν ὅσῳ ταῦτα μέλλεται,
προαπόλωλε τὸ ἐφ' ὃ ἂν ἐκπλέωμεν· τὸν γὰρ τοῦ
πράττειν χρόνον εἰς τὸ παρασκευάζεσθαι ἀναλίσκο-
μεν. οἱ δὲ τῶν πραγμάτων οὐ μένουσι καιροὶ τὴν ἡμε-
τέραν βραδυτῆτα καὶ εἰρωνείαν. ἃς δὲ τὸν μεταξὺ
χρόνον δυνάμεις οἰόμεθ' ἡμῖν ὑπάρχειν, οὐδὲν οἷαί τ'
οὖσαι ποιεῖν ἐπ' αὐτῶν τῶν καιρῶν ἐξελέγχονται. ὁ δ'
εἰς τοῦθ' ὕβρεως ἐλήλυθεν ὥστ' ἐπιστέλλειν Εὐβοεῦ- 51
σιν ἤδη τοιαύτας ἐπιστολάς.*

## *ΕΠΙΣΤΟΛΗΣ ΑΝΑΓΝΩΣΙΣ.*

38 *Τούτων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀνεγνωσμένων
ἀληθῆ μέν ἐστι τὰ πολλά, ὡς οὐκ ἔδει, οὐ μὴν ἀλλ' ἴσως
οὐχ ἡδέα ἀκούειν. ἀλλ' εἰ μέν, ὅσα ἄν τις ὑπερβῇ τῷ
λόγῳ, ἵνα μὴ λυπήσῃ, καὶ τὰ πράγματα ὑπερβήσεται,
δεῖ πρὸς ἡδονὴν δημηγορεῖν· εἰ δ' ἡ τῶν λόγων χάρις,
ἂν ᾖ μὴ προσήκουσα, ἔργῳ ζημία γίγνεται, αἰσχρόν
ἐστι φενακίζειν ἑαυτούς, καὶ ἅπαντ' ἀναβαλλομένους
39 ἃ ἂν ᾖ δυσχερῆ πάντων ὑστερεῖν τῶν ἔργων, καὶ μηδὲ
τοῦτο δύνασθαι μαθεῖν, ὅτι δεῖ τοὺς ὀρθῶς πολέμῳ
χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλ' αὐ-
τοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων, καὶ τὸν αὐτὸν
τρόπον ὥσπερ τῶν στρατευμάτων ἀξιώσειέ τις ἂν τὸν
στρατηγὸν ἡγεῖσθαι, οὕτω καὶ τῶν πραγμάτων τοὺς
βουλευομένους, ἵν' ἃ ἂν ἐκείνοις δοκῇ, ταῦτα πράττη-
40 ται καὶ μὴ τὰ συμβάντα ἀναγκάζωνται διώκειν. ὑμεῖς
δ', ὦ ἄνδρες Ἀθηναῖοι, πλείστην δύναμιν ἁπάντων
ἔχοντες, τριήρεις, ὁπλίτας, ἱππέας, χρημάτων πρόσο-*

δον, τούτων μὲν μέχρι τῆς τήμερον ἡμέρας οὐδενὶ πώ-
ποτε εἰς δέον τι κέχρησθε, οὐδὲν δ' ἀπολείπετε, ὥσπερ
οἱ βάρβαροι πυκτεύουσιν, οὕτω πολεμεῖν Φιλίππῳ.
καὶ γὰρ ἐκείνων ὁ πληγεὶς ἀεὶ τῆς πληγῆς ἔχεται, κἂν
ἑτέρωσε πατάξῃς, ἐκεῖσέ εἰσιν αἱ χεῖρες· προβάλλεσθαι
41 δ' ἢ βλέπειν ἐναντίον οὔτ' οἶδεν οὔτ' ἐθέλει. | καὶ ὑμεῖς
ἂν ἐν Χερρονήσῳ πύθησθε Φίλιππον, ἐκεῖσε βοηθεῖν
ψηφίζεσθε, ἐὰν ἐν Πύλαις, ἐκεῖσε, ἐὰν ἄλλοθί που, 52
συμπαραθεῖτε ἄνω κάτω, καὶ στρατηγεῖσθε μὲν ὑπ'
ἐκείνου, βεβούλευσθε δ' οὐδὲν αὐτοὶ συμφέρον περὶ
τοῦ πολέμου, οὐδὲ πρὸ τῶν πραγμάτων προορᾶτε οὐ-
δέν, πρὶν ἂν ἢ γεγενημένον ἢ γιγνόμενόν τι πύθησθε.
ταῦτα δ' ἴσως πρότερον μὲν ἐνῆν· νῦν δ' ἐπ' αὐτὴν
42 ἥκει τὴν ἀκμήν, ὥστ' οὐκέτ' ἐγχωρεῖ. δοκεῖ δέ μοι θε-
ῶν τις, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς γιγνομένοις ὑπὲρ τῆς
πόλεως αἰσχυνόμενος τὴν φιλοπραγμοσύνην ταύτην
ἐμβαλεῖν Φιλίππῳ. εἰ γὰρ ἔχων ἃ κατέστραπται καὶ
προείληφεν ἡσυχίαν ἔχειν ἤθελε καὶ μηδὲν ἔπραττεν
ἔτι, ἀποχρῆν ἐνίοις ὑμῶν ἄν μοι δοκεῖ, ἐξ ὧν αἰσχύνην
καὶ ἀνανδρίαν καὶ πάντα τὰ αἴσχιστα ὠφληκότες ἂν
ἦμεν δημοσίᾳ· νῦν δ' ἐπιχειρῶν ἀεί τινι καὶ τοῦ πλεί-
ονος ὀρεγόμενος ἴσως ἂν ἐκκαλέσαιθ' ὑμᾶς, εἴπερ μὴ
43 παντάπασιν ἀπεγνώκατε. θαυμάζω δ' ἔγωγε, εἰ μηδεὶς
ὑμῶν μήτ' ἐνθυμεῖται μήτε λογίζεται, ὁρῶν, ὦ ἄνδρες
Ἀθηναῖοι, τὴν μὲν ἀρχὴν τοῦ πολέμου γεγενημένην
περὶ τοῦ τιμωρήσασθαι Φίλιππον, τὴν δὲ τελευτὴν οὖ-
σαν ἤδη ὑπὲρ τοῦ μὴ παθεῖν κακῶς ὑπὸ Φιλίππου.
ἀλλὰ μὴν ὅτι γ' οὐ στήσεται, δῆλον, εἰ μή τις κωλύσει.
εἶτα τοῦτ' ἀναμενοῦμεν, καὶ τριήρεις κενὰς καὶ τὰς πα-
ρὰ τοῦ δεῖνος ἐλπίδας ἂν ἀποστείλητε, πάντ' ἔχειν οἴε-
44 σθε καλῶς; οὐκ ἐμβησόμεθα, οὐκ ἔξιμεν αὐτοὶ μέρει
γέ τινι στρατιωτῶν οἰκείων νῦν, εἰ καὶ μὴ πρότερον;

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*οὐκ ἐπὶ τὴν ἐκείνου πλευσόμεθα; ποῖ οὖν προσορ-
μιούμεθα; ἤρετό τις. εὑρήσει τὰ σαθρά, ὦ ἄνδρες
Ἀθηναῖοι, τῶν ἐκείνου πραγμάτων αὐτὸς ὁ πόλεμος,* 53
*ἂν ἐπιχειρῶμεν· ἂν μέντοι καθώμεθα οἴκοι, λοιδορου-
μένων ἀκούοντες καὶ αἰτιωμένων ἀλλήλους τῶν λεγόν-
των, οὐδέποτ' οὐδὲν ἡμῖν μὴ γένηται τῶν δεόντων.*
45 *ὅποι μὲν γὰρ ἄν, οἶμαι, μέρος τι τῆς πόλεως συναπο-
σταλῇ, κἂν μὴ πᾶσα παρῇ, καὶ τὸ τῶν θεῶν εὐμενὲς
καὶ τὸ τῆς τύχης ἡμῖν συναγωνίζεται· ὅποι δ' ἂν στρα-
τηγὸν καὶ ψήφισμα κενὸν καὶ τὰς ἀπὸ τοῦ βήματος
ἐλπίδας ἐκπέμψητε, οὐδὲν ὑμῖν τῶν δεόντων γίγνεται,
ἀλλ' οἱ μὲν ἐχθροὶ καταγελῶσιν, οἱ δὲ σύμμαχοι τεθνᾶ-*
46 *σι τῷ δέει τοὺς τοιούτους ἀποστόλους. οὐ γάρ ἐστιν,
οὐκ ἔστιν ἕνα ἄνδρα δυνηθῆναί ποτε ταῦθ' ὑμῖν πρᾶ-
ξαι πάνθ' ὅσα βούλεσθε· ὑποσχέσθαι μέντοι καὶ φῆσαι
καὶ τὸν δεῖνα αἰτιάσασθαι καὶ τὸν δεῖνα ἔστι. τὰ δὲ
πράγματα ἐκ τούτων ἀπόλωλεν· ὅταν γὰρ ἡγῆται μὲν
ὁ στρατηγὸς ἀθλίων ἀπομίσθων ξένων, οἱ δ' ὑπὲρ ὧν
ἂν ἐκεῖνος πράξῃ πρὸς ὑμᾶς ψευδόμενοι ῥᾳδίως ἐνθάδ'
ὦσιν, ὑμεῖς δ' ἐξ ὧν ἂν ἀκούσητε ὅ τι ἂν τύχητε ψηφί-
ζησθε, τί καὶ χρὴ προσδοκᾶν;*
47 *Πῶς οὖν ταῦτα παύσεται; ὅταν ὑμεῖς, ὦ ἄνδρες
Ἀθηναῖοι, τοὺς αὐτοὺς ἀποδείξητε στρατιώτας καὶ
μάρτυρας τῶν στρατηγουμένων καὶ δικαστὰς οἴκαδ'
ἐλθόντας τῶν εὐθυνῶν, ὥστε μὴ ἀκούειν μόνον ὑμᾶς
τὰ ὑμέτερ' αὐτῶν, ἀλλὰ καὶ παρόντας ὁρᾶν. νῦν δ' εἰς
τοῦθ' ἥκει τὰ πράγματα αἰσχύνης ὥστε τῶν στρατη-
γῶν ἕκαστος δὶς καὶ τρὶς κρίνεται παρ' ὑμῖν περὶ θα-
νάτου, πρὸς δὲ τοὺς ἐχθροὺς οὐδεὶς οὐδ' ἅπαξ αὐτῶν
ἀγωνίσασθαι περὶ θανάτου τολμᾷ, ἀλλὰ τὸν ἀνδραπο-
διστῶν καὶ λωποδυτῶν θάνατον μᾶλλον αἱροῦνται τοῦ
προσήκοντος· κακούργου μὲν γάρ ἐστι κριθέντ' ἀπο-* 54

48 θανεῖν, στρατηγοῦ δὲ μαχόμενον τοῖς πολεμίοις. ἡμῶν
δ' οἱ μὲν περιιόντες μετὰ Λακεδαιμονίων φασὶ Φίλιπ-
πον πράττειν τὴν Θηβαίων κατάλυσιν καὶ τὰς πολιτεί-
ας διασπᾶν, οἱ δ' ὡς πρέσβεις πέπομφεν ὡς βασιλέα,
οἱ δ' ἐν Ἰλλυριοῖς πόλεις τειχίζειν. οἱ δὲ λόγους πλάτ-
49 τοντες ἕκαστος περιερχόμεθα. ἐγὼ δ' οἶμαι μέν, ὦ ἄν-
δρες Ἀθηναῖοι, νὴ τοὺς θεοὺς ἐκεῖνον μεθύειν τῷ με-
γέθει τῶν πεπραγμένων καὶ πολλὰ τοιαῦτα ὀνειροπο-
λεῖν ἐν τῇ γνώμῃ, τήν τ' ἐρημίαν τῶν κωλυσόντων
ὁρῶντα καὶ τοῖς πεπραγμένοις ἐπηρμένον, οὐ μέντοι
γε μὰ Δί' οὕτω προαιρεῖσθαι πράττειν ὥστε τοὺς
ἀνοητοτάτους τῶν παρ' ἡμῖν εἰδέναι τί μέλλει ποιεῖν
50 ἐκεῖνος· ἀνοητότατοι γάρ εἰσιν οἱ λογοποιοῦντες. ἀλλ'
ἂν ἀφέντες ταῦτ' ἐκεῖνο εἰδῶμεν, ὅτι ἐχθρὸς ἄνθρω-
πος καὶ τὰ ἡμέτερα ἡμᾶς ἀποστερεῖ καὶ χρόνον πολὺν
ὕβρικε, καὶ ἅπανθ' ὅσα πώποτ' ἠλπίσαμέν τινα πρά-
ξειν ὑπὲρ ἡμῶν καθ' ἡμῶν εὕρηται, καὶ τὰ λοιπὰ
ἐν αὐτοῖς ἡμῖν ἐστι, κἂν μὴ νῦν ἐθέλωμεν ἐκεῖ πο-
λεμεῖν αὐτῷ, ἐνθάδ' ἴσως ἀναγκασθησόμεθα τοῦτο
ποιεῖν, ἂν ταῦτα εἰδῶμεν, καὶ τὰ δέοντα ἐσόμεθα ἐγνω-
κότες καὶ λόγων ματαίων ἀπηλλαγμένοι· οὐ γὰρ
ἅττα ποτ' ἔσται δεῖ σκοπεῖν, ἀλλ' ὅτι φαῦλα, ἐὰν μὴ
προσέχητε τὸν νοῦν καὶ τὰ προσήκοντα ποιεῖν ἐθέλητε,
εὖ εἰδέναι.

51 Ἐγὼ μὲν οὖν οὔτ' ἄλλοτε πώποτε πρὸς χάριν εἱ-
λόμην λέγειν ὅ τι ἂν μὴ καὶ συνοίσειν ὑμῖν πεπεισμέ-
νος ὦ, νῦν τε ἃ γιγνώσκω πάνθ' ἁπλῶς, οὐδὲν ὑπο-
στειλάμενος, πεπαρρησίασμαι. ἐβουλόμην δ' ἄν, ὥσ-
περ ὅτι ὑμῖν συμφέρει τὰ βέλτιστα ἀκούειν οἶδα, οὕ-
τως εἰδέναι συνοῖσον καὶ τῷ τὰ βέλτιστα εἰπόντι· πολ-
λῷ γὰρ ἂν ἥδιον εἶπον. νῦν δ' ἐπ' ἀδήλοις οὖσι τοῖς
ἀπὸ τούτων ἐμαυτῷ γενησομένοις, ὅμως ἐπὶ τῷ συν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οίσειν ὑμῖν, ἂν πράξητε, ταῦτα πεπεῖσθαι λέγειν αἱροῦμαι. νικῴη δ᾽ ὅ τι πᾶσιν ὑμῖν μέλλει συνοίσειν.

---

V.

## ΠΕΡΙ ΤΗΣ ΕΙΡΗΝΗΣ.

### ΥΠΟΘΕΣΙΣ.

Μηκυνομένου τοῦ πολέμου τοῦ περὶ Ἀμφιπόλεως εἰρήνης
ἐπεθύμησαν ὅ τε Φίλιππος καὶ οἱ Ἀθηναῖοι, οἱ μὲν Ἀθηναῖ-
οι κακῶς ἐν τῷ πολέμῳ φερόμενοι, ὁ δὲ Φίλιππος βουλόμενος
ἃ ὑπέσχετο Θετταλοῖς τε καὶ Θηβαίοις ἐπιτελέσαι. ὑπέσχετο
δὲ τοῖς μὲν Θηβαίοις Ὀρχομενὸν παραδώσειν καὶ Κορώνειαν,
πόλεις Βοιωτίας, ἀμφοτέροις δὲ τὸν Φωκικὸν καταλύσειν πό-
λεμον. τοῦτο δὲ ἦν ἀδύνατον αὐτῷ πολεμίων ὄντων Ἀθηναί-
ων· καὶ γὰρ πρότερον βουληθεὶς εἰσβαλεῖν εἰς τὴν Φωκίδα
τῶν Ἀθηναίων περιπλευσάντων ταῖς ναυσὶν εἰς τὰς καλουμέ-
νας Πύλας, ὑπ᾽ ἐνίων δὲ Θερμοπύλας, ἀπεκρούσθη τῆς εἰσό-
δου. νῦν τοίνυν εἰρήνην ποιησάμενος πρὸς τοὺς Ἀθηναίους,
μηδενὸς κωλύσαντος παρελθὼν εἴσω Πυλῶν, τὸ Φωκέων ἔθ-
νος ἀνάστατον πεποίηκε, καὶ τὴν Φωκέων ἐν τοῖς Ἀμφικτύο-
σι χώραν καὶ τὰς ἐκείνων ἐν τῷ συνεδρίῳ ψήφους παρὰ τῶν
ἄλλων Ἑλλήνων εἴληφε. πέπομφε δὲ καὶ πρὸς Ἀθηναίους 56
πρέσβεις, ἀξιῶν καὶ αὐτοὺς ταῦτα συγχωρεῖν. καὶ ὁ Δημο-
σθένης παραινεῖ συγχωρεῖν, οὐ τῷ πράγματι συνιστάμενος
ὡς ὀρθῶς ἔχοντι, οὐδὲ δίκαιον εἶναι λέγων μετέχειν Ἑλληνι-
κοῦ συνεδρίου τὸν Μακεδόνα, ἀλλὰ δεδιέναι φάσκων μὴ κατ-
αναγκασθῶσι κοινὸν πόλεμον πρὸς ἅπαντας τοὺς Ἕλληνας
ἔχειν. προσκεκρουκέναι γὰρ λέγει τοῖς Ἀθηναίοις ἄλλους δι᾽
ἄλλας τινὰς αἰτίας, τούτους δὴ κοινῇ πολεμήσειν, εἰ αὐτοῖς
δώσομεν, φησί, κοινὴν αἰτίαν ταύτην καθ᾽ ἡμῶν, ὅτι μόνοι
τοῖς τῶν Ἀμφικτυόνων ἐνιστάμεθα δόγμασιν, ὥστε κάλλιον
τὴν εἰρήνην τηρεῖν, καὶ ταῦτα Φιλίππου παρεληλυθότος εἴ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

σω Πυλῶν καὶ ἐπελθεῖν δυναμένου τῇ Ἀττικῇ, ἢ περὶ μικροῦ τηλικοῦτον κίνδυνον ἄρασθαι.

Οὗτος δὲ ὁ λόγος παρεσκευάσθαι μὲν, οὐ μὴν εἰρῆσθαί μοι δοκεῖ. κατηγορῶν γὰρ ὁ ῥήτωρ Αἰσχίνου καὶ τοῦτο μετὰ τῶν ἄλλων αὐτοῦ διαβάλλει, ὅτι συνεβούλευε Φίλιππον Ἀμφικτύονα εἶναι ψηφίσασθαι, μηδενὸς ἄλλου τολμῶντος τοῦτο εἰσηγήσασθαι, μηδὲ Φιλοκράτους τοῦ πάντων ἀναιδεστάτου. οὐκ ἂν οὖν αὐτὸς περὶ τούτων συμβεβουλευκὼς τὸν Αἰσχίνην ἐπ' αὐτοῖς διέβαλλεν, ἀλλὰ δηλονότι τὴν ὑπόνοιαν ἔδεισε, μὴ δόξῃ φιλιππίζειν καὶ χρήμασιν ὑπὸ τοῦ βασιλέως πεισθεὶς τοιαύτην γνώμην ἀποφήνασθαι, ἐπεὶ καὶ ἐν τῷ λόγῳ πρὸς τοιαύτην τινὰ ὑπόνοιαν ἱστάμενος φαίνεται, συνιστὰς ἑαυτὸν ὡς εὔνουν τῇ πόλει καὶ ἀδωροδόκητον.

---

Ὁρῶ μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ παρόντα πρά- 57
γματα πολλὴν δυσκολίαν ἔχοντα καὶ ταραχὴν οὐ μόνον
τῷ πολλὰ προεῖσθαι καὶ μηδὲν εἶναι προὔργου περὶ
αὐτῶν εὖ λέγειν, ἀλλὰ καὶ τῷ περὶ τῶν ὑπολοίπων κα-
τὰ ταὐτὰ μηδὲ καθ' ἓν τὸ συμφέρον πάντας ἡγεῖσθαι,
2 ἀλλὰ τοῖς μὲν ὡδί, τοῖς δ' ἑτέρως δοκεῖν· δυσκόλου δ'
ὄντος φύσει καὶ χαλεποῦ τοῦ βουλεύεσθαι, ἔτι πολλῷ
χαλεπώτερον ὑμεῖς αὐτὸ πεποιήκατε, ὦ ἄνδρες Ἀθη-
ναῖοι· οἱ μὲν γὰρ ἄλλοι πάντες ἄνθρωποι πρὸ τῶν πρα-
γμάτων εἰώθασι χρῆσθαι τῷ βουλεύεσθαι, ὑμεῖς δὲ με-
τὰ τὰ πράγματα. ἐκ δὲ τούτου συμβαίνει παρὰ πάντα
τὸν χρόνον ὃν οἶδ' ἐγώ, τὸν μὲν οἷς ἂν ἁμάρτητε ἐπιτι-
μῶντα εὐδοκιμεῖν καὶ δοκεῖν εὖ λέγειν, τὰ δὲ πράγματα
3 καὶ περὶ ὧν βουλεύεσθε ἐκφεύγειν ὑμᾶς. οὐ μὴν ἀλλὰ
καίπερ τούτων οὕτως ἐχόντων οἶμαι καὶ πεπεικὼς
ἐμαυτὸν ἀνέστηκα, ἂν ἐθελήσητε τοῦ θορυβεῖν καὶ φι-
λονεικεῖν ἀποστάντες ἀκούειν, ὡς ὑπὲρ πόλεως βου-
λευομένοις καὶ τηλικούτων πραγμάτων προσήκει, ἕξειν
καὶ λέγειν καὶ συμβουλεύειν δι' ὧν καὶ τὰ παρόντ' ἔσται
βελτίω καὶ τὰ προειμένα σωθήσεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 Ἀκριβῶς δ' εἰδώς, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ λέγειν
περὶ ὧν αὐτός εἶπέ τις καὶ περὶ αὑτοῦ παρ' ὑμῖν ἀεὶ
τῶν πάνυ λυσιτελούντων τοῖς τολμῶσιν ὄν, οὕτως
ἡγοῦμαι φορτικὸν καὶ ἐπαχθὲς ὥστε ἀνάγκην οὖσαν
ὁρῶν ὅμως ἀποκνῶ. νομίζω δ' ἄμεινον ἂν ὑμᾶς περὶ 58
ὧν νῦν ἐρῶ κρῖναι, μικρὰ τῶν πρότερόν ποτε ῥηθέν-
5 των ὑπ' ἐμοῦ μνημονεύσαντας. ἐγὼ γάρ, ὦ ἄνδρες
Ἀθηναῖοι, πρῶτον μέν, ἡνίκ' ἔπειθόν τινες ὑμᾶς τῶν
ἐν Εὐβοίᾳ πραγμάτων ταραττομένων βοηθεῖν Πλου-
τάρχῳ καὶ πόλεμον ἄδοξον καὶ δαπανηρὸν ἄρασθαι,
πρῶτος καὶ μόνος παρελθὼν ἀντεῖπον καὶ μόνον οὐ
διεσπάσθην ὑπὸ τῶν ἐπὶ μικροῖς λήμμασι πολλὰ καὶ
μεγάλα ὑμᾶς ἁμαρτάνειν πεισάντων· καὶ χρόνου βρα-
χέος διελθόντος, μετὰ τοῦ προσοφλεῖν αἰσχύνην καὶ
παθεῖν οἷα τῶν ὄντων ἀνθρώπων οὐδένες πώποτε πε-
πόνθασιν ὑπὸ τούτων οἷς ἐβοήθησαν, πάντες ὑμεῖς
ἔγνωτε τήν τε τῶν τότε ταῦτα πεισάντων κακίαν καὶ
6 τὰ βέλτιστα εἰρηκότα ἐμέ. πάλιν τοίνυν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, κατιδὼν Νεοπτόλεμον τὸν ὑποκριτὴν τῷ μὲν τῆς
τέχνης προσχήματι τυγχάνοντ' ἀδείας, κακὰ δ' ἐργα-
ζόμενον τὰ μέγιστα τὴν πόλιν καὶ τὰ παρ' ὑμῶν διοι-
κοῦντα Φιλίππῳ καὶ πρυτανεύοντα, παρελθὼν εἶπον
7 εἰς ὑμᾶς, οὐδεμιᾶς ἰδίας οὔτ' ἔχθρας οὔτε συκοφαντίας
ἕνεκεν, ὡς ἐκ τῶν μετὰ ταῦτα ἔργων γέγονε δῆλον. καὶ
οὐκέτ' ἐν τούτοις αἰτιάσομαι τοὺς ὑπὲρ Νεοπτολέμου
λέγοντας (οὐδὲ εἷς γὰρ ἦν), ἀλλ' αὐτοὺς ὑμᾶς· εἰ γὰρ
ἐν Διονύσου τραγῳδοὺς ἐθεάσασθε, ἀλλὰ μὴ περὶ σω-
τηρίας καὶ κοινῶν πραγμάτων ἦν ὁ λόγος, οὐκ ἂν οὕ-
τως οὔτ' ἐκείνου πρὸς χάριν οὔτ' ἐμοῦ πρὸς ἀπέχθειαν
8 ἠκούσατε. καίτοι τοῦτό γ' ὑμᾶς οἶμαι νῦν ἅπαντας
ᾐσθῆσθαι, ὅτι τὴν τότ' ἄφιξιν εἰς τοὺς πολεμίους ἐποιή-
σατο ὑπὲρ τοῦ τἀκεῖ χρήματ' ὀφειλόμενα, ὡς ἔφη, κο- 59

μίσας δεῦρο λειτουργεῖν· καὶ τούτῳ τῷ λόγῳ πλείστῳ
χρησάμενος, ὡς δεινὸν εἴ τις ἐγκαλεῖ τοῖς ἐκεῖθεν ἐν-
θάδε τὰς εὐπορίας ἄγουσιν, ἐπειδὴ διὰ τὴν εἰρήνην
ἀδείας ἔτυχεν, ἣν ἐνθάδ' ἐκέκτητο οὐσίαν φανερὰν,
9 ταύτην ἐξαργυρίσας πρὸς ἐκεῖνον ἀπάγων ᾤχετο. δύο
μὲν δὴ ταῦτα ὧν προεῖπον ἐγὼ μαρτυρεῖ τοῖς γεγενη-
μένοις λόγοις, ὀρθῶς καὶ δικαίως, οἷά περ ἦν, ἀποφαν-
θέντα ὑπ' ἐμοῦ· τρίτον δ', ὦ ἄνδρες Ἀθηναῖοι, (καὶ
μόνον ἓν τοῦτ' εἰπὼν ἔτι καὶ δὴ περὶ ὧν παρελήλυθα
ἐρῶ,) ἡνίκα τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ἀπειλη-
10 φότες ἥκομεν οἱ πρέσβεις, τότε Θεσπιάς τινων καὶ Πλα-
ταιὰς ὑπισχνουμένων οἰκισθήσεσθαι καὶ τοὺς μὲν Φω-
κέας τὸν Φίλιππον, ἂν γένηται κύριος, σώσειν, τὴν δὲ
Θηβαίων πόλιν διοικιεῖν, καὶ τὸν Ὠρωπὸν ὑμῖν ὑπάρ-
ξειν, καὶ τὴν Εὔβοιαν ἀντ' Ἀμφιπόλεως ἀποδοθήσε-
σθαι, καὶ τοιαύτας ἐλπίδας καὶ φενακισμοὺς, οἷς ἐπα-
χθέντες ὑμεῖς οὔτε συμφόρως οὔτ' ἴσως οὔτε καλῶς
προεῖσθε Φωκέας, οὐδὲν τούτων οὔτ' ἐξαπατήσας οὔτε
σιγήσας ἐγὼ φανήσομαι, ἀλλὰ προειπὼν ὑμῖν, ὡς οἶδ'
ὅτι μνημονεύετε, ὅτι ταῦτα οὔτε οἶδα οὔτε προσδοκῶ,
νομίζω δὲ τὸν λέγοντα ληρεῖν.

11 Ταῦτα τοίνυν ἅπανθ', ὅσα φαίνομαι βέλτιον τῶν
ἄλλων προορῶν, οὐδ' εἰς μίαν, ὦ ἄνδρες Ἀθηναῖοι,
οὔτε δεινότητα οὔτε ἀλαζονείαν ἐπανοίσω, οὐδὲ προσ-
ποιήσομαι δι' οὐδὲν ἄλλο γιγνώσκειν καὶ προαισθά-
νεσθαι πλὴν δι' ἃ ἂν ὑμῖν εἴπω δύο, ἓν μὲν, ὦ ἄνδρες
Ἀθηναῖοι, δι' εὐτυχίαν, ἣν συμπάσης ἐγὼ τῆς ἐν ἀν-
12 θρώποις οὔσης δεινότητος καὶ σοφίας ὁρῶ κρατοῦσαν, 60
ἕτερον δὲ, ὅτι προῖκα τὰ πράγματα κρίνω καὶ λογίζο-
μαι, καὶ οὐδὲν λῆμμ' ἂν οὐδεὶς ἔχοι πρὸς οἷς ἐγὼ πε-
πολίτευμαι καὶ λέγω δεῖξαι προσηρτημένον. ὀρθὸν
οὖν, ὅ τι ἄν ποτ' ἀπ' αὐτῶν ὑπάρχῃ τῶν πραγμάτων,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

το συμφέρον φαίνεταί μοι. ὅταν δ' ἐπὶ θάτερα ὥσπερ
εἰς τρυτάνην ἀργύριον προσενέγκῃς, οἴχεται φέρον καὶ
καθείλκυκε τὸν λογισμὸν ἐφ' αὑτό, καὶ οὐκ ἂν ἔτ'
ὀρθῶς οὐδ' ὑγιῶς ὁ τοῦτο ποιήσας περὶ οὐδενὸς λο-
γίσαιτο.
13 Ἓν μὲν οὖν ἔγωγε πρῶτον ὑπάρχειν φημὶ δεῖν,
ὅπως εἴτε συμμάχους εἴτε σύνταξιν εἴτ' ἄλλο τι βούλε-
ταί τις κατασκευάζειν τῇ πόλει, τὴν ὑπάρχουσαν εἰρή-
νην μὴ λύων τοῦτο ποιήσει, οὐχ ὡς θαυμαστὴν οὐδ' ὡς
ἀξίαν οὖσαν ὑμῶν· ἀλλ' ὁποία τίς ποτ' ἐστὶν αὕτη, μὴ
γενέσθαι μᾶλλον εἶχε τοῖς πράγμασι καιρὸν ἢ γεγενη-
μένη νῦν δι' ἡμᾶς λυθῆναι· πολλὰ γὰρ προείμεθα, ὧν
ὑπαρχόντων τότ' ἂν ἢ νῦν ἀσφαλέστερος καὶ ῥᾴων ἦν
14 ἡμῖν ὁ πόλεμος. δεύτερον δὲ, ὁρᾶν ὅπως μὴ προαξό-
μεθα, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς συνεληλυθότας τούτους
καὶ φάσκοντας Ἀμφικτύονας νῦν εἶναι εἰς ἀνάγκην καὶ
πρόφασιν κοινοῦ πολέμου πρὸς ἡμᾶς. ἐγὼ γάρ, εἰ γέ-
νοιθ' ἡμῖν πρὸς Φίλιππον πάλιν πόλεμος δι' Ἀμφίπο-
λιν ἤ τι τοιοῦτον ἔγκλημα ἴδιον, οὗ μὴ μετέχουσι Θετ-
ταλοὶ μηδ' Ἀργεῖοι μηδὲ Θηβαῖοι, οὐκ ἂν ἡμῖν οἴομαι
15 τούτων οὐδένα πολεμῆσαι, καὶ πάντων ἥκιστα (καί μοι
μὴ θορυβήσῃ μηδεὶς πρὶν ἀκοῦσαι) Θηβαίους, οὐχ ὡς
ἡδέως ἔχουσιν ἡμῖν, οὐδ' ὡς οὐκ ἂν χαρίζοιντο Φιλίπ-
πῳ, ἀλλ' ἴσασιν ἀκριβῶς, εἰ καὶ πάνυ φήσειέ τις αὐτοὺς 61
ἀναισθήτους εἶναι, ὅτι εἰ γενήσεται πόλεμος πρὸς ὑμᾶς
αὐτοῖς, τὰ μὲν κακὰ πάνθ' ἕξουσιν αὐτοί, τοῖς δ' ἀγα-
θοῖς ἐφεδρεύων ἕτερος καθεδεῖται. οὔκουν προεῖντ'
ἂν αὑτοὺς εἰς τοῦτο, μὴ κοινῆς τῆς ἀρχῆς καὶ τῆς αἰτί-
16 ας οὔσης τοῦ πολέμου. οὐδέ γε εἰ πάλιν πρὸς τοὺς Θη-
βαίους πολεμήσαιμεν δι' Ὠρωπὸν, ἤ τι τῶν ἰδίων, οὐδὲν
ἂν ἡμᾶς παθεῖν ἡγοῦμαι· καὶ γὰρ ἡμῖν κἀκείνοις τοὺς
βοηθοῦντας ἂν οἶμαι, εἰς τὴν οἰκείαν εἴ τις ἐμβάλοι,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βοηθεῖν, οὐ συνεπιστρατεύσειν οὐδετέροις. καὶ γὰρ αἱ
συμμαχίαι τοῦτον ἔχουσι τὸν τρόπον, ὧν καὶ φροντί-
17 σειεν ἄν τις, καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν. οὐκ
ἄχρι τῆς ἴσης ἕκαστός ἐστιν εὔνους οὔθ' ἡμῖν οὔτε Θη-
βαίοις, [σῶς τε εἶναι καὶ κρατεῖν τῶν ἄλλων.] ἀλλὰ σῶς
μὲν εἶναι πάντες ἂν βούλοιντο ἕνεχ' αὑτῶν, κρατήσαν-
τας δὲ τοὺς ἑτέρους δεσπότας ὑπάρχειν αὑτῶν οὐδὲ εἷς.
τί οὖν ἡγοῦμαι φοβερὸν καὶ τί φυλάξασθαι δεῖν ἡμᾶς;
ὅπως μὴ κοινὴν πρόφασιν καὶ κοινὸν ἔγκλημα ὁ μέλ-
18 λων πόλεμος πρὸς ἅπαντας λάβῃ. εἰ γὰρ Ἀργεῖοι μὲν
καὶ Μεσσήνιοι καὶ Μεγαλοπολῖται καί τινες τῶν λοι-
πῶν Πελοποννησίων, ὅσοι ταὐτὰ τούτοις φρονοῦσι,
διὰ τὴν πρὸς Λακεδαιμονίους ἡμῖν ἐπικηρυκείαν ἐχ-
θρῶς σχήσουσι καὶ τὸ δοκεῖν ἐκδέχεσθαί τι τῶν ἐκεί-
νοις πεπραγμένων, Θηβαῖοι δ' ἔχουσι μέν, ὡς λέγουσιν,
ἀπεχθῶς, ἔτι δ' ἐχθροτέρως σχήσουσιν, ὅτι τοὺς παρ'
ἐκείνων φεύγοντας σῴζομεν καὶ πάντα τρόπον τὴν
19 δυσμένειαν ἐνδεικνύμεθ' αὐτοῖς, Θετταλοὶ δ', ὅτι τοὺς
Φωκέων φυγάδας σῴζομεν, Φίλιππος δ', ὅτι κωλύομεν
αὐτὸν κοινωνεῖν τῆς ἀμφικτυονίας, φοβοῦμαι μὴ πάν- 62
τες περὶ τῶν ἰδίων ἕκαστος ὀργιζόμενος κοινὸν ἐφ'
ἡμᾶς ἀγάγωσι τὸν πόλεμον, τὰ τῶν Ἀμφικτυόνων δό-
γματα προστησάμενοι, εἶτ' ἐπισπασθῶσιν ἕκαστοι πέ-
ρα τοῦ συμφέροντος ἑαυτοῖς ἡμῖν πολεμῆσαι, ὥσπερ
20 καὶ περὶ Φωκέας. ἴστε γὰρ δήπου τοῦθ', ὅτι νῦν Θη-
βαῖοι καὶ Φίλιππος καὶ Θετταλοὶ οὐχὶ ταὐτὰ ἕκαστοι
μάλιστα ἐσπουδακότες ταὐτὰ πάντες ἔπραξαν, οἷον
Θηβαῖοι τὸν μὲν Φίλιππον παρελθεῖν καὶ λαβεῖν τὰς
παρόδους οὐκ ἐδύναντο κωλῦσαι, οὐδέ γε τῶν αὐτοῖς
21 πεπονημένων ὕστατον ἐλθόντα τὴν δόξαν ἔχειν· νυνὶ
γὰρ Θηβαίοις πρὸς μὲν τὸ τὴν χώραν κεκομίσθαι κάλ-
λιστα πέπρακται, πρὸς δὲ τιμὴν καὶ δόξαν αἴσχιστα·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ γὰρ μὴ παρῆλθε Φίλιππος, οὐδὲν ἂν αὐτοῖς ἐδόκει
πλέον εἶναι. ταῦτα δ᾿ οὐκ ἐβούλοντο, ἀλλὰ τῷ τὸν
Ὀρχομενὸν καὶ τὴν Κορώνειαν λαβεῖν ἐπιθυμεῖν, μὴ
22 δύνασθαι δέ, πάντα ταῦθ᾿ ὑπέμειναν. Φίλιππον τοί-
νυν τινὲς μὲν δήπου τολμῶσι λέγειν ὡς οὐδ᾿ ἐβούλετο
Θηβαίοις Ὀρχομενὸν καὶ Κορώνειαν παραδοῦναι, ἀλλ᾿
ἠναγκάσθη· ἐγὼ δὲ τούτοις μὲν ἐρρῶσθαι λέγω, ἐκεῖ-
νο δὲ οἶδ᾿, ὅτι οὐ μᾶλλόν γε ταῦτ᾿ ἔμελεν αὐτῷ ἢ τὰς
παρόδους λαβεῖν ἐβούλετο καὶ τὴν δόξαν τοῦ πολέμου
τοῦ δοκεῖν δι᾿ αὐτὸν κρίσιν εἰληφέναι, καὶ τὰ Πύθια
23 θεῖναι δι᾿ αὑτοῦ· καὶ ταῦτ᾿ ἦν ὧν μάλιστ᾿ ἐγλίχετο. Θετ-
ταλοὶ δέ γε οὐδέτερ᾿ ἐβούλοντο τούτων, οὔτε Θηβαίους
οὔτε τὸν Φίλιππον μέγαν γίγνεσθαι (ταῦτα γὰρ πάντ᾿
ἐφ᾿ ἑαυτοὺς ἡγοῦντο εἶναι,) τῆς πυλαίας δ᾿ ἐπεθύμουν
καὶ τῶν ἐν Δελφοῖς, πλεονεκτημάτων δυοῖν, κύριοι γε- 63
νέσθαι· τῷ δὲ τούτων γλίχεσθαι τάδε συγκατέπραξαν.
τῶν τοίνυν ἰδίων ἕνεχ᾿ εὑρήσετε ἕκαστον πολλὰ προη-
γμένον ὧν οὐδὲν ἐβούλετο πρᾶξαι. τοῦτο μέντοι, ὅτι
τοιοῦτόν ἐστι, φυλακτέον ἡμῖν.

24 Τὰ κελευόμενα ἡμᾶς ἄρα δεῖ ποιεῖν ταῦτα φοβου-
μένους; καὶ σὺ ταῦτα κελεύεις; πολλοῦ γε καὶ δέω. ἀλλ᾿
ὡς οὔτε πράξομεν οὐδὲν ἀνάξιον ἡμῶν αὐτῶν οὔτ᾿
ἔσται πόλεμος, νοῦν δὲ δόξομεν πᾶσιν ἔχειν καὶ τὰ δί-
καια λέγειν, τοῦτ᾿ οἶμαι δεῖν ποιεῖν. πρὸς δὲ τοὺς θρα-
σέως ὁτιοῦν οἰομένους ὑπομένειν δεῖν καὶ μὴ προορω-
μένους τὸν πόλεμον ἐκεῖνα βούλομαι λογίσασθαι. ἡμεῖς
Θηβαίους ἐῶμεν ἔχειν Ὠρωπόν· καὶ εἴ τις ἔροιτο ἡμᾶς,
κελεύσας εἰπεῖν τἀληθῆ, διὰ τί; ἵνα μὴ πολεμῶμεν,
25 φαῖμεν ἄν. καὶ Φιλίππῳ νυνὶ κατὰ τὰς συνθήκας Ἀμ-
φιπόλεως παρακεχωρήκαμεν, καὶ Καρδιανοὺς ἐῶμεν
ἔξω Χερρονησιτῶν τῶν ἄλλων τετάχθαι, καὶ τὸν Κᾶρα
τὰς νήσους καταλαμβάνειν, Χίον καὶ Κῶν καὶ Ῥόδον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὶ Βυζαντίους κατάγειν τὰ πλοῖα, δῆλον ὅτι τὴν ἀπὸ ῆς εἰρήνης ἡσυχίαν πλειόνων ἀγαθῶν αἰτίαν εἶναι νοίζοντες ἢ τὸ προσκρούειν καὶ φιλονεικεῖν περὶ τούων. οὐκοῦν εὔηθες καὶ κομιδῇ σχέτλιον, πρὸς ἑκάτους καθ' ἕνα οὕτω προσενηνεγμένους περὶ τῶν οἰείων καὶ ἀναγκαιοτάτων, πρὸς πάντας περὶ τῆς ἐν Δελφοῖς σκιᾶς νυνὶ πολεμῆσαι.

---

VI.

# ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Β.

## ΥΠΟΘΕΣΙΣ.

Παραινεῖ διὰ τούτου τοῦ λόγου τοῖς Ἀθηναίοις ὁ ῥήτωρ πο- 64
έμιον ὑποπτεύειν τὸν Φίλιππον καὶ τῇ εἰρήνῃ μὴ πάνυ πιτεύειν, ἀλλὰ ἐγείρεσθαι καὶ προσέχειν τὸν νοῦν τοῖς πράμασι καὶ εὐτρεπίζεσθαι πρὸς πόλεμον· ἐπιβουλεύειν γὰρ αἰᾶται καὶ τοῖς Ἀθηναίοις καὶ πᾶσι τοῖς Ἕλλησι τὸν Φίλιπον, καὶ τοῦτο αὐτοῦ καταμαρτυρεῖν τὰς πράξεις φησίν. παγγέλλεται δὲ καὶ ἀποκρίσεις δώσειν πρός τινας πρέσβεις κοντας, ἀπορούντων τῶν Ἀθηναίων ὅ τι ποτε ἀποκρίνασθαι εῖ. πόθεν δὲ οὗτοι καὶ περὶ τίνων ἥκουσιν, ἐν τῷ λόγῳ μὲν ὁ δηλοῦται, ἐκ δὲ τῶν Φιλιππικῶν ἱστοριῶν μαθεῖν δυναόν. κατὰ γὰρ τοῦτον τὸν καιρὸν ἔπεμψε πρέσβεις ὁ Φίλιπος πρὸς τοὺς Ἀθηναίους, αἰτιώμενος ὅτι διαβάλλουσιν αὐὸν μάτην πρὸς τοὺς Ἕλληνας ὡς ἐπαγγειλάμενον αὐτοῖς ολλὰ καὶ μεγάλα, ψευσάμενον δέ· οὐδὲν γὰρ ὑπεσχῆσθαί ησιν οὐδὲ ἐψεῦσθαι, καὶ περὶ τούτων ἐλέγχους ἀπαιτεῖ. πεμψαν δὲ μετὰ Φιλίππου καὶ Ἀργεῖοι καὶ Μεσσήνιοι πρέβεις εἰς Ἀθήνας, αἰτιώμενοι καὶ οὗτοι τὸν δῆμον ὅτι Λακεαιμονίοις καταδουλουμένοις τὴν Πελοπόννησον εὔνους τέ στι καὶ συγκροτεῖ, αὐτοῖς δὲ περὶ ἐλευθερίας πολεμοῦσιν ναντιοῦται. ἀποροῦσιν οὖν οἱ Ἀθηναῖοι καὶ πρὸς τὸν Φί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιππον ἀποκρίσεως καὶ πρὸς τὰς πόλεις· πρὸς μὲν τὰς πόλεις ὅτι εὖνοι μέν εἰσι Λακεδαιμονίοις καὶ τὴν τῶν Ἀργείων κα Μεσσηνίων μετὰ Φιλίππου σύστασιν καὶ μισοῦσι καὶ ὑπο πτεύουσιν, οὐ μὴν ἀποφήνασθαι δύνανται δίκαια πράττει τοὺς Λακεδαιμονίους· πρὸς δὲ τὸν Φίλιππον, ὅτι διημαρτή κασι μὲν ὧν ἤλπισαν, οὐ μὴν ὑπ' ἐκείνου γε αὐτοῦ δοκοῦσι ἐξηπατῆσθαι· οὔτε γὰρ ταῖς ἐπιστολαῖς ἐνέγραψεν ὁ Φίλιπ πος ἐπαγγελίαν οὐδεμίαν, οὔτε διὰ τῶν ἰδίων πρέσβεω ἐποιήσατό τινα ὑπόσχεσιν, ἀλλὰ Ἀθηναίων τινὲς ἦσαν οἱ τὸ δῆμον εἰς ἐλπίδα καταστήσαντες ὡς Φίλιππος Φωκέας σώ σει καὶ τὴν Θηβαίων ὕβριν καταλύσει. διὰ τοῦτο ὁ Δημο σθένης τῶν ἀποκρίσεων μνησθεὶς ἐπαγγέλλεται μὲν αὐτὰ δώσειν, φησὶ δὲ ὅτι δίκαιον ἦν τοὺς τὴν δυσχέρειαν πεποιη κότας ἐκείνους καὶ τὰς ἀποκρίσεις ἀπαιτεῖσθαι, τοὺς ἀπατή σαντας, φησί, τὸν δῆμον καὶ ἀνοίξαντας Φιλίππῳ Πύλας ταῦτα δὲ εἰς τὸν Αἰσχίνην αἰνίττεται, προκατασκευαζόμενος ὥς φασι, τὴν κατ' αὐτοῦ κατηγορίαν τῆς παραπρεσβείας ἣν ὕστερον ἐνεστήσατο, καὶ προδιαβάλλων αὐτὸν πρὸς τοὺ Ἀθηναίους.

---

Ὅταν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγοι γίγνωνται περ ὧν Φίλιππος πράττει καὶ βιάζεται παρὰ τὴν εἰρήνην ἀεὶ τοὺς ὑπὲρ ἡμῶν λόγους καὶ δικαίους καὶ φιλανθρώ πους ὁρῶ φαινομένους, καὶ λέγειν μὲν ἅπαντας ἀεὶ τ δέοντα δοκοῦντας τοὺς κατηγοροῦντας Φιλίππου, γι γνόμενον δ' οὐδὲν ὡς ἔπος εἰπεῖν τῶν δεόντων οὐδ

2 ὧν ἕνεκα ταῦτ' ἀκούειν ἄξιον· ἀλλ' εἰς τοῦτο ἤδη προη γμένα τυγχάνει πάντα τὰ πράγματα τῇ πόλει ὥστ ὅσῳ τις ἂν μᾶλλον καὶ φανερώτερον ἐξελέγχῃ Φίλιπ πον καὶ τὴν πρὸς ὑμᾶς εἰρήνην παραβαίνοντα καὶ πᾶσ τοῖς Ἕλλησιν ἐπιβουλεύοντα, τοσούτῳ τὸ τί χρὴ ποιεῖ

3 συμβουλεῦσαι χαλεπώτεροι εἶναι. αἴτιον δὲ τούτων ὅτι πάντας, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πλεονεκτεῖν ζη τοῦντας ἔργῳ κωλύειν καὶ πράξεσιν, οὐχὶ λόγοις δέοι πρῶτον μὲν ἡμεῖς οἱ παριόντες τούτων μὲν ἀφέσταμεν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ιαὶ γράφειν καὶ συμβουλεύειν, τὴν πρὸς ὑμᾶς ἀπε-
χθειαν ὀκνοῦντες, οἷα ποιεῖ δὲ, ὡς δεινὰ καὶ χαλεπὰ,
καὶ τοιαῦτα διεξερχόμεθα· ἐπειθ' ὑμεῖς οἱ καθήμενοι,
ὡς μὲν ἂν εἴποιτε δικαίους λόγους καὶ λέγοντος ἄλλου
συνείητε, ἄμεινον Φιλίππου παρεσκεύασθε, ὡς δὲ κω-
λύσαιτ' ἂν ἐκεῖνον πράττειν ταῦτα ἐφ' ὧν ἐστι νῦν,
παντελῶς ἀργῶς ἔχετε. συμβαίνει δὴ πρᾶγμα ἀναγ-
καῖον, οἶμαι, καὶ ἴσως εἰκός· ἐν οἷς ἑκάτεροι διατρίβετε
καὶ περὶ ἃ σπουδάζετε, ταῦτ' ἄμεινον ἑκατέροις ἔχει,
ἐκείνῳ μὲν αἱ πράξεις, ὑμῖν δ' οἱ λόγοι. εἰ μὲν οὖν καὶ
νῦν λέγειν δικαιότερα ὑμῖν ἐξαρκεῖ, ῥᾴδιον, καὶ πόνος
οὐδεὶς πρόσεστι τῷ πράγματι· εἰ δ' ὅπως τὰ παρόντ'
ἐπανορθωθήσεται δεῖ σκοπεῖν καὶ μὴ προελθόντα ἔτι
πορρωτέρω λήσει πάνθ' ἡμᾶς, μηδ' ἐπιστήσεται μέγε-
θος δυνάμεως πρὸς ἣν οὐδ' ἀνταῖραι δυνησόμεθα, οὐχ
ὁ αὐτὸς τρόπος ὅσπερ πρότερον τοῦ βουλεύεσθαι, ἀλ-
λὰ καὶ τοῖς λέγουσιν ἅπασι καὶ τοῖς ἀκούουσιν ὑμῖν
τὰ βέλτιστα καὶ τὰ σώσοντα τῶν ῥᾴστων καὶ τῶν ἡδί-
στων προαιρετέον.

Πρῶτον μὲν, εἴ τις, ὦ ἄνδρες Ἀθηναῖοι, θαρρεῖ
ὁρῶν ἡλίκος ἤδη καὶ ὅσων κύριός ἐστι Φίλιππος, καὶ 67
μηδένα οἴεται κίνδυνον φέρειν τοῦτο τῇ πόλει μηδ' ἐφ'
ὑμᾶς πάντα παρασκευάζεσθαι, θαυμάζω, καὶ δεηθῆναι
πάντων ὁμοίως ὑμῶν βούλομαι τοὺς λογισμοὺς ἀκοῦ-
σαί μου διὰ βραχέων, δι' οὓς τἀναντία ἐμοὶ παρέστηκε
προσδοκᾶν καὶ δι' ὧν ἐχθρὸν ἡγοῦμαι Φίλιππον, ἵν'
ἐὰν μὲν ἐγὼ δοκῶ βέλτιον προορᾶν, ἐμοὶ πεισθῆτε, ἂν
δ' οἱ θαρροῦντες καὶ πεπιστευκότες αὐτῷ, τούτοις προσ-
θῆσθε. ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, λογίζομαι, τί-
νων ὁ Φίλιππος κύριος πρῶτον μετὰ τὴν εἰρήνην κατ-
έστη; Πυλῶν καὶ τῶν ἐν Φωκεῦσι πραγμάτων. τί οὖν;
πῶς τούτοις ἐχρήσατο; ἃ Θηβαίοις συμφέρει καὶ οὐχ ἃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τῇ πόλει, πράττειν προείλετο. τί δήποτε; ὅτι πρὸς
πλεονεξίαν, οἶμαι, καὶ τὸ πάνθ' ὑφ' αὑτῷ ποιήσασθαι
τοὺς λογισμοὺς ἐξετάζων, καὶ οὐχὶ πρὸς εἰρήνην οὐδ'
8 ἡσυχίαν οὐδὲ δίκαιον οὐδὲν, εἶδε τοῦτο ὀρθῶς, ὅτι τῇ
μὲν ἡμετέρᾳ πόλει καὶ τοῖς ἤθεσι τοῖς ἡμετέροις οὐδὲν
ἂν ἐνδείξαιτο τοιοῦτον οὐδὲ ποιήσειεν, ὑφ' οὗ πεισθέν-
τες ὑμεῖς τῆς ἰδίας ἕνεκ' ὠφελείας τῶν ἄλλων τινὰς Ἑλ-
λήνων ἐκείνῳ προεῖσθε, ἀλλὰ καὶ τοῦ δικαίου λόγον
ποιούμενοι, καὶ τὴν προσοῦσαν ἀδοξίαν τῷ πράγματι
φεύγοντες, καὶ πάνθ' ἃ προσήκει προορώμενοι, ὁμοί-
ως ἐναντιώσεσθε, ἄν τι τοιοῦτον ἐπιχειρῇ πράττειν,
ὥσπερ ἂν εἰ πολεμοῦντες τύχοιτε. τοὺς δὲ Θηβαίους
9 ἡγεῖτο, ὅπερ συνέβη, ἀντὶ τῶν ἑαυτοῖς γιγνομένων τὰ
λοιπὰ ἐάσειν ὅπως βούλεται πράττειν ἑαυτὸν, καὶ οὐχ
ὅπως ἀντιπράξειν καὶ διακωλύσειν, ἀλλὰ καὶ συστρα-
τεύσειν, ἂν αὐτοὺς κελεύῃ. καὶ νῦν τοὺς Μεσσηνίους
καὶ τοὺς Ἀργείους ταὐτὰ ὑπειληφὼς εὖ ποιεῖ. ὃ καὶ
μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον, ὦ ἄνδρες Ἀθη-
10 ναῖοι· κέκρισθε γὰρ ἐκ τούτων τῶν ἔργων μόνοι τῶν
πάντων μηδενὸς ἂν κέρδους τὰ κοινὰ δίκαια τῶν Ἑλ-
λήνων προέσθαι, μηδ' ἀνταλλάξασθαι μηδεμιᾶς χάρι-
τος μηδ' ὠφελείας τὴν εἰς τοὺς Ἕλληνας εὔνοιαν. καὶ
ταῦτ' εἰκότως καὶ περὶ ὑμῶν οὕτως ὑπείληφε καὶ κατ'
Ἀργείων καὶ Θηβαίων ὡς ἑτέρως, οὐ μόνον εἰς τὰ παρ-
11 όντα ὁρῶν, ἀλλὰ καὶ τὰ πρὸ τούτων λογιζόμενος. εὑ-
ρίσκει γὰρ, οἶμαι, καὶ ἀκούει τοὺς μὲν ὑμετέρους προ-
γόνους, ἐξὸν αὐτοῖς τῶν λοιπῶν ἄρχειν Ἑλλήνων ὥστ'
αὐτοὺς ὑπακούειν βασιλεῖ, οὐ μόνον οὐκ ἀνασχομένους
τὸν λόγον τοῦτον, ἡνίκ' ἦλθεν Ἀλέξανδρος ὁ τούτων
πρόγονος περὶ τούτων κῆρυξ, ἀλλὰ καὶ τὴν χώραν
ἐκλιπεῖν προελομένους καὶ παθεῖν ὁτιοῦν ὑπομείναν-
τας, καὶ μετὰ ταῦτα πράξαντας ταῦθ' ἃ πάντες μὲν ἀεὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γλίχονται λέγειν, ἀξίως δ' οὐδεὶς εἰπεῖν δεδύνηται, διό-
περ κἀγὼ παραλείψω δικαίως (ἔστι γὰρ μείζω τἀκείνων
ἔργα ἢ ὡς τῷ λόγῳ τις ἂν εἴποι), τοὺς δὲ Θηβαίων καὶ
Ἀργείων προγόνους τοὺς μὲν συστρατεύσαντας τῷ
12 βαρβάρῳ, τοὺς δ' οὐκ ἐναντιωθέντας. οἶδεν οὖν ἀμ-
φοτέρους ἰδίᾳ τὸ λυσιτελοῦν ἀγαπήσοντας, οὐχ ὅ τι συν-
οίσει κοινῇ τοῖς Ἕλλησι σκεψομένους. ἡγεῖτ' οὖν, εἰ
μὲν ὑμᾶς ἕλοιτο φίλους, ἐπὶ τοῖς δικαίοις αἱρήσεσθαι,
εἰ δ' ἐκείνοις προσθεῖτο, συνεργοὺς ἕξειν τῆς αὑτοῦ
πλεονεξίας. διὰ ταῦτ' ἐκείνους ἀνθ' ὑμῶν καὶ τότε καὶ
νῦν αἱρεῖται. οὐ γὰρ δὴ τριήρεις γε ὁρᾷ πλείους αὐτοῖς
ἢ ὑμῖν οὔσας· οὐδ' ἐν μὲν τῇ μεσογείᾳ τιν' ἀρχὴν εὕρη- 69
κε, τῆς δ' ἐπὶ τῇ θαλάττῃ καὶ τῶν ἐμπορίων ἀφέστηκεν·
οὐδ' ἀμνημονεῖ τοὺς λόγους οὐδὲ τὰς ὑποσχέσεις, ἐφ'
αἷς τῆς εἰρήνης ἔτυχεν.

13 Ἀλλὰ νὴ Δί', εἴποι τις ἂν ὡς πάντα ταῦτ' εἰδώς,
οὐ πλεονεξίας ἕνεκεν οὐδ' ὧν ἐγὼ κατηγορῶ τότε ταῦτ'
ἔπραξεν, ἀλλὰ τῷ δικαιότερα τοὺς Θηβαίους ἢ ὑμᾶς
ἀξιοῦν· ἀλλὰ τοῦτον καὶ μόνον πάντων τῶν λόγων οὐκ
ἔνεστιν αὐτῷ νῦν εἰπεῖν· ὁ γὰρ Μεσσήνην Λακεδαιμο-
νίους ἀφιέναι κελεύων πῶς ἂν Ὀρχομενὸν καὶ Κορώ-
νειαν τότε Θηβαίοις παραδοὺς τῷ δίκαια νομίζειν ταῦτ'
εἶναι πεποιηκέναι σκήψαιτο;

14 Ἀλλ' ἐβιάσθη νὴ Δία (τοῦτο γὰρ ἔσθ' ὑπόλοιπον)
καὶ παρὰ γνώμην, τῶν Θετταλῶν ἱππέων καὶ τῶν Θη-
βαίων ὁπλιτῶν ἐν μέσῳ ληφθείς, συνεχώρησε ταῦτα
καλῶς. οὐκοῦν φασὶ μὲν μέλλειν πρὸς τοὺς Θηβαίους
αὐτὸν ὑπόπτως ἔχειν, καὶ λογοποιοῦσι περιιόντες τινὲς
15 ὡς Ἐλάτειαν τειχιεῖ· ὁ δὲ ταῦτα μὲν μέλλει καὶ μελλή-
σει γε, ὡς ἐγὼ κρίνω, τοῖς Μεσσηνίοις δὲ καὶ τοῖς Ἀρ-
γείοις ἐπὶ τοὺς Λακεδαιμονίους συμβάλλειν οὐ μέλλει,
ἀλλὰ καὶ ξένους εἰσπέμπει καὶ χρήματ' ἀποστέλλει καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύναμιν μεγάλην ἔχων αὐτός ἐστι προσδόκιμος. του
μὲν ὄντας ἐχθροὺς Θηβαίων Λακεδαιμονίους ἀναιρε
οὓς δ' ἀπώλεσεν αὐτὸς πρότερον Φωκέας νῦν σώζει
16 καὶ τίς ἂν ταῦτα πιστεύσειεν; ἐγὼ μὲν γὰρ οὐκ ἂ
ἡγοῦμαι Φίλιππον, οὔτ' εἰ τὰ πρῶτα βιασθεὶς ἄκω
ἔπραξεν οὔτ' ἂν εἰ νῦν ἀπεγίγνωσκε Θηβαίους, τοῖ
ἐκείνων ἐχθροῖς συνεχῶς ἐναντιοῦσθαι, ἀλλ' ἀφ' ὧ
νῦν ποιεῖ, κἀκεῖνα ἐκ προαιρέσεως δῆλός ἐστι ποιήσα
ἐκ πάντων δ', ἄν τις ὀρθῶς θεωρῇ, πάντα πραγματεύε
17 ται κατὰ τῆς πόλεως συντάττων. καὶ τοῦτ' ἐξ ἀνάγκη
τρόπον τιν' αὐτῷ νῦν γε δὴ συμβαίνει. λογίζεσθε γάρ
ἄρχειν βούλεται, τούτου δ' ἀνταγωνιστὰς μόνους ὑπει
ληφεν ὑμᾶς. ἀδικεῖ πολὺν ἤδη χρόνον, καὶ τοῦτο αὐ
τὸς ἄριστα σύνοιδεν αὑτῷ· οἷς γὰρ οὖσιν ὑμετέροι
ἔχει, τούτοις πάντα τἄλλα ἀσφαλῶς κέκτηται· εἰ γὰ
Ἀμφίπολιν καὶ Ποτίδαιαν προεῖτο, οὐδ' ἂν οἴκοι μένει
18 βεβαίως ἡγεῖτο. ἀμφότερα οὖν οἶδε, καὶ αὑτὸν ὑμῖ
ἐπιβουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους· εὖ φρονεῖν
ὑμᾶς ὑπολαμβάνων, δικαίως ἂν αὑτὸν μισεῖν νομίζ
καὶ παρώξυνται, πείσεσθαί τι προσδοκῶν, ἂν καιρὸ
19 λάβητε, ἂν μὴ φθάσῃ ποιήσας πρότερος. διὰ ταῦ
ἐγρήγορεν, ἐφέστηκεν, ἐπὶ τῇ πόλει θεραπεύει τινὰ
Θηβαίους καὶ Πελοποννησίων τοὺς ταὐτὰ βουλομένου
τούτοις, οὓς διὰ μὲν πλεονεξίαν τὰ παρόντα ἀγαπήσει
οἴεται, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτ' οὐδὲ
προόψεσθαι. καίτοι σωφρονοῦσί γε καὶ μετρίως ἐνα
γῆ παραδείγματ' ἔστιν ἰδεῖν, ἃ καὶ πρὸς Μεσσηνίου
καὶ πρὸς Ἀργείους ἔμοιγ' εἰπεῖν συνέβη, βέλτιον δ' ἴσ
καὶ πρὸς ὑμᾶς ἐστιν εἰρῆσθαι.
20 Πῶς γὰρ οἴεσθ', ἔφην, ὦ ἄνδρες Μεσσήνιοι, δυσχε
ρῶς ἀκούειν Ὀλυνθίους, εἴ τίς τι λέγοι κατὰ Φιλίππο
κατ' ἐκείνους τοὺς χρόνους, ὅτ' Ἀνθεμοῦντα μὲν αὐτοῖ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἠφίει, ἧς πάντες οἱ πρότερον Μακεδονίας βασιλεῖς ἀντ-
εποιοῦντο, Ποτίδαιαν δ' ἐδίδου τοὺς Ἀθηναίων ἀποί-
κους ἐκβάλλων, καὶ τὴν μὲν ἔχθραν τὴν πρὸς ἡμᾶς αὐ- 71
τὸς ἀνῄρητο, τὴν χώραν δ' ἐκείνοις ἐδεδώκει καρποῦ-
σθαι; ἆρα προσδοκᾶν αὐτοὺς τοιαῦτα πείσεσθαι. ἢ λέ-
21 γοντος ἄν τινος πιστεῦσαι οἴεσθε; ἀλλ' ὅμως, ἔφην
ἐγώ, μικρὸν χρόνον τὴν ἀλλοτρίαν καρπωσάμενοι πο-
λὺν τῆς αὑτῶν ὑπ' ἐκείνου στέρονται, αἰσχρῶς ἐκπε-
σόντες, οὐ κρατηθέντες μόνον, ἀλλὰ καὶ προδοθέντες
ὑπ' ἀλλήλων καὶ πραθέντες· οὐ γὰρ ἀσφαλεῖς ταῖς πο-
22 λιτείαις αἱ πρὸς τοὺς τυράννους αὗται λίαν ὁμιλίαι. τί
δ' οἱ Θετταλοί; ἆρ' οἴεσθ', ἔφην, ὅτ' αὐτοῖς τοὺς τυ-
ράννους ἐξέβαλλε καὶ πάλιν Νίκαιαν καὶ Μαγνησίαν
ἐδίδου, προσδοκᾶν τὴν καθεστῶσαν νῦν δεκαδαρχίαν
ἔσεσθαι παρ' αὐτοῖς; ἢ τὸν τὴν πυλαίαν ἀποδόντα
τοῦτον τὰς ἰδίας αὐτῶν προσόδους παραιρήσεσθαι,
οὐκ ἔστι ταῦτα. ἀλλὰ μὴν γέγονε ταῦτα καὶ πᾶσιν ἔστιν
23 εἰδέναι. ὑμεῖς δ', ἔφην ἐγώ, διδόντα μὲν καὶ ὑπισχνού-
μενον θεωρεῖτε Φίλιππον, ἐξηπατηκότα δ' ἤδη καὶ πα-
ρακεκρουμένον ἀπεύχεσθε, εἰ σωφρονεῖτε δή, ἰδεῖν.
ἔστι τοίνυν νὴ Δί', ἔφην ἐγώ, παντοδαπὰ εὑρημένα ταῖς
πόλεσι πρὸς φυλακὴν καὶ σωτηρίαν, οἷον χαρακώματα
24 καὶ τείχη καὶ τάφροι καὶ τἄλλ' ὅσα τοιαῦτα. καὶ ταῦτα
μέν ἐστιν ἅπαντα χειροποίητα, καὶ δαπάνης προσδεῖ-
ται· ἓν δέ τι κοινὸν ἡ φύσις τῶν εὖ φρονούντων ἐν αὑ-
τῇ κέκτηται φυλακτήριον, ὃ πᾶσι μέν ἐστιν ἀγαθὸν καὶ
σωτήριον, μάλιστα δὲ τοῖς πλήθεσι πρὸς τοὺς τυράν-
νους. τί οὖν ἐστι τοῦτο; ἀπιστία. ταύτην φυλάττετε,
ταύτης ἀντέχεσθε· ἂν ταύτην σώζητε, οὐδὲν μὴ δεινὸν
25 πάθητε. τί ζητεῖτ'; ἔφην. ἐλευθερίαν. εἶτ' οὐχ ὁρᾶ-
τε Φίλιππον ἀλλοτριωτάτας ταύτῃ καὶ τὰς προσηγο- 72
ρίας ἔχοντα; βασιλεὺς γὰρ καὶ τύραννος ἅπας ἐχ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θρὸς ἐλευθερίᾳ καὶ νόμοις ἐναντίος. οὐ φυλάξεσθ'
ὅπως, ἔφην, μὴ πολέμου ζητοῦντες ἀπαλλαγῆναι δε-
σπότην εὕρητε;
26 Ταῦτ' ἀκούσαντες ἐκεῖνοι, καὶ θορυβοῦντες ὡς ὀρ-
θῶς λέγεται, καὶ πολλοὺς ἑτέρους λόγους παρὰ τῶν
πρέσβεων καὶ παρόντος ἐμοῦ καὶ πάλιν ὕστερον, ὡς
ἔοικεν, οὐδὲν μᾶλλον ἀποσχήσονται τῆς Φιλίππου φι-
27 λίας οὐδ' ὧν ἐπαγγέλλεται. καὶ οὐ τοῦτ' ἔστιν ἄτοπον,
εἰ Μεσσήνιοι καὶ Πελοποννησίων τινὲς παρ' ἃ τῷ λογι-
σμῷ βέλτισθ' ὁρῶσί τι πράξουσιν, ἀλλ' εἰ ὑμεῖς οἱ καὶ
συνιέντες αὐτοὶ καὶ τῶν λεγόντων ἀκούοντες ἡμῶν ὡς
ἐπιβουλεύεσθε, ὡς περιστοιχίζεσθε, ἐκ τοῦ μηδὲν ἤδη
ποιεῖν λήσεθ', ὡς ἐμοὶ δοκεῖ, πάνθ' ὑπομείναντες· οὕ-
τως ἡ παραυτίχ' ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ
ποθ' ὕστερον συνοίσειν μέλλοντος.
28 Περὶ μὲν δὴ τῶν ὑμῖν πρακτέων καθ' ὑμᾶς αὐ-
τοὺς ὕστερον βουλεύσεσθε, ἂν σωφρονῆτε· ἃ δὲ νῦν
ἀποκρινάμενοι τὰ δέοντ' ἂν εἴητ' ἐψηφισμένοι, ταῦτ'
ἤδη λέξω.

## ΑΠΟΚΡΙΣΙΣ.

Ἦν μὲν οὖν δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς
ἐνεγκόντας τὰς ὑποσχέσεις, ἐφ' αἷς ἐπείσθητε ποιήσα-
29 σθαι τὴν εἰρήνην, καλεῖν· οὔτε γὰρ αὐτὸς ἄν ποτε ὑπέ-
μεινα πρεσβεύειν, οὔτ' ἂν ὑμεῖς οἶδ' ὅτι ἐπαύσασθε πο-
λεμοῦντες, εἰ τοιαῦτα πράξειν τυχόντ' εἰρήνης Φίλιπ-
πον ᾤεσθε· ἀλλ' ἦν πολὺ τούτων ἀφεστηκότα τὰ τότε
λεγόμενα. καὶ πάλιν γ' ἑτέρους καλεῖν. τίνας; τοὺς ὅτ'
ἐγὼ γεγονυίας ἤδη τῆς εἰρήνης ἀπὸ τῆς ὑστέρας ἥκων
πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, αἰσθόμενος φενακιζο- 73
μένην τὴν πόλιν, προὔλεγον καὶ διεμαρτυρόμην καὶ
30 οὐκ εἴων προέσθαι Πύλας οὐδὲ Φωκέας, λέγοντας ὡς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γὼ μὲν ὕδωρ πίνων εἰκότως δύστροπος καὶ δύσκολος
ἰμί τις ἄνθρωπος, Φίλιππος δ', ἅπερ εὔξαισθ' ἂν
ὑμεῖς, ἐὰν παρέλθῃ, πράξει, καὶ Θεσπιὰς μὲν καὶ Πλα-
ταιὰς τειχιεῖ, Θηβαίους δὲ παύσει τῆς ὕβρεως, Χερρό-
νησον δὲ τοῖς αὐτοῦ τέλεσι διορύξει, Εὔβοιαν δὲ καὶ
τὸν Ὠρωπὸν ἀντ' Ἀμφιπόλεως ὑμῖν ἀποδώσει· ταῦτα
γὰρ ἅπαντα ἐπὶ τοῦ βήματος ἐνταυθὶ μνημονεύετ'
οἶδ' ὅτι ῥηθέντα, καίπερ ὄντες οὐ δεινοὶ τοὺς ἀδικοῦν-
τας μεμνῆσθαι. καὶ τὸ πάντων αἴσχιστον, καὶ τοῖς ἐκ-
γόνοις πρὸς τὰς ἐλπίδας τὴν αὐτὴν εἰρήνην εἶναι ταύ-
την ἐψηφίσασθε· οὕτω τελέως ὑπήχθητε. τί δὴ ταῦτα
νῦν λέγω καὶ καλεῖν φημὶ δεῖν τούτους; ἐγὼ νὴ τοὺς
θεοὺς τἀληθῆ μετὰ παρρησίας ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ
ἀποκρύψομαι, οὐχ ἵν' εἰς λοιδορίαν ἐμπεσὼν ἐμαυτῷ
μὲν ἐξ ἴσου λόγον παρ' ὑμῖν ποιήσω, τοῖς δ' ἐμοὶ προσ-
κρούσασιν ἐξ ἀρχῆς καινὴν παράσχω πρόφασιν τοῦ
πάλιν τι λαβεῖν παρὰ Φιλίππου, οὐδ' ἵνα τὴν ἄλλως
ἀδολεσχῶ. ἀλλ' οἶμαί ποθ' ὑμᾶς λυπήσειν ἃ Φίλιππος
πράττει μᾶλλον ἢ τὰ νυνί· τὸ γὰρ πρᾶγμ' ὁρῶ προβαῖ-
νον, καὶ οὐχὶ βουλοίμην μὲν ἂν εἰκάζειν ὀρθῶς, φο-
βοῦμαι δὲ μὴ λίαν ἐγγὺς ᾖ τοῦτ' ἤδη. ὅταν οὖν μηκέθ'
ὑμῖν ἀμελεῖν ἐξουσία γίγνηται τῶν συμβαινόντων,
μηδ' ἀκούηθ' ὅτι ταῦτ' ἐφ' ὑμᾶς ἐστιν ἐμοῦ μηδὲ τοῦ
δεῖνος, ἀλλ' αὐτοὶ πάντες ὁρᾶτε καὶ εὖ εἰδῆτε, ὀργίλους
καὶ τραχεῖς ὑμᾶς ἔσεσθαι νομίζω. φοβοῦμαι δὴ μὴ τῶν
πρέσβεων σεσιωπηκότων, ἐφ' οἷς αὐτοῖς συνίσασι δε- 74
δωροδοκηκότες, τοῖς ἐπανορθοῦν τι πειρωμένοις τῶν
διὰ τούτους ἀπολωλότων τῇ παρ' ὑμῶν ὀργῇ περιπε-
σεῖν συμβῇ· ὁρῶ γὰρ ὡς τὰ πολλὰ ἐνίους οὐκ εἰς τοὺς
αἰτίους, ἀλλ' εἰς τοὺς ὑπὸ χεῖρα μάλιστα τὴν ὀργὴν
ἀφιέντας. ἕως οὖν ἔτι μέλλει καὶ συνίσταται τὰ πρά-
γματα καὶ κατακούομεν ἀλλήλων, ἕκαστον ὑμῶν, καί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

περ ἀκριβῶς εἰδότα, ὅμως ἐπαναμνῆσαι βούλομαι τίς ὁ Φωκέας πείσας ὑμᾶς καὶ Πύλας προέσθαι, ὧν καταστὰς ἐκεῖνος κύριος τῆς ἐπὶ τὴν Ἀττικὴν ὁδοῦ καὶ τῆς εἰς Πελοπόννησον κύριος γέγονε, καὶ πεποίηχ' ὑμῖν μὴ περὶ τῶν δικαίων μηδ' ὑπὲρ τῶν ἔξω πραγμάτων εἶναι τὴν βουλὴν, ἀλλ' ὑπὲρ τῶν ἐν τῇ χώρᾳ καὶ τοῦ πρὸς τὴν Ἀττικὴν πολέμου, ὃς λυπήσει μὲν ἕκαστον, ἐπει-
36 δὰν παρῇ, γέγονε δ' ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. εἰ γὰρ μὴ παρεκρούσθητε τόθ' ὑμεῖς, οὐδὲν ἂν ἦν τῇ πόλει πρᾶγμα· οὔτε γὰρ ναυσὶ δήπου κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν ποτε στόλῳ Φίλιππος, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας, ἀλλ' ἢ τὰ δίκαι' ἂν ἐποίει καὶ τὴν εἰρήνην ἄγων ἡσυχίαν εἶχεν, ἢ παραχρῆμ' ἂν ἦν ἐν ὁμοίῳ πολέμῳ δι' ὃν τότε τῆς εἰρήνης ἐπεθύμησεν.
37 ταῦτ' οὖν, ὡς μὲν ὑπομνῆσαι, νῦν ἱκανῶς εἴρηται, ὡς δ' ἂν ἐξετασθείη μάλιστ' ἀκριβῶς, μὴ γένοιτο, ὦ πάντες θεοί· οὐδένα γὰρ βουλοίμην ἂν ἔγωγε, οὐδ' εἰ δίκαιός ἐστ' ἀπολωλέναι, μετὰ τοῦ πάντων κινδύνου καὶ τῆς ζημίας δίκην ὑποσχεῖν.

---

## VII.

# ΠΕΡΙ ΑΛΟΝΝΗΣΟΥ.

### ΥΠΟΘΕΣΙΣ.

Οὗτος ὁ λόγος ἐπιγράφεται μὲν περὶ Ἁλοννήσου, τάχα δὲ ὀρ- 75
θότερον ἐπιγράφειν "πρὸς τὴν ἐπιστολὴν τὴν Φιλίππου" πέπομφε γὰρ πρὸς τοὺς Ἀθηναίους ἐπιστολὴν περὶ πολλῶν διαλεγόμενος, ὧν ἕν ἐστι καὶ τὸ κατὰ τὴν Ἁλόννησον, ἥτις ἦν μὲν τῶν Ἀθηναίων ἀρχαῖον κτῆμα, κατὰ δὲ τοὺς Φιλίππου καιροὺς ὑπὸ λῃστῶν κατείχετο, οὓς ἐκβαλὼν ὁ Φίλιππος ἀπαιτοῦσι μὲν τοῖς Ἀθηναίοις τὴν νῆσον οὐκ ἀποδίδωσιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

(ἑαυτοῦ γὰρ εἶναί φησιν), αἰτοῦσι δὲ ὑπισχνεῖται δώσειν. ὁ δὲ λόγος οὐ δοκεῖ μοι Δημοσθένους εἶναι. δηλοῖ δὲ ἡ φράσις καὶ ἡ τῆς συνθέσεως ἁρμονία, πολὺ τὸν Δημοσθενικὸν πεφευγυῖα τύπον, ἀνειμένη τε καὶ διαλελυμένη παρὰ τὴν ἰδέαν τούτου τοῦ ῥήτορος. καὶ μὴν καὶ τὸ ἐπὶ τέλει ῥηθὲν οὐ μικρὸν μαρτύριον τοῦ νόθον εἶναι τὸν λόγον, "εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε." ὁ μὲν γὰρ Δημοσθένης εἴωθε παρρησίᾳ χρῆσθαι, τοῦτο δὲ ὕβρις ἐστὶ καὶ λοιδορία μέτρον οὐκ ἔχουσα. εὐτέλειά τε αὐτῷ δεινὴ πρόσεστι κατὰ τὴν ἑρμηνείαν. πρὸς δὲ τούτοις καὶ εὔηθες τὸ νομίζειν ἐν τοῖς κροτάφοις ἔχειν τοὺς ἀνθρώπους τὸν ἐγκέφαλον. ὑπώπτευσαν δὲ καὶ οἱ πρεσβύτεροι τὸν λόγον ὡς οὐ τοῦ ῥήτορος. καὶ πεφωράκασί γέ τινες ὄντα Ἡγησίππου καὶ ἀπὸ τῆς ἰδέας τῶν λόγων (τοι-
αύτη γὰρ κέχρηται) καὶ ἀπὸ τῶν πραγμάτων· κατὰ Καλλίπ- 76
που γὰρ τοῦ Παιανιέως φησὶν ὁ τὸν λόγον γεγραφὼς ἀπενηνοχέναι γραφὴν παρανόμων, φαίνεται δὲ οὐχ ὁ Δημοσθένης, ἀλλ' ὁ Ἡγήσιππος τὴν κατὰ τοῦ Καλλίππου γραφὴν ἐνστησάμενος. νὴ Δία, ἀλλ' ὁ λόγος συμβουλεύει περὶ τῆς Ἁλοννήσου τοῖς Ἀθηναίοις μὴ λαμβάνειν αὐτήν, ἀλλ' ἀπολαμβάνειν, καὶ διαφέρεται περὶ τῶν ὀνομάτων, ταῦτα δὲ Αἰσχίνης φησὶ τὸν Δημοσθένην συμβεβουλευκέναι τοῖς Ἀθηναίοις. εἶτα τί τοῦτο; δύναται γὰρ τὴν αὐτὴν πεποιῆσθαι συμβουλὴν καὶ Δημοσθένης καὶ Ἡγήσιππος, ἐπεὶ καὶ τὰ ἄλλα τῆς αὐτῆς ἦσαν ἐν τῇ πολιτείᾳ προαιρέσεως καὶ τοῖς φιλιππίζουσι τῶν ῥητόρων ἀντέλεγον. καὶ μέμνηται καὶ ὁ Δημοσθένης τοῦ Ἡγησίππου ὡς καὶ πρεσβεύσαντος μεθ' ἑαυτοῦ καὶ ἀντιταχθέντος τῷ Μακεδόνι. δῆλον οὖν ὅτι ὁ μὲν τοῦ Δημοσθένους λόγος ὁ περὶ τῆς Ἁλοννήσου ῥηθεὶς οὐ σώζεται, ἐκείνου δὲ οὐκ ὄντος τὸν εὑρεθέντα προσέθεσαν αὐτῷ, ἀφορμὴν ἔχοντες τὸ περὶ Ἁλοννήσου λόγον εἰρῆσθαι τῷ ῥήτορι, οὐκέτι δὲ ἐξετάζοντες εἰ τοῦτον εἰκὸς εἶναι τὸν ἐκείνου.

---

Ὦ ἄνδρες Ἀθηναῖοι, οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ἃς Φίλιππος αἰτιᾶται, τοὺς ὑπὲρ τῶν δικαίων πρὸς ὑμᾶς λέγοντας κωλύσουσι συμβούλους ἡμᾶς γίγνεσθαι ὑπὲρ



Δημόσια Κεντρική Βιβλιοθήκη Σέρρας

τῶν ὑμῖν συμφερόντων· δεινὸν γὰρ ἂν εἴη, εἰ τὴν ἐπὶ 77
τοῦ βήματος παρρησίαν αἱ παρ' ἐκείνου πεμπόμεναι
ἐπιστολαὶ ἀνέλοιεν. ἐγὼ δ' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι,
βούλομαι πρῶτον μὲν περὶ ὧν Φίλιππος ἐπέσταλκε,
περὶ τούτων διεξελθεῖν· ὕστερον δὲ, περὶ ὧν οἱ πρέ-
σβεις λέγουσι, καὶ ἡμεῖς λέξομεν.
2 Φίλιππος γὰρ ἄρχεται μὲν περὶ Ἁλοννήσου λέγων
ὡς ὑμῖν δίδωσιν ἑαυτοῦ οὖσαν, ὑμᾶς δὲ οὔ φησι δι-
καίως αὐτὸν ἀπαιτεῖν· οὐ γὰρ ὑμετέραν οὖσαν οὔτε
λαβεῖν οὔτε νῦν ἔχειν. ἔλεγε δὲ καὶ πρὸς ἡμᾶς τοιού-
τους λόγους, ὅτε πρὸς αὐτὸν ἐπρεσβεύσαμεν, ὡς λη-
στὰς ἀφελόμενος ταύτην τὴν νῆσον κτήσαιτο, καὶ προσ-
ήκειν αὐτὴν ἑαυτοῦ εἶναι. τοῦτον δὲ τὸν λόγον, ὡς
οὐκ ἔστι δίκαιος, οὐ χαλεπόν ἐστιν αὐτοῦ ἀφελέσθαι.
ἅπαντες γὰρ οἱ λῃσταὶ τοὺς ἀλλοτρίους τόπους κατα-
λαμβάνοντες καὶ τούτους ἐχυροὺς ποιούμενοι ἐντεῦ-
θεν τοὺς ἄλλους κακῶς ποιοῦσιν. ὁ δὴ τοὺς λῃστὰς τι-
μωρησάμενος καὶ κρατήσας οὐκ ἂν δήπου εἰκότα λέγοι,
εἰ φαίη, ἃ ἐκεῖνοι ἀδίκως καὶ ἀλλότρια εἶχον, ταῦθ'
4 ἑαυτοῦ γίγνεσθαι. εἰ γὰρ ταῦτα συγχωρήσετε, τί κω-
λύει, καὶ εἴ τινα τῆς Ἀττικῆς λῃσταὶ τόπον καταλάβοιεν
ἢ Λῆμνον ἢ Ἴμβρον ἢ Σκῦρον, καί τινες τούτους τοὺς
λῃστὰς ἐκκόψαιεν, εὐθὺς καὶ τὸν τόπον τοῦτον, οὗ
ἦσαν οἱ λῃσταὶ, τὸν ὄντα ἡμέτερον, τῶν τιμωρησαμέ-
5 νων τοὺς λῃστὰς γίγνεσθαι; Φίλιππος δ' οὐκ ἀγνοεῖ
ταῦτ' οὐ δίκαια λέγων, ἀλλ' εἰ καί τις ἄλλος ἐπιστά-
μενος παρακρουσθῆναι ἂν ὑμᾶς οἴεται ὑπὸ τῶν τάν-
ταῦθα διοικήσειν, ὡς ἂν αὐτὸς ἐκεῖνος βούληται, καὶ
πρὶν ὑπεσχημένων, καὶ νῦν δὲ πραττόντων. ἀλλὰ μὴν
οὐδ' ἐκεῖνό γε λανθάνει αὐτὸν, ὅτι δι' ἀμφοτέρων τῶν 78
ὀνομάτων, ὁποτέρῳ ἂν χρῆσθε ὑμεῖς, ἕξετε τὴν νῆσον,
6 ἄν τε λάβητε ἄν τ' ἀπολάβητε. τί οὖν αὐτῷ διαφέρει

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ τῷ δικαίῳ ὀνόματι χρησάμενον ἀποδοῦναι ὑμῖν,
ἀλλὰ δωρεὰν δεδωκέναι, τῷ ἀδίκῳ; οὐχ ἵν' εὐεργέτη-
μά τι καταλογίσηται πρὸς ὑμᾶς (γελοῖον γὰρ ἂν εἴη
τοῦτό γε τὸ εὐεργέτημα), ἀλλ' ἵν' ἐνδείξηται ἅπασι τοῖς
Ἕλλησιν ὅτι Ἀθηναῖοι τὰ ἐν τῇ θαλάττῃ χωρία ἀγαπῶ-
σι παρὰ τοῦ Μακεδόνος λαμβάνοντες. τοῦτο δ' ὑμῖν
οὐ ποιητέον ἐστίν, ὦ ἄνδρες Ἀθηναῖοι.
7 Ὅταν δὲ λέγῃ περὶ τούτων ὡς ἐθέλει διαδικάσα-
σθαι, οὐδὲν ἀλλ' ἢ χλευάζει ὑμᾶς, πρῶτον μὲν ἀξιῶν
Ἀθηναίους ὄντας πρὸς τὸν ἐκ Πέλλης ὁρμώμενον περὶ
τῶν νήσων διαδικάζεσθαι, πότερ' ὑμέτεραι ἢ ἐκείνου
εἰσίν· ὁπότε γὰρ ἡ μὲν δύναμις ἡ ὑμετέρα, ἡ ἐλευθερώ-
σασα τοὺς Ἕλληνας, μὴ δύναται ὑμῖν τὰ ἐν τῇ θαλάτ-
τῃ χωρία σώζειν, οἱ δὲ δικασταί, οἷς ἂν ἐπιτρέψητε, οἱ
κύριοι τῆς ψήφου, οὗτοι ὑμῖν σώσουσιν, ἐὰν μὴ Φί-
8 λιππος αὐτοὺς πρίηται, πῶς ὑμεῖς οὐχ ὁμολογουμένως,
ὅταν ταῦτα διαπράττησθε, τῶν ἐν τῇ ἠπείρῳ ἁπάντων
ἀφεστήκατε, καὶ ἐπιδείκνυτε ἅπασιν ἀνθρώποις ὅτι οὐ-
δὲ περὶ ἑνὸς αὐτῷ διαγωνιεῖσθε, εἴγε περὶ τῶν ἐν τῇ
θαλάττῃ, οὗ φατὲ ἰσχύειν, μὴ διαγωνιεῖσθε, ἀλλὰ δια-
δικάσεσθε;
9 Ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς ὑμᾶς
τοὺς ποιησομένους, ταῦτα δὲ κύρια ἔσεσθαι οὐκ ἐπει-
δὰν ἐν τῷ δικαστηρίῳ τῷ παρ' ὑμῖν κυρωθῇ, ὥσπερ ὁ
νόμος κελεύει, ἀλλ' ἐπειδὰν ὡς ἑαυτὸν ἐπανενεχθῇ,
ἐφέσιμον τὴν παρ' ὑμῶν γενομένην γνῶσιν ὡς ἑαυτὸν 79
ποιούμενος· βούλεται γὰρ ὑμῶν τοῦτο προλαβεῖν καὶ
ὁμολογούμενον ἐν τοῖς συμβόλοις καταστῆσαι, ὅτι τῶν
περὶ Ποτίδαιαν γεγενημένων ἀδικημάτων οὐδὲν ἐγκα-
λεῖτε αὐτῷ ὡς ἀδικούμενοι, ἀλλὰ βεβαιοῦτε δικαίως
10 αὐτὴν ἐκεῖνον καὶ λαβεῖν καὶ κεκτῆσθαι. καίτοι Ἀθη-
ναίων οἱ ἐν Ποτιδαίᾳ κατοικοῦντες, οὐκ ὄντος αὐτοῖς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολέμου πρὸς Φίλιππον, ἀλλὰ συμμαχίας, καὶ ὅρκω
ὀμωμοσμένων, οὓς Φίλιππος τοῖς οἰκοῦσιν ἐν Ποτιδαί
ὤμοσεν, ἀφῃρέθησαν ὑπ' αὐτοῦ τὰ κτήματα. ταῦτα δ
βούλεται τἀδικήματα πανταχῶς παρ' ὑμῖν βεβαιώσα-
σθαι, ὅτι οὔτ' ἐγκαλεῖτε αὐτῷ οὔθ' ἡγεῖσθε ἀδικεῖσθαι
11 ἐπεὶ ὅτι γε συμβόλων οὐδὲν δέονται Μακεδόνες πρὸ
Ἀθηναίους, ὁ παρεληλυθὼς ὑμῖν χρόνος τεκμήριον γε-
νέσθω· οὔτε γὰρ Ἀμύντας ὁ πατὴρ ὁ Φιλίππου οὔθ'
οἱ ἄλλοι βασιλεῖς οὐδεπώποτε σύμβολα ἐποιήσαντο
12 πρὸς τὴν πόλιν τὴν ἡμετέραν. καίτοι πλείους γε ἦσα
αἱ ἐπιμιξίαι τότε πρὸς ἀλλήλους ἢ νῦν εἰσίν· ἐφ' ἡμῖ
γὰρ ἦν ἡ Μακεδονία καὶ φόρους ἡμῖν ἔφερον, καὶ τοῖ
ἐμπορίοις τότε μᾶλλον ἢ νῦν ἡμεῖς τοῖς ἐκεῖ κἀκεῖνο
τοῖς παρ' ἡμῖν ἐχρῶντο, καὶ ἐμπορικαὶ δίκαι οὐκ ἦσαν
ὥσπερ νῦν, ἀκριβεῖς, αἱ κατὰ μῆνα, ποιοῦσαι μηδὲ
δεῖσθαι συμβόλων τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας
13 ἀλλ' ὅμως οὐδενὸς τοιούτου ὄντος τότ' οὐκ ἐλυσιτέλε
σύμβολα ποιησαμένους οὔτ' ἐκ Μακεδονίας πλεῖν Ἀθή-
ναζε δίκας ληψομένους, οὔθ' ἡμῖν εἰς Μακεδονίαν, ἀλλ
ἡμεῖς τε τοῖς ἐκεῖ νομίμοις ἐκεῖνοί τε τοῖς παρ' ἡμῖν τὰς
δίκας ἐλάμβανον. μὴ οὖν ἀγνοεῖτε ὅτι τὰ σύμβολα ταῦ-
τα γίγνεται εἰς ὑποδοχὴν τοῦ μηδ' ἀμφισβητῆσαι εὐ-
λόγως ὑμᾶς ἔτι Ποτιδαίας.
14 Περὶ δὲ τῶν λῃστῶν δίκαιόν φησιν εἶναι κοιν
φυλάττειν τοὺς ἐν τῇ θαλάττῃ κακουργοῦντας ὑμᾶς τ
καὶ αὐτόν, οὐδὲν ἄλλ' ἢ τοῦτ' ἀξιῶν, ὑφ' ὑμῶν εἰς τὴ
θάλατταν κατασταθῆναι, καὶ ὁμολογῆσαι ὑμᾶς ὡς ἄνευ
Φιλίππου οὐδὲ τὴν ἐν τῇ θαλάττῃ φυλακὴν δυνατο
15 ἐστε φυλάττειν, ἔτι δὲ καὶ δοθῆναι αὐτῷ ταύτην τὴ
ἄδειαν, περιπλέοντι καὶ ὁρμιζομένῳ εἰς τὰς νήσους ἐπ
προφάσει τῇ τῶν λῃστῶν φυλακῇ διαφθείρειν τοὺς νη-
σιώτας καὶ ἀφιστάναι ὑμῶν, καὶ μὴ μόνον τοὺς φυγά-

Δημοσια Κεντρικη Βιβλιοθηκη Βερροιας

δας τοὺς παρ' ἑαυτοῦ εἰς Θάσον κεκομικέναι διὰ τῶν
ὑμετέρων στρατηγῶν, ἀλλὰ καὶ τὰς ἄλλας νήσους οἰ-
κειώσασθαι, συμπέμπων τοὺς συμπλευσομένους μετὰ
τῶν στρατηγῶν τῶν ὑμετέρων ὡς κοινωνήσοντας τῆς
16 κατὰ θάλατταν φυλακῆς. καίτοι οὔ φασί τινες αὐτὸν
προσδεῖσθαι τῆς θαλάττης. ὁ δ' οὐδὲν δεόμενος τριή-
ρεις κατασκευάζεται, καὶ νεωσοίκους οἰκοδομεῖται, καὶ
ἀποστόλους ἀποστέλλειν βούλεται καὶ δαπάνας οὐ μι-
κρὰς δαπανᾶν εἰς τοὺς κατὰ θάλατταν κινδύνους, ὧν
οὐδὲν προτιμᾷ.

17 Ταῦτ' οὖν οἴεσθ' ἄν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιπ-
πον ἀξιῶσαι ὑμᾶς συγχωρῆσαι αὐτῷ, εἰ μὴ ὑμῶν μὲν
κατεφρόνει, οὓς δ' ἐνθάδε προῄρηται φίλους κεκτῆ-
σθαι, τούτοις διεπίστευεν; οἳ οὐκ αἰσχύνονται Φι-
λίππῳ ζῶντες καὶ οὐ τῇ αὑτῶν πατρίδι, καὶ τὰς παρ'
ἐκείνου δωρεὰς λαμβάνοντες οἴονται οἴκαδε λαμβά-
νειν, τὰ οἴκοι πωλοῦντες.

18 Περὶ δὲ τῆς εἰρήνης, ἣν ἔδοσαν ἡμῖν οἱ πρέσβεις 81
οἱ παρ' ἐκείνου πεμφθέντες ἐπανορθώσασθαι, ὅτι
ἐπηνωρθωσάμεθα, ὃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολο-
γεῖται δίκαιον εἶναι, ἑκατέρους ἔχειν τὰ ἑαυτῶν, ἀμφι-
σβητεῖ μὴ δεδωκέναι μηδὲ τοὺς πρέσβεις ταῦτ' εἰρηκέ-
ναι πρὸς ὑμᾶς, οὐδὲν ἀλλ' ἢ πεπεισμένος ὑπὸ τούτων,
οἷς χρῆται φίλοις, ὡς ὑμεῖς οὐ μνημονεύετε τὰ ἐν τῷ
19 δήμῳ εἰρημένα. μόνον δὲ τοῦτο οὐχ οἷόν τε ὑμῖν ἐστιν
ἀμνημονῆσαι· ἐν γὰρ τῇ αὐτῇ ἐκκλησίᾳ καὶ οἱ πρέ-
σβεις οἱ παρ' ἐκείνου ἥκοντες ὑμῖν διελέγοντο καὶ τὸ
ψήφισμα ἐγράφη, ὥστ' οὐχ οἷόν τέ ἐστι παραχρῆμα
τῶν λόγων εἰρημένων καὶ εὐθὺς τοῦ ψηφίσματος ἐπα-
ναγιγνωσκομένου τὴν καταψευδομένην γνώμην τῶν
πρέσβεων, ταύτην ὑμᾶς χειροτονῆσαι· ὥστε τοῦτο μὲν
οὐ κατ' ἐμοῦ, ἀλλὰ καθ' ὑμῶν ἐπέσταλκεν, ὡς ὑμεῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ ὧν οὐκ ἠκούσατε, περὶ τούτων ἀποκρινάμενοι
20 τὴν γνώμην ἀπεστείλατε. καὶ οἱ μὲν πρέσβεις αὐτοί,
ὧν κατεψεύδετο τὸ ψήφισμα, ὅτ' ἀπεκρίνεσθε αὐτοῖς
ἀναγιγνώσκοντες καὶ ἐπὶ ξένια αὐτοὺς ἐκαλεῖτε, οὐκ
ἐτόλμησαν παρελθεῖν, οὐδ' εἰπεῖν ὅτι "καταψεύδεσθε
ἡμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ φατὲ ἡμᾶς εἰρηκέναι
ἃ οὐκ εἰρήκαμεν," ἀλλὰ σιωπῇ ἀπιόντες ᾤχοντο. βού-
λομαι δ' ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι (καὶ γὰρ ηὐδοκί-
μησεν ὁ Πύθων παρ' ὑμῖν ἐν τῇ δημηγορίᾳ, ὁ τότε
πρεσβεύων) αὐτοὺς τοὺς λόγους, οὓς ἔλεγεν, ὑπομνῆ-
21 σαι· οἶδα γὰρ ὅτι μέμνησθε. παραπλήσιοι δ' ἦσαν οἷς
καὶ νῦν ἐπέσταλκε Φίλιππος· ἐγκαλῶν γὰρ ἡμῖν τοῖς
διαβάλλουσι τὸν Φίλιππον, καὶ ὑμῖν ἐμέμφετο ὅτι ὡρ-
μηκότος αὐτοῦ εὖ ποιεῖν ὑμᾶς καὶ προῃρημένου μά- 82
λιστα τῶν Ἑλλήνων φίλους κεκτῆσθαι αὐτοὶ κωλύετε,
ἀποδεχόμενοι τῶν συκοφαντούντων καὶ χρήματα ἐκεί-
νου αἰτούντων καὶ διαβαλλόντων· τοὺς γὰρ τοιούτους
λόγους, ὅταν ἀπαγγελλόντων ἀκούῃ, ὅτι κακῶς ἤκουεν,
ὑμεῖς δ' ἀπεδέχεσθε, μεταβάλλειν αὐτοῦ τὴν γνώμην,
ὅταν ἄπιστος φαίνηται τούτοις ὧν προῄρηται εὐεργέ-
22 της εἶναι. ἐκέλευεν οὖν τοὺς λέγοντας ἐν τῷ δήμῳ τῇ
μὲν εἰρήνῃ μὴ ἐπιτιμᾶν· οὐ γὰρ ἄξιον εἶναι εἰρήνην
λύειν· εἰ δέ τι μὴ καλῶς γέγραπται ἐν τῇ εἰρήνῃ, τοῦτ'
ἐπανορθώσασθαι, ὡς ἅπαντα Φίλιππον ποιήσοντα
ὅσ' ἂν ὑμεῖς ψηφίσησθε. ἂν δὲ διαβάλλωσι μέν, αὐτοὶ
δὲ μηδὲν γράφωσι δι' οὗ ἡ μὲν εἰρήνη ἔσται, παύσεται
δ' ἀπιστούμενος ὁ Φίλιππος, μὴ προσέχειν τὸν νοῦν
23 τοῖς τοιούτοις ἀνθρώποις. καὶ τούτους τοὺς λόγους
ὑμεῖς ἀκούοντες ἀπεδέχεσθε, καὶ δίκαια ἔφατε τὸν
Πύθωνα λέγειν. καὶ ἦν δίκαια. ἔλεγε δὲ τούτους τοὺς
λόγους οὐχ ὅπως λυθείη ἐκ τῆς εἰρήνης, ἃ ἦν ἐκείνῳ
συμφέροντα καὶ ὧν πολλὰ χρήματα ἀνηλώκει ὥστε γε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑπὸ τῶν ἐνθάδε διδασκάλων προσεδι-
οὐκ ᾤοντο εἶναι τὸν γράψοντα ἐναντία
ους ψηφίσματι, τῷ ἀπολλύντι Ἀμφίπολιν.
νδρες Ἀθηναῖοι, παράνομον μὲν οὐδὲν
ψαι, τῷ δὲ Φιλοκράτους ψηφίσματι οὐκ
τἀναντία γράφειν, ὡς ἐγὼ ἐπιδείξω· τὸ
τὸ Φιλοκράτους, καθ' ὃ ὑμεῖς ἀπώλλυτε
ἐναντίον ἦν τοῖς προτέροις ψηφίσμασι,
κτήσασθε ταύτην τὴν χώραν. τοῦτο μὲν 83
ον ἦν τὸ ψήφισμα τὸ τοῦ Φιλοκράτους,
ἦν τὸν τὰ ἔννομα γράφοντα ταὐτὰ τῷ
φίσματι γράφειν. ἐκείνοις δὲ τοῖς προ-
ιασι, τοῖς οὖσιν ἐννόμοις καὶ σῴζουσι
χώραν, ταὐτὰ γράφων ἔννομά τ' ἔγρα-
-γχον τὸν Φίλιππον, ὅτι ἐξηπάτα ὑμᾶς
ϱθώσασθαι ἐβούλετο τὴν εἰρήνην, ἀλλὰ
ῶν λέγοντας ἀπίστους καταστῆσαι. καὶ
ὴν ἐπανόρθωσιν νῦν ἔξαρνός ἐστιν ἅπαν-
δ' Ἀμφίπολιν ἑαυτοῦ εἶναι· ὑμᾶς γὰρ
κείνου εἶναι, ὅτ' ἐψηφίσασθε ἔχειν αὐτὸν
ς δὲ τὸ μὲν ψήφισμα τοῦτ' ἐψηφίσασθε,
ἐκείνου εἶναι Ἀμφίπολιν· ἔστι γὰρ ἔχειν
, καὶ οὐχ ἅπαντες οἱ ἔχοντες τὰ αὑτῶν
πολλοὶ καὶ τἀλλότρια κέκτηνται· ὥστε
οφὸν αὐτοῦ ἠλίθιόν ἐστιν. καὶ τοῦ μὲν
ψηφίσματος μέμνηται, τῆς δ' ἐπιστολῆς,
ἔπεμψεν ὅτ' Ἀμφίπολιν ἐπολιόρκει, ἐπι-
ῇ ὡμολόγει τὴν Ἀμφίπολιν ὑμετέραν εἶ-
κπολιορκήσας ὑμῖν ἀποδώσειν ὡς οὖσαν
οὐ τῶν ἐχόντων. κἀκεῖνοι μὲν, ὡς ἔοικεν,
ν Ἀμφιπόλει οἰκοῦντες πρὶν Φίλιππον
Ἀθηναίων χώραν εἶχον, ἐπειδὴ δὲ Φίλιπ-

Δημόσια Κεντρική Βιβλιοθήκη Μυτιλήνης

πος αὐτὴν εἴληφεν, οὐ τὴν Ἀθηναίων χώραν, ἀλλὰ τὴν ἑαυτοῦ ἔχει, οὐδ' Ὄλυνθόν γε, οὐδ' Ἀπολλωνίαν οὐδὲ Παλλήνην ἀλλοτρίας, ἀλλὰ τὰς ἑαυτοῦ χώρας
29 κέκτηται. ἆρ' ὑμῖν δοκεῖ πεφυλαγμένως ἅπαντα πρὸς ὑμᾶς ἐπιστέλλειν, ὅπως ἂν φαίνηται καὶ λέγων καὶ πράττων ἃ παρὰ πᾶσιν ἀνθρώποις ὁμολογεῖται δίκαια 84
εἶναι, ἀλλ' οὐ σφόδρα καταπεφρονηκέναι, ὃς τὴν χώραν, ἣν οἱ Ἕλληνες καὶ βασιλεὺς ὁ Περσῶν ἐψηφίσαντο καὶ ὡμολογήκασιν ὑμετέραν εἶναι, ταύτην φησὶν ἑαυτοῦ καὶ οὐχ ὑμετέραν εἶναι;

30 Περὶ δὲ τοῦ ἑτέρου ἐπανορθώματος, ὃ ὑμεῖς ἐν τῇ εἰρήνῃ ἐπανορθοῦσθε, τοὺς ἄλλους Ἕλληνας, ὅσοι μὴ κοινωνοῦσι τῆς εἰρήνης, ἐλευθέρους καὶ αὐτονόμους εἶναι, καὶ ἐάν τις ἐπ' αὐτοὺς στρατεύῃ, βοηθεῖν
31 τοὺς κοινωνοῦντας τῆς εἰρήνης, ἡγούμενοι καὶ δίκαιον τοῦτο καὶ φιλάνθρωπον, μὴ μόνον ἡμᾶς καὶ τοὺς συμμάχους τοὺς ἡμετέρους καὶ Φίλιππον καὶ τοὺς συμμάχους τοὺς ἐκείνου ἄγειν τὴν εἰρήνην, τοὺς δὲ μήθ' ἡμετέρους ὄντας μήτε Φιλίππου συμμάχους ἐν μέσῳ κεῖσθαι καὶ ὑπὸ τῶν κρειττόνων ἀπόλλυσθαι, ἀλλὰ καὶ τούτοις διὰ τὴν ὑμετέραν εἰρήνην ὑπάρχειν σωτηρίαν, καὶ τῷ ὄντι εἰρήνην ἄγειν ἡμᾶς καταθεμένους τὰ
32 ὅπλα, τοῦτο δὲ τὸ ἐπανόρθωμα ὁμολογῶν ἐν τῇ ἐπιστολῇ, ὡς ἀκούετε, δίκαιόν τ' εἶναι καὶ δέχεσθαι, Φεραίων μὲν ἀφῄρηται τὴν πόλιν καὶ φρουρὰν ἐν τῇ ἀκροπόλει κατέστησεν, ἵνα δὴ αὐτόνομοι ὦσιν, ἐπὶ δ' Ἀμβρακίαν στρατεύεται, τὰς δ' ἐν Κασσωπίᾳ τρεῖς πόλεις, Πανδοσίαν καὶ Βούχετα καὶ Ἐλάτειαν, Ἠλείων ἀποικίας, κατακαύσας τὴν χώραν καὶ εἰς τὰς πόλεις βιασάμενος παρέδωκεν Ἀλεξάνδρῳ τῷ κηδεστῇ τῷ ἑαυτοῦ δουλεύειν. σφόδρα γε βούλεται τοὺς Ἕλληνας ἐλευθέρους εἶναι καὶ αὐτονόμους, ὡς δηλοῖ τὰ ἔργα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

33 Περὶ δὲ τῶν ὑποσχέσεων ὧν ὑμῖν διατελεῖ ὑπι-
σχνούμενος ὡς μεγάλα ὑμᾶς εὐεργετήσων, καταψεύ-
δεσθαί μέ φησιν αὐτοῦ διαβάλλοντα πρὸς τοὺς Ἕλλη- 85
νας· οὐδὲν γὰρ ὑμῖν πώποτέ φησιν ὑπεσχῆσθαι. οὕ-
τως ἀναιδής ἐστιν ὁ ἐνἐπιστολῇ γεγραφώς, ἥ ἐστι νῦν ἐν
τῷ βουλευτηρίῳ, ὅτ' ἐπιστομιεῖν ἡμᾶς ἔφη τοὺς αὐτῷ
ἀντιλέγοντας, ἐὰν ἡ εἰρήνη γένηται, τοσαῦτα ὑμᾶς
ἀγαθὰ ποιήσειν, ἃ γράφειν ἂν ἤδη, εἰ ᾔδει τὴν εἰρή-
νην ἐσομένην, δῆλον ὡς προκεχειρισμένων καὶ ἑτοί-
μων ὄντων τῶν ἀγαθῶν, ἃ ἐμέλλομεν πείσεσθαι τῆς
34 εἰρήνης γενομένης. γενομένης δὲ τῆς εἰρήνης, ἃ μὲν
ἡμεῖς ἐμέλλομεν ἀγαθὰ πείσεσθαι, ἐκποδών ἐστι, φθο-
ρὰ δὲ τῶν Ἑλλήνων τοσαύτη γέγονεν ὅσην ὑμεῖς ἴστε.
ὑμῖν δ' ἐν τῇ νῦν ἐπιστολῇ ὑπισχνεῖται, ἐὰν τοῖς μὲν
ἑαυτοῦ φίλοις καὶ ὑπὲρ αὐτοῦ λέγουσι πιστεύητε, ἡμᾶς
δὲ τοὺς διαβάλλοντας αὐτὸν πρὸς ὑμᾶς τιμωρήσησθε,
35 ὡς μεγάλα ὑμᾶς εὐεργετήσει. τὰ μέντοι εὐεργετήματα
τοιαῦτα ἔσται· οὔτε τὰ ὑμέτερα ὑμῖν ἀποδώσει (αὐ-
τοῦ γάρ φησιν εἶναι), οὔτ' ἐν τῇ οἰκουμένῃ αἱ δωρεαὶ
ἔσονται, ἵνα μὴ διαβληθῇ πρὸς τοὺς Ἕλληνας, ἀλλ'
ἄλλη τις χώρα καὶ ἄλλος, ὡς ἔοικε, τόπος φανήσεται,
οὗ ὑμῖν αἱ δωρεαὶ δοθήσονται.
36 Περὶ δ' ὧν ἐν τῇ εἰρήνῃ εἴληφε χωρίων, ὑμῶν
ἐχόντων, παρασπονδῶν καὶ λύων τὴν εἰρήνην, ἐπειδὴ
οὐκ ἔχει ὅ τι εἴπῃ, ἀλλ' ἀδικῶν φανερῶς ἐξελέγχεται,
ἐπιτρέπειν φησὶ περὶ τούτων ἕτοιμος εἶναι ἴσῳ καὶ κοι-
νῷ δικαστηρίῳ, περὶ ὧν μόνων οὐδὲν δεῖ ἐπιτροπῆς,
ἀλλ' ἀριθμὸς ἡμερῶν ἐστιν ὁ κρίνων. ἅπαντες γὰρ
37 ἴσμεν τίνι μηνὶ καὶ τίνι ἡμέρᾳ ἡ εἰρήνη ἐγένετο. ὥσπερ
δὲ ταῦτα ἴσμεν, κἀκεῖνα ἴσμεν, τίνι μηνὶ καὶ τίνι ἡμέ-
ρᾳ Σέρρειον τεῖχος καὶ Ἐργίσκη καὶ Ἱερὸν ὄρος ἑάλω.
οὐ δὴ ἀφανῆ ἐστι τὰ οὕτω πραχθέντα, οὐδὲ κρίσεως 86

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

δεόμενα, ἀλλὰ πᾶσι γνώριμα πότερος πρότερος μήν
ἐστιν, ἐν ᾧ ἡ εἰρήνη ἐγένετο ἢ ἐν ᾧ τὰ χωρία ἑάλω.

38 Φησὶ δὲ καὶ τοὺς αἰχμαλώτους ἡμῶν, ὅσοι ἐν τῷ
πολέμῳ ἑάλωσαν, ἀποδεδωκέναι· ὃς τὸν μὲν Καρύ-
στιον, τὸν πρόξενον τῆς ἡμετέρας πόλεως, ὑπὲρ οὗ
ὑμεῖς τρεῖς πρεσβείας ἐπέμψατε ἀπαιτοῦντες, τοῦτον
τὸν ἄνδρα ἐκεῖνος οὕτω σφόδρα ὑμῖν ἐβούλετο χαρί-
σασθαι, ὥστ' ἀπέκτεινε καὶ οὐδ' ἀναίρεσιν ἔδωκεν,
ἵνα ταφῇ.

39 Περὶ δὲ Χερρονήσου ἅ τ' ἐπιστέλλει πρὸς ὑμᾶς
ἄξιόν ἐστιν ἐξετάσαι, ἔτι δὲ καὶ ἃ πράττει, καὶ ταῦτ'
εἰδέναι. τὸν μὲν γὰρ τόπον ἅπαντα τὸν ἔξω Ἀγορᾶς
ὡς ἑαυτοῦ ὄντα καὶ ὑμῖν οὐδὲν προσήκοντα δέδωκε
καρποῦσθαι Ἀπολλωνίδῃ τῷ Καρδιανῷ. καίτοι Χερ-
ρονήσου οἱ ὅροι εἰσὶν, οὐκ Ἀγορὰ, ἀλλὰ βωμὸς τοῦ
Διὸς τοῦ ὁρίου, ὅς ἐστι μεταξὺ Πτελεοῦ καὶ Λευκῆς
40 ἀκτῆς, ᾗ ἡ διωρυχὴ ἔμελλε Χερρονήσου ἔσεσθαι, ὥς
γε τὸ ἐπίγραμμα τὸ ἐπὶ τοῦ βωμοῦ τοῦ Διὸς τοῦ ὁρίου
δηλοῖ. ἔστι δὲ τουτί·

*Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμὸν*
*Λευκῆς καὶ Πτελεοῦ μέσσον ὅρον θέμενοι*
*ἐνναέται χώρης σημήϊον· ἀμμορίης δὲ*
*αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.*

41 ταύτην μέντοι τὴν χώραν τοσαύτην οὖσαν ὅσην οἱ
πολλοὶ ὑμῶν ἴσασιν, ὡς ἑαυτοῦ οὖσαν τὴν μὲν αὐτὸς
καρποῦται, τὴν δ' ἄλλοις δωρεὰν δέδωκε καὶ ἅπαντα
τὰ κτήματα τὰ ὑμέτερα ὑφ' αὑτῷ ποιεῖται. καὶ οὐ μό-
νον τὴν ἔξω Ἀγορᾶς χώραν σφετερίζεται, ἀλλὰ καὶ 87
πρὸς Καρδιανοὺς, οἳ οἰκοῦσιν εἴσω Ἀγορᾶς, ἐπιστέλ-
λει ἐν τῇ νῦν ἐπιστολῇ ὡς δεῖ ὑμᾶς διαδικάζεσθαι,
πρὸς Καρδιανοὺς τοὺς κατοικοῦντας ἐν τῇ ὑμετέρᾳ, εἴ
42 τι πρὸς αὐτοὺς διαφέρεσθε. διαφέρονται δὲ πρὸς ὑμᾶς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σκέψασθε εἰ περὶ μικροῦ. ἑαυτῶν φασι τὴν χώραν οὖσαν οἰκεῖν καὶ οὐχ ὑμετέραν, καὶ τὰ μὲν ὑμέτερα εἶναι ἐγκτήματα ὡς ἐν ἀλλοτρίᾳ, τὰ δὲ ἑαυτῶν κτήμαθ᾽ ὡς ἐν οἰκείᾳ, καὶ ταῦθ᾽ ὑμέτερον πολίτην γράψαι ἐν ψηφίσματι, Κάλλιππον Παιανιέα. καὶ τοῦτό γ᾽ ἀληθὲς λέγουσιν· ἔγραψε γάρ, καὶ ἐμοῦ γ᾽ αὐτὸν γραψαμένου παρανόμων γραφὴν ὑμεῖς ἀπεψηφίσασθε· τοιγάρτοι ἀμφισβητήσιμον ὑμῖν τὴν χώραν κατεσκεύακεν. ὁπότε δὲ περὶ τούτου τολμήσετε πρὸς Καρδιανοὺς διαδικάζεσθαι, εἴθ᾽ ὑμετέρα ἐστὶν εἴτ᾽ ἐκείνων ἡ χώρα, διὰ τί οὐ καὶ πρὸς τοὺς ἄλλους Χερρονησίτας τὸ αὐτὸ δίκαιον ἔσται; καὶ οὕτως ὑβριστικῶς ὑμῖν κέχρηται ὥστε φησίν, ἂν μὴ θέλωσι διαδικάζεσθαι οἱ Καρδιανοί, αὐτὸς ἀναγκάσειν, ὡς ὑμῶν γ᾽ οὐκ ἂν δυναμένων οὐδὲν ἀναγκάσαι Καρδιανοὺς ὑμῖν ποιῆσαι· ἐπειδὴ δ᾽ ὑμεῖς οὐ δύνασθε, αὐτός φησι τοῦτ᾽ ἀναγκάσειν αὐτοὺς ποιῆσαι. ἆρ᾽ οὐ μεγάλα φαίνεται ὑμᾶς εὐεργετῶν; καὶ ταύτην τὴν ἐπιστολήν τινες εὖ ἔφασαν γεγράφθαι, οἳ πολὺ ἂν δικαιότερον ὑφ᾽ ὑμῶν ἢ Φίλιππος μισοῖντο. ἐκεῖνος μὲν γὰρ ἑαυτῷ κτώμενος δόξαν καὶ μεγάλ᾽ ἀγαθὰ ἅπαντα καθ᾽ ὑμῶν πράττει· ὅσοι δ᾽ Ἀθηναῖοι ὄντες μὴ τῇ πατρίδι, ἀλλὰ Φιλίππῳ εὔνοιαν ἐνδείκνυνται, προσήκει αὐτοὺς ὑφ᾽ ὑμῶν κακοὺς κακῶς ἀπολωλέναι, εἴπερ ὑμεῖς τὸν ἐγκέφαλον ἐν τοῖς κροτάφοις 88
καὶ μὴ ἐν ταῖς πτέρναις καταπεπατημένον φορεῖτε.

Ὑπόλοιπόν μοί ἐστιν ἔτι πρὸς ταύτην τὴν ἐπιστολὴν τὴν εὖ ἔχουσαν καὶ τοὺς λόγους τῶν πρέσβεων γράψαι τὴν ἀπόκρισιν, ἣν ἡγοῦμαι δικαίαν τ᾽ εἶναι καὶ συμφέρουσαν ὑμῖν.

---

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

VIII.

# ΠΕΡΙ ΤΩΝ ΕΝ ΧΕΡΡΟΝΗΣΩΙ.

## ΥΠΟΘΕΣΙΣ.

Ὁ λόγος οὗτος ὑπὲρ Διοπείθους εἴρηται καὶ ὧν ἐκεῖνος παρὰ Ἀθηναίοις κατηγόρητο. ἦν μὲν γὰρ Χερρόνησος ἡ πρὸς Θρᾴκην τῶν Ἀθηναίων κτῆμα ἀρχαῖον, εἰς δὲ ταύτην ἀπέστειλαν κατὰ τοὺς Φιλίππου καιροὺς κληρούχους ἑαυτῶν· ἔθος δὲ ἦν τοῦτο παλαιὸν τοῖς Ἀθηναίοις, ὅσοι πένητες ἦσαν αὐτῶν καὶ ἀκτήμονες οἴκοι, τούτους πέμπειν ἐποίκους εἰς τὰς ἔξω πόλεις τας ἑαυτῶν· καὶ ἐλάμβανον πεμπόμενοι ὅπλα τε ἐκ τοῦ δημοσίου καὶ ἐφόδιον. καὶ νῦν τοίνυν τοῦτο γέγονε καὶ πεπόμφασιν ἐποίκους εἰς τὴν Χερρόνησον, στρατηγὸν αὐτοῖς δόντες Διοπείθην. οἱ μὲν οὖν ἄλλοι Χερρονησῖται τοὺς ἐπελθόντας ἐδέξαντο καὶ μετέδωκαν αὐτοῖς καὶ οἰκιῶν καὶ γῆς, Καρδιανοὶ δὲ οὐκ ἐδέξαντο, λέγοντες ἰδίαν χώραν οἰκεῖν καὶ οὐκ Ἀθηναίων. ἐντεῦθεν οὖν Διοπείθης ἐπολέμει Καρδιανοῖς. οἱ δὲ παρὰ Φίλιππον καταφεύγουσι, καὶ ὃς ἐπιστέλλει τοῖς Ἀθηναίοις μὴ βιάζεσθαι Καρδιανοὺς ὡς αὐτῷ προσήκοντας, ἀλλὰ δικάσασθαι πρὸς αὐτούς, εἴ τι φασιν ἠδικῆσθαι. ὡς δὲ οὐκ ἤκουον τούτων οἱ Ἀθηναῖοι, βοήθειαν τοῖς Καρδιανοῖς ἔπεμψεν. ἐφ᾽ οἷς ἀγανακτήσας ὁ Διοπείθης τοῦ Φιλίππου περὶ τὴν μεσόγειαν τὴν ἄνω Θρᾴκην πολεμοῦντος πρὸς τὸν Ὀδρυσῶν βασιλέα, τὴν παράλιον Θρᾴκην ὑπήκοον οὖσαν τοῦ Μακεδόνος κατέδραμε καὶ ἐπόρθησε καὶ ἔφθη, πρὶν Φίλιππον ἐπανελθεῖν, ἀναχωρήσας εἰς τὴν Χερρόνησον καὶ ἐν ἀσφαλεῖ γενόμενος. διόπερ ὁ Φίλιππος οὐ δυνηθεὶς ὅπλοις αὐτὸν ἀμύνασθαι πέπομφεν ἐπιστολὴν πρὸς τοὺς Ἀθηναίους, κατηγορῶν τοῦ στρατηγοῦ καὶ λέγων αὐτὸν παραβεβηκέναι τὴν εἰρήνην ἄντικρυς. καὶ οἱ φιλιππίζοντες τῶν ῥητόρων κατατρέχουσι τοῦ Διοπείθους, καὶ κολάζειν ἀξιοῦσιν αὐτόν. πρὸς οὓς ὁ Δημοσθένης ἐναντιούμενος διχῆ ὑπὲρ τοῦ Διοπείθους ἵσταται. οὔτε γὰρ ἄδικά φησιν αὐτὸν πεποιηκέναι (Φιλίππου γὰρ πολὺ πρότερον παραβάντος τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰρήνην καὶ ἀδικοῦντος τὴν τῶν Ἀθηναίων πόλιν, εἰκότως καὶ τοῦτον ἔργα πολεμίου διαπράττεσθαι) οὔτε συμφέρειν λέγει τοῖς Ἀθηναίοις κολάσαι τὸν στρατηγὸν καὶ διαλῦσαι τὴν ὑπ' ἐκείνῳ δύναμιν, ἥτις νῦν ἀποκρούεται Χερρονήσου Φίλιππον. τὸ δὲ ὅλον ἐπὶ πόλεμον παρακαλεῖ, καὶ τοῦ Φιλίππου πολλὴν ποιεῖται κατηγορίαν ὡς ἀδίκου καὶ παρασπόνδου καὶ τοῖς Ἀθηναίοις καὶ τοῖς Ἕλλησιν ἐπιβουλεύοντος.

---

Ἔδει μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τους λέγοντας 90
ἅπαντας ἐν ὑμῖν μήτε πρὸς ἔχθραν ποιεῖσθαι λόγον μηδένα μήτε πρὸς χάριν, ἀλλ' ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτ' ἀποφαίνεσθαι, ἄλλως τε καὶ περὶ κοινῶν πραγμάτων καὶ μεγάλων ὑμῶν βουλευομένων· ἐπειδὴ δ' ἔνιοι τὰ μὲν φιλονεικίᾳ, τὰ δ' ἡτινιδήποτ' αἰτίᾳ προάγονται λέγειν, ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς πολλοὺς δεῖ πάντα τἄλλ' ἀφέντας, ἃ τῇ πόλει νομίζετε συμφέρειν, ταῦτα καὶ ψηφίζεσθαι καὶ πράττειν.
2 ἡ μὲν οὖν σπουδὴ περὶ τῶν ἐν Χερρονήσῳ πραγμάτων ἐστὶ καὶ τῆς στρατείας, ἣν ἑνδέκατον μῆνα τουτονὶ Φίλιππος ἐν Θρᾴκῃ ποιεῖται· τῶν δὲ λόγων οἱ πλεῖστοι περὶ ὧν Διοπείθης πράττει καὶ μέλλει ποιεῖν εἴρηνται. ἐγὼ δ' ὅσα μέν τις αἰτιᾶταί τινα τούτων, οὓς κατὰ τοὺς νόμους ἐφ' ὑμῖν ἐστιν, ὅταν βούλησθε, κολάζειν, κἂν ἤδη δοκῇ κἂν ἐπισχοῦσι περὶ αὐτῶν σκοπεῖν ἐγχωρεῖν ἡγοῦμαι, καὶ οὐ πάνυ δεῖ περὶ τούτων οὔτ' ἐμὲ
3 οὔτ' ἄλλον οὐδένα ἰσχυρίζεσθαι· ὅσα δ' ἐχθρὸς ὑπάρχων τῇ πόλει Φίλιππος καὶ δυνάμει πολλῇ περὶ Ἑλλήσποντον ὢν πειρᾶται προλαβεῖν, κἂν ἅπαξ ὑστερήσωμεν, οὐκέθ' ἕξομεν σῶσαι, περὶ τούτων δ' οἶμαι τὴν ταχίστην συμφέρειν καὶ βεβουλεῦσθαι καὶ παρεσκευά- 91
σθαι, καὶ μὴ τοῖς περὶ τῶν ἄλλων θορύβοις καὶ ταῖς κατηγορίαις ἀπὸ τούτων ἀποδρᾶναι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

4 Πολλὰ δὲ θαυμάζων τῶν εἰωθότων λέγεσθαι παρ'
ὑμῖν, οὐδενὸς ἧττον, ὦ ἄνδρες Ἀθηναῖοι, τεθαύμακα
ὃ καὶ πρῴην τινὸς ἤκουσα εἰπόντος ἐν τῇ βουλῇ, ὡς
ἄρα δεῖ τὸν συμβουλεύοντα ἢ πολεμεῖν ἁπλῶς ἢ τὴν
5 εἰρήνην ἄγειν συμβουλεύειν. ἔστι δὲ, εἰ μὲν ἡσυχίαν
Φίλιππος ἄγει καὶ μήτε τῶν ἡμετέρων ἔχει παρὰ τὴν
εἰρήνην μηδὲν μήτε συσκευάζεται πάντας ἀνθρώπους
ἐφ' ἡμᾶς, οὐκέτι δεῖ λέγειν, ἀλλ' ἁπλῶς εἰρήνην ἀκ-
τέον, καὶ τά γε ἀφ' ὑμῶν ἕτοιμα ὑπάρχονθ' ὁρῶ· εἰ
δ' ἃ μὲν ὠμόσαμεν καὶ ἐφ' οἷς τὴν εἰρήνην ἐποιησά-
6 μεθα, ἔστιν ἰδεῖν καὶ γεγραμμένα κεῖται, φαίνεται δ'
ἀπ' ἀρχῆς ὁ Φίλιππος, πρὶν Διοπείθην ἐκπλεῦσαι καὶ
τοὺς κληρούχους οὓς νῦν αἰτιῶνται πεποιηκέναι πόλε-
μον, πολλὰ μὲν τῶν ἡμετέρων ἀδίκως εἰληφὼς, ὑπὲρ
ὧν ψηφίσμαθ' ὑμέτερα ἐγκαλοῦντα κύρια ταυτὶ, πάν-
τα δὲ τὸν χρόνον συνεχῶς τὰ τῶν ἄλλων Ἑλλήνων καὶ
βαρβάρων λαμβάνων καὶ ἐφ' ἡμᾶς συσκευαζόμενος, τί
7 τοῦτο λέγουσιν, ὡς πολεμεῖν ἢ ἄγειν εἰρήνην δεῖ; οὐ
γὰρ αἵρεσίς ἐστιν ἡμῖν τοῦ πράγματος, ἀλλ' ὑπολεί-
πεται τὸ δικαιότατον καὶ ἀναγκαιότατον τῶν ἔργων, ὃ
ὑπερβαίνουσιν ἑκόντες οὗτοι. τί οὖν ἐστι τοῦτο; ἀμύ-
νεσθαι τὸν πρότερον πολεμοῦνθ' ἡμῖν. πλὴν εἰ τοῦτο
λέγουσι νὴ Δί', ὡς, ἂν ἀπέχηται τῆς Ἀττικῆς καὶ τοῦ
Πειραιῶς ὁ Φίλιππος, οὔτ' ἀδικεῖ τὴν πόλιν οὔτε ποιεῖ
8 πόλεμον. εἰ δ' ἐκ τούτων τὰ δίκαια τίθενται καὶ τὴν
εἰρήνην ταύτῃ ὁρίζονται, ὅτι μὲν δήπουθεν οὔθ' ὅσια 92
οὔτ' ἀνεκτὰ λέγουσιν οὔθ' ὑμῖν ἀσφαλῆ, δῆλόν ἐστιν
ἅπασιν, οὐ μὴν ἀλλ' ἐναντία συμβαίνει ταῖς κατηγο-
ρίαις ἃς Διοπείθους κατηγοροῦσι καὶ αὐτὰ ταῦτα λέ-
γειν αὐτούς. τί γὰρ δήποτε τῷ μὲν Φιλίππῳ πάντα
τἆλλα ποιεῖν ἐξουσίαν δώσομεν, ἂν τῆς Ἀττικῆς ἀπέ-
χηται, τῷ Διοπείθει δ' οὐδὲ βοηθεῖν τοῖς Θρᾳξὶν ἐξέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

9 σται, ἢ πόλεμον ποιεῖν αὐτὸν φήσομεν; ἀλλὰ νὴ Δία
ταῦτα μὲν ἐξελέγχονται, δεινὰ ποιοῦσι δ' οἱ ξένοι πε-
ρικόπτοντες τὰ ἐν Ἑλλησπόντῳ, καὶ Διοπείθης ἀδικεῖ
κατάγων τα πλοῖα, καὶ δεῖ μὴ ἐπιτρέπειν αὐτῷ. ἔστω,
γιγνέσθω ταῦτα, οὐδὲν ἀντιλέγω. οἶμαι μέντοι δεῖν,
εἴπερ ὡς ἀληθῶς ἐπὶ πᾶσι δικαίοις ταῦτα συμβουλεύ-
10 ουσιν, ὥσπερ τὴν ὑπάρχουσαν τῇ πόλει δύναμιν κα-
ταλῦσαι ζητοῦσι τὸν ἐφεστηκότα καὶ πορίζοντα χρή-
ματα ταύτῃ διαβάλλοντες ἐν ὑμῖν, οὕτω τὴν Φιλίππου
δύναμιν δεῖξαι διαλυθησομένην, ἂν ὑμεῖς ταῦτα πει-
σθῆτε. εἰ δὲ μή, σκοπεῖτε ὅτι οὐδὲν ἄλλο ποιοῦσιν ἢ
καθιστᾶσι τὴν πόλιν εἰς τὸν αὐτὸν τρόπον δι' οὗ τὰ
11 παρελθόντα πράγματα ἅπαντ' ἀπολώλεκεν. ἴστε γὰρ
δήπου τοῦθ', ὅτι οὐδενὶ τῶν πάντων πλέον κεκράτηκε
Φίλιππος ἢ τῷ πρότερος πρὸς τοῖς πράγμασι γίγνε-
σθαι. ὁ μὲν γὰρ ἔχων δύναμιν συνεστηκυῖαν ἀεὶ περὶ
αὑτὸν, καὶ προειδὼς ἃ βούλεται πρᾶξαι, ἐξαίφνης ἐφ'
οὓς ἂν αὐτῷ δόξῃ πάρεστιν· ἡμεῖς δ' ἐπειδὰν πυθώ-
μεθά τι γιγνόμενον, τηνικαῦτα θορυβούμεθα καὶ πα-
12 ρασκευαζόμεθα. εἶτ', οἶμαι, συμβαίνει τῷ μὲν ἐφ' ἃ
ἂν ἔλθῃ, ταῦτ' ἔχειν κατὰ πολλὴν ἡσυχίαν, ἡμῖν δ'
ὑστερίζειν, καὶ ὅσα ἂν δαπανήσωμεν, ἅπαντα μάτην 93
ἀνηλωκέναι, καὶ τὴν μὲν ἔχθραν καὶ τὸ βούλεσθαι
κωλύειν ἐνδεδεῖχθαι, ὑστερίζοντας δὲ τῶν ἔργων αἰ-
σχύνην προσοφλισκάνειν.
13 Μὴ τοίνυν ἀγνοεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι καὶ
νῦν τἄλλα μέν ἐστι λόγοι ταῦτα καὶ προφάσεις, πράτ-
τεται δὲ τοῦτο καὶ κατασκευάζεται, ὅπως ὑμῶν μὲν
οἴκοι μενόντων, ἔξω δὲ μηδεμιᾶς οὔσης τῇ πόλει δυ-
νάμεως, μετὰ πλείστης ἡσυχίας ἅπανθ' ὅσα βούλεται
Φίλιππος διοικήσεται. θεωρεῖτε γὰρ τὸ παρὸν πρῶ-
14 τον, ὃ γίγνεται. νυνὶ δύναμιν μεγάλην ἐκεῖνος ἔχων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν Θρᾴκῃ διατρίβει, καὶ μεταπέμπεται
φασιν οἱ παρόντες, ἀπὸ Μακεδονίας κα
ἐὰν οὖν περιμείνας τοὺς ἐτησίας ἐπὶ Βυζά
πολιορκῇ, πρῶτον μὲν οἴεσθε τοὺς Βυζαν
ἐπὶ τῆς ἀνοίας τῆς αὐτῆς ὥσπερ νῦν, καὶ
15 καλέσειν ὑμᾶς οὔτε βοηθεῖν αὐτοῖς ἀξιώσε
οὐκ οἶμαι, ἀλλὰ καὶ εἴ τισι μᾶλλον ἀπιστο
καὶ τούτους εἰσφρήσεσθαι μᾶλλον ἢ 'κεί
σειν τὴν πόλιν, ἄν περ μὴ φθάσῃ λαβὼν α
οὖν ἡμῶν μὲν μὴ δυναμένων ἐνθένδ'
ἐκεῖ δὲ μηδεμιᾶς ὑπαρχούσης ἑτοίμου βοηθ
16 αὐτοὺς ἀπολωλέναι κωλύσει. νὴ Δία, κακ
γὰρ ἄνθρωποι καὶ ὑπερβάλλουσιν ἀνοίᾳ
ἀλλ' ὅμως αὐτοὺς δεῖ σῶς εἶναι· συμφέρει γ
καὶ μὴν οὐδ' ἐκεῖνό γε δῆλόν ἐστιν ἡμῖν,
ρόνησον οὐχ ἥξει· ἀλλ' εἴγ' ἐκ τῆς ἐπιστο
πεῖν ἧς ἔπεμψε πρὸς ὑμᾶς, ἀμυνεῖσθαί φ
17 Χερρονήσῳ. ἂν μὲν τοίνυν ᾖ τὸ συνεσ
στράτευμα, καὶ τῇ χώρᾳ βοηθῆσαι δυνήσ
ἐκείνου τι κακῶς ποιῆσαι· εἰ δ' ἅπαξ διαλ
ποιήσομεν, ἂν ἐπὶ Χερρόνησον ἴῃ; κρινοῦ
θην νὴ Δία. καὶ τί τὰ πράγματ' ἔσται β
ἐνθένδε ἂν βοηθήσαιμεν αὐτῷ. ἂν δ' ὑπ
μάτων μὴ δυνώμεθα; ἀλλὰ μὰ Δί' οὐχ ἥ
18 ἐγγυητής ἐστι τούτου; ἆρ' ὁρᾶτε καὶ λογίζ
δρες Ἀθηναῖοι, τὴν ἐπιοῦσαν ὥραν τοῦ ἔτ
ἔρημόν τινες οἴονται δεῖν τὸν Ἑλλήσποντο
ῆσαι καὶ παραδοῦναι Φιλίππῳ; τί δ', ἂν
Θρᾴκης καὶ μηδὲ προσελθὼν Χερρονήσῳ μ
τίῳ (καὶ γὰρ ταῦτα λογίζεσθε) ἐπὶ Χαλκίδ
ἥκῃ τὸν αὐτὸν τρόπον ὅνπερ ἐπ' Ὠρεὸν πρ
ρον κρεῖττον ἐνθάδ' αὐτὸν ἀμύνεσθαι καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν πόλεμον πρὸς τὴν Ἀττικὴν ἐᾶσαι, ἢ κατασκευάζειν ἐκεῖ τιν' ἀσχολίαν αὐτῷ; ἐγὼ μὲν οἶμαι τοῦτο.

19 Ταῦτα τοίνυν ἅπαντας εἰδότας καὶ λογιζομένους χρὴ μὰ Δί' οὐχ ἣν Διοπείθης πειρᾶται τῇ πόλει δύναμιν παρασκευάζειν, ταύτην βασκαίνειν καὶ διαλῦσαι πειρᾶσθαι, ἀλλ' ἑτέραν αὐτοὺς προσπαρασκευάζειν καὶ συνευποροῦντας ἐκείνῳ χρημάτων καὶ τἄλλα οἰ-
20 κείως συναγωνιζομένους. εἰ γάρ τις ἔροιτο Φίλιππον, εἰπέ μοι, πότερ' ἂν βούλοιο τούτους τοὺς στρατιώτας οὓς Διοπείθης νῦν ἔχει, τοὺς ὁποιουστινασοῦν (οὐδὲν γὰρ ἀντιλέγω) εὐθενεῖν καὶ παρ' Ἀθηναίοις εὐδοξεῖν καὶ πλείους γίγνεσθαι τῆς πόλεως συναγωνιζομένης, ἢ διαβαλλόντων τινῶν καὶ κατηγορούντων διασπασθῆναι καὶ διαφθαρῆναι; τοῦτ' ἄν, οἶμαι, φήσειεν. εἶθ' ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς, ταῦθ' ἡμῶν τινὲς 95 ἐνθάδε πράττουσιν; εἶτα ἔτι ζητεῖτε πόθεν τὰ τῆς πόλεως ἀπόλωλεν ἅπαντα;

21 Βούλομαι τοίνυν πρὸς ὑμᾶς μετα παρρησίας ἐξετάσαι τὰ παρόντα πράγματα τῇ πόλει, καὶ σκέψασθαι τί ποιοῦμεν αὐτοὶ νῦν καὶ ὅπως χρώμεθ' αὐτοῖς. ἡμεῖς οὔτε χρήματα εἰσφέρειν βουλόμεθα, οὔτε αὐτοὶ στρατεύεσθαι τολμῶμεν, οὔτε τῶν κοινῶν ἀπέχεσθαι δυ-
22 νάμεθα, οὔτε τὰς συντάξεις Διοπείθει δίδομεν, οὔθ' ὅσ' ἂν αὐτὸς αὑτῷ πορίσηται ἐπαινοῦμεν, ἀλλὰ βασκαίνομεν καὶ σκοποῦμεν πόθεν καὶ τί μέλλει ποιεῖν καὶ πάντα τὰ τοιαυτί, οὔτ' ἐπειδήπερ οὕτως ἔχομεν, τὰ ἡμέτερ' αὐτῶν πράττειν ἐθέλομεν, ἀλλ' ἐν μὲν τοῖς λόγοις τοὺς τῆς πόλεως λέγοντας ἄξια ἐπαινοῦμεν, ἐν δὲ τοῖς ἔργοις τοῖς ἐναντιουμένοις τούτοις συναγωνι-
23 ζόμεθα. ὑμεῖς μὲν τοίνυν εἰώθατε ἑκάστοτε τὸν παριόντα ἐρωτᾶν, τί οὖν χρὴ ποιεῖν; ἐγὼ δ' ὑμᾶς ἐρωτῆσαι βούλομαι, τί οὖν χρὴ λέγειν; εἰ γὰρ μήτε εἰσοίσετε, μήτε



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτοὶ στρατεύσεσθε, μήτε τῶν κοινῶν ἀφέξεσθε,
τὰς συντάξεις Διοπείθει δώσετε, μήτε ὅσ' ἂν αὐτὸ
τῷ πορίσηται ἐάσετε, μήτε τὰ ὑμέτερ' αὐτῶν πρά
ἐθελήσετε, οὐκ ἔχω τί λέγω. εἰ γὰρ ἤδη τοσαύτην
σίαν τοῖς αἰτιᾶσθαι καὶ διαβάλλειν βουλομένοις δ
ὥστε καὶ περὶ ὧν ἂν φῶσι μέλλειν αὐτὸν ποιεῖν, καὶ
τούτων προκατηγορούντων ἀκροᾶσθε, τί ἂν τις λ
24 Ὅ τι τοίνυν δύναται ταῦτα ποιεῖν, ἐνίους μα
ὑμῶν δεῖ. λέξω δὲ μετὰ παρρησίας· καὶ γὰρ οὐ
ἄλλως δυναίμην. πάντες ὅσοι πώποτ' ἐκπεπλευ
παρ' ὑμῶν στρατηγοί, ἢ ἐγὼ πάσχειν ὁτιοῦν τιμα
καὶ παρὰ Χίων καὶ παρ' Ἐρυθραίων καὶ παρ' ὧ
ἕκαστοι δύνωνται, τούτων τῶν τὴν Ἀσίαν οἰκού
25 λέγω, χρήματα λαμβάνουσιν. λαμβάνουσι δὲ οἱ
ἔχοντες μίαν ἢ δύο ναῦς ἐλάττονα, οἱ δὲ μείζω δ
μιν πλείονα. καὶ διδόασιν οἱ διδόντες οὔτε τὰ μ
οὔτε τὰ πολλὰ ἀντ' οὐδενὸς (οὐ γὰρ οὕτω μαίνον
ἀλλ' ὠνούμενοι μὴ ἀδικεῖσθαι τοὺς παρ' αὑτῶν
πλέοντας ἐμπόρους, μὴ συλᾶσθαι, παραπέμπε
τὰ πλοῖα τὰ αὑτῶν, τὰ τοιαῦτα· φασὶ δ' εὐνοία
26 δόναι, καὶ τοῦτο τοὔνομ' ἔχει τὰ λήμματα ταῦτα.
δὴ καὶ νῦν τῷ Διοπείθει στράτευμ' ἔχοντι σαφῶς
τοῦτο δῆλον ὅτι δώσουσι χρήματα πάντες οὗτοι·
θεν γὰρ οἴεσθε ἄλλοθεν τὸν μήτε λαβόντα παρ' ὑ
μηδὲν μήτ' αὐτὸν ἔχοντα ὁπόθεν μισθοδοτήσει σ
τιώτας τρέφειν; ἐκ τοῦ οὐρανοῦ; οὐκ ἔστι ταῦτα,
ἀφ' ὧν ἀγείρει καὶ προσαιτεῖ καὶ δανείζεται, ἀπὸ
27 των διάγει. οὐδὲν οὖν ἄλλο ποιοῦσιν οἱ κατηγορ
τες ἐν ὑμῖν ἢ προλέγουσιν ἅπασι μηδ' ὁτιοῦν ἐκ
διδόναι, ὡς καὶ τοῦ μελλῆσαι δώσοντι δίκην, μ
ποιήσαντί γε ἢ συγκαταπραξαμένῳ. τοῦτ' εἰσὶν οἱ
γοι· μέλλει πολιορκεῖν, τοὺς Ἕλληνας ἐκδίδωσι· μ

Ψηφιακή Κεντρική Βιβλιοθήκη Βέροιας

γάρ τινι τούτων τῶν τὴν Ἀσίαν οἰκούντων Ἑλλήνων;
ἀμείνους μέντἂν εἶεν τῶν ἄλλων ἢ τῆς πατρίδος κή-
28 δεσθαι. καὶ τό γ' εἰς τὸν Ἑλλήσποντον ἐκπέμπειν ἕτε-
ρον στρατηγὸν τοῦτ' ἐστίν. εἰ γὰρ δεινὰ ποιεῖ Διοπεί-
θης καὶ κατάγει τὰ πλοῖα, μικρόν, ὦ ἄνδρες Ἀθη-
ναῖοι, μικρὸν πινάκιον ταῦτα πάντα κωλῦσαι δύναιτ'
ἄν, καὶ λέγουσιν οἱ νόμοι ταῦτα τοὺς ἀδικοῦντας εἰσ- 97
αγγέλλειν, οὐ μὰ Δία δαπάναις καὶ τριήρεσι τοσαύ-
ταις ἡμᾶς αὐτοὺς φυλάττειν, ἐπεὶ τοῦτό γ' ἐστὶν ὑπερ-
29 βολὴ μανίας· ἀλλ' ἐπὶ μὲν τοὺς ἐχθρούς, οὓς οὐκ ἔστι
λαβεῖν ὑπὸ τοῖς νόμοις, καὶ στρατιώτας τρέφειν καὶ
τριήρεις ἐκπέμπειν καὶ χρήματα εἰσφέρειν δεῖ καὶ ἀναγ-
καῖόν ἐστιν, ἐπὶ δ' ἡμᾶς αὐτοὺς ψήφισμα, εἰσαγγε-
λία, πάραλος, ταῦτ' ἐστὶν ἱκανά. ταῦτ' ἦν εὖ φρο-
νούντων ἀνθρώπων, ἐπηρεαζόντων δὲ καὶ διαφθει-
30 ρόντων τὰ πράγματα, ἃ νῦν οὗτοι ποιοῦσιν. καὶ τὸ
μὲν τούτων τινὰς εἶναι τοιούτους, δεινὸν ὂν οὐ δεινόν
ἐστιν· ἀλλ' ὑμεῖς οἱ καθήμενοι οὕτως ἤδη διάκεισθε
ὥστε, ἂν μέν τις εἴπῃ παρελθὼν ὅτι Διοπείθης ἐστὶ
τῶν κακῶν πάντων αἴτιος ἢ Χάρης ἢ Ἀριστοφῶν ἢ ὃν
ἂν τῶν πολιτῶν εἴπῃ τις, εὐθέως φατὲ καὶ θορυβεῖτε
31 ὡς ὀρθῶς λέγει· ἂν δὲ παρελθὼν λέγῃ τις τἀληθῆ, ὅτι
"ληρεῖτε, Ἀθηναῖοι· πάντων τῶν κακῶν καὶ τῶν πρα-
"γμάτων τούτων Φίλιππός ἐστ' αἴτιος· εἰ γὰρ ἐκεῖνος
"ἦγεν ἡσυχίαν, οὐδὲν ἂν ἦν πρᾶγμα τῇ πόλει," ὡς μὲν
οὐκ ἀληθῆ ταῦτ' ἐστὶν οὐχ ἕξετε ἀντιλέγειν, ἄχθεσθαι
32 δέ μοι δοκεῖτε καὶ ὥσπερ ἀπολλύναι τι νομίζειν. αἴ-
τιον δὲ τούτων (καί μοι πρὸς θεῶν, ὅταν ἕνεκα τοῦ
βελτίστου λέγω, ἔστω παρρησία)· παρεσκευάκασιν
ὑμᾶς ἐκ πολλοῦ τῶν πολιτευομένων ἔνιοι ἐν μὲν
ταῖς ἐκκλησίαις φοβεροὺς καὶ χαλεποὺς, ἐν δὲ ταῖς
παρασκευαῖς ταῖς τοῦ πολέμου ῥᾳθύμους καὶ εὐ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καταφρονήτους. ἂν μὲν οὖν τὸν αἴτιον εἴπῃ τις ὃν ἴστ
ὅτι λήψεσθε παρ' ὑμῖν αὐτοῖς, φατὲ καὶ βούλεσθε
ἂν δὲ τοιοῦτον λέγῃ τις, ὃν κρατήσαντας τοῖς ὅπλοις
ἄλλως δ' οὐκ ἔστι κολάσαι, οὐκ ἔχετ', οἶμαι, τί ποιή-
33 σετε, ἐξελεγχόμενοι δὲ ἄχθεσθε. ἐχρῆν δέ, ὦ ἄνδρε
Ἀθηναῖοι, τοὐναντίον ἢ νῦν ἅπαντας τοὺς πολιτευο-
μένους ἐν μὲν ταῖς ἐκκλησίαις πράους καὶ φιλανθρώ-
πους ὑμᾶς ἐθίζειν εἶναι (πρὸς γὰρ ὑμᾶς αὐτοὺς κα
τοὺς συμμάχους ἐν ταύταις ἐστὶ τὰ δίκαια), ἐν δὲ ταῖ
παρασκευαῖς ταῖς τοῦ πολέμου φοβεροὺς καὶ χαλεποὺ
ἐπιδεικνύναι· πρὸς γὰρ τοὺς ἐχθροὺς καὶ τοὺς ἀντι-
34 πάλους ἐκεῖνός ἐσθ' ὁ ἀγών. νῦν δὲ δημαγωγοῦντε
ὑμᾶς καὶ χαριζόμενοι καθ' ὑπερβολὴν οὕτω διατεθεί
κασιν ὥστ' ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κολα
κεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούοντας, ἐν δὲ τοῖ
πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδ
κινδυνεύειν. φέρε γὰρ πρὸς Διός, εἰ λόγον ὑμᾶς ἀπαι
τήσειαν οἱ Ἕλληνες ὧν νυνὶ παρείκατε καιρῶν διὰ ῥᾳ
35 θυμίαν, καὶ ἔροινθ' ὑμᾶς, "ἄνδρες Ἀθηναῖοι, πέμ
"πετε ὡς ἡμᾶς ἑκάστοτε πρέσβεις, καὶ λέγεθ' ὡς ἐπι
"βουλεύει Φίλιππος ἡμῖν καὶ πᾶσι τοῖς Ἕλλησι καὶ ὡ
"φυλάττεσθαι δεῖ τὸν ἄνθρωπον καὶ πάντα τὰ τοιαῦτ
ἀνάγκη φάσκειν καὶ ὁμολογεῖν· ποιοῦμεν γὰρ ταῦτ
"εἶτ', ὦ πάντων ἀνθρώπων φαυλότατοι, δέκα μηνῶ
36 "ἀπογενομένου τἀνθρώπου καὶ νόσῳ καὶ χειμῶνι κ
"πολέμοις ἀποληφθέντος ὥστε μὴ ἂν δύνασθαι ἐπα
"νελθεῖν οἴκαδε, οὔτε τὴν Εὔβοιαν ἠλευθερώσατε οὔ
"τῶν ὑμετέρων αὐτῶν οὐδὲν ἐκομίσασθε, ἀλλ' ἐκεῖν
"μὲν ὑμῶν οἴκοι μενόντων, σχολὴν ἀγόντων, ὑγια
"νόντων," (εἰ δὴ τοὺς τὰ τοιαῦτα ποιοῦντας ὑγιαίνε
φήσαιεν) "δύο ἐν Εὐβοίᾳ κατέστησε τυράννους, τὸ
"μὲν ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπιτειχίσας, τὸν δ' ἐ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

37 "Σκίαθον, ὑμεῖς δ' οὐδὲ ταῦτ' ἀπελύσασθε, εἰ μηδὲν
"ἄλλο ἐβούλεσθε, ἀλλ' εἰάκατε καὶ ἀφέστατε δῆλον ὅτι
"αὐτῷ, καὶ φανερὸν πεποιήκατε ὅτι οὐδ' ἂν δεκάκις
"ἀποθάνῃ, οὐδὲν μᾶλλον κινήσεσθε. τί οὖν πρεσβεύ-
"εσθε καὶ κατηγορεῖτε καὶ πράγμαθ' ἡμῖν παρέχετε;"
ἂν ταῦτα λέγωσι, τί ἐροῦμεν ἢ τί φήσομεν, ὦ ἄνδρες
Ἀθηναῖοι; ἐγὼ μὲν γὰρ οὐχ ὁρῶ.
38 Εἰσὶ τοίνυν τινὲς οἳ τότ' ἐξελέγχειν τὸν παριόντα
οἴονται, ἐπειδὰν ἐρωτήσωσι, τί οὖν χρὴ ποιεῖν; οἷς
ἐγὼ μὲν τὸ δικαιότατον καὶ ἀληθέστατον τοῦτ' ἀποκρι-
νοῦμαι, ταῦτα μὴ ποιεῖν ἃ νυνὶ ποιεῖτε, οὐ μὴν ἀλλὰ
καὶ καθ' ἕκαστον ἀκριβῶς ἐρῶ. καὶ ὅπως, ὥσπερ ἐρω-
39 τῶσι προθύμως, οὕτω καὶ ποιεῖν ἐθελήσουσιν. πρῶ-
τον μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς
βεβαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ
τὴν εἰρήνην λέλυκε (καὶ παύσασθε περὶ τούτου κατη-
γοροῦντες ἀλλήλων) καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς
40 ὅλῃ τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ
καὶ τοῖς ἐν τῇ πόλει πᾶσιν ἀνθρώποις, καὶ τοῖς μάλιστ'
οἰομένοις αὐτῷ χαρίζεσθαι (εἰ δὲ μὴ, σκεψάσθωσαν
Εὐθυκράτην καὶ Λασθένην τοὺς Ὀλυνθίους, οἳ δο-
κοῦντες οἰκειότατ' αὐτῷ διακεῖσθαι, ἐπειδὴ τὴν πόλιν
προὔδοσαν, πάντων κάκιστ' ἀπολώλασιν), οὐδενὶ
μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ' ἐπιβουλεύει,
καὶ σκοπεῖ μᾶλλον οὐδὲ ἓν τῶν πάντων ἢ πῶς ταύτην
41 καταλύσει. καὶ τοῦτ' εἰκότως τρόπον τινὰ πράττει·
οἶδε γὰρ ἀκριβῶς ὅτι οὐδ' ἂν πάντων τῶν ἄλλων γέ-
νηται κύριος, οὐδὲν ἔσται αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν
ὑμεῖς δημοκρατῆσθε, ἀλλ' ἐάν ποτε συμβῇ τι πταῖσμα,
ἃ πολλὰ γένοιτ' ἂν ἀνθρώπῳ, ἥξει πάντα τὰ νῦν συμ-
42 βεβιασμένα καὶ καταφεύξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ
ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆσαι καὶ κατασχεῖν ἀρχὴν εὖ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πεφυκότες, ἀλλ' ἕτερον λαβεῖν κωλῦσαι καὶ ἔχοντ'
ἀφελέσθαι δεινοί, καὶ ὅλως ἐνοχλῆσαι τοῖς ἄρχειν
βουλομένοις καὶ πάντας ἀνθρώπους εἰς ἐλευθερίαν
ἀφελέσθαι ἕτοιμοι. οὔκουν βούλεται τοῖς ἑαυτοῦ και-
ροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν, οὐδὲ πολ-
λοῦ δεῖ, οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος.
43 πρῶτον μὲν δὴ τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πο-
λιτείας [καὶ τῆς δημοκρατίας] ἀδιάλλακτον ἐκεῖνον· εἰ
γὰρ μὴ τοῦτο πεισθήσεσθε ταῖς ψυχαῖς, οὐκ ἐθελήσετε
ὑπὲρ τῶν πραγμάτων σπουδάζειν· δεύτερον δ' εἰδέναι
σαφῶς ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κατασκευά-
ζεται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται,
καὶ ὅπου τις ἐκεῖνον ἀμύνεται, ἐνταῦθ' ὑπὲρ ἡμῶν
44 ἀμύνεται. οὐ γὰρ οὕτω γ' εὐήθης ἐστὶν ὑμῶν οὐ-
δεὶς ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴ-
κῃ κακῶν (τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ
Καβύλην καὶ Μάστειραν καὶ ἃ νῦν ἐξαιρεῖ καὶ κα-
τασκευάζεται;) τούτων μὲν ἐπιθυμεῖν καὶ ὑπὲρ τοῦ
ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας καὶ τοὺς ἐσχά-
45 τους κινδύνους ὑπομένειν, τῶν δὲ Ἀθηναίων λιμένων
καὶ νεωρίων καὶ τριήρων καὶ τῶν ἔργων τῶν ἀργυρεί-
ων καὶ τοσούτων προσόδων οὐκ ἐπιθυμεῖν, ἀλλὰ ταῦτα
μὲν ἐάσειν ἡμᾶς ἔχειν, ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶν
ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ βαράθρῳ 101
χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κἀκεῖνα ὑπὲρ τοῦ
τούτων γενέσθαι κύριος καὶ τἆλλα πάντα πραγματεύ-
46 εται. τί οὖν εὖ φρονούντων ἀνθρώπων ἐστίν; εἰδό-
τας ταῦτα καὶ ἐγνωκότας τὴν μὲν ὑπερβάλλουσαν καὶ
ἀνήκεστον ταύτην ῥᾳθυμίαν ἀποθέσθαι, χρήματα δ'
εἰσφέρειν, καὶ τοὺς συμμάχους ἀξιοῦν, καὶ ὅπως τὸ
συνεστηκὸς τοῦτο συμμενεῖ στράτευμα ὁρᾶν καὶ πράτ-
τειν, ἵν' ὥσπερ ἐκεῖνος ἕτοιμον ἔχει δύναμιν τὴν ἀδι-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κήσουσαν καὶ καταδουλωσομένην ἅπαντας τοὺς Ἕλλη-
νας, οὕτω τὴν σώσουσαν ὑμεῖς καὶ βοηθήσουσαν ἅπα-
σιν ἕτοιμον ἔχητε. οὐ γάρ ἔστι βοηθείαις χρωμένους
οὐδέποτ' οὐδὲν τῶν δεόντων πρᾶξαι, ἀλλὰ κατασκευ-
άσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορίσαντας
καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν χρημά-
των φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποιήσαν-
τας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων λαμβά-
νειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ. κἂν οὕτω
ποιήσητε καὶ ταῦτ' ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην
δικαίαν καὶ μένειν ἐπὶ τῆς αὐτοῦ Φίλιππον ἀναγκάσετε,
οὗ μεῖζον οὐδὲν ἂν γένοιτ' ἀγαθόν, ἢ πολεμήσετ' ἐξ ἴσου·

Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης μεγάλης καὶ
πόνων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλα ὀρθῶς
δοκεῖ· ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα
γενησόμενα, ἂν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσιτε-
λοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί τις
ἐγγυητὴς ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γ' οὐδεὶς ἂν
γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος) ὡς, ἐὰν ἄγηθ'
ἡσυχίαν καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς ὑμᾶς τε-
λευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία καὶ πάν- 102
τας θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόντων τῇ
πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς ἰδίας ἕνε-
κα ῥᾳθυμίας τοὺς ἄλλους πάντας Ἕλληνας εἰς δουλείαν
προέσθαι, καὶ ἔγωγε αὐτὸς μὲν τεθνάναι μᾶλλον ἂν
ἢ ταῦτ' εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ' εἴ τις ἄλλος
λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε, ἅπαντα πρό-
εσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναντίον δὲ προΐσμεν
ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσωμεν ἐκεῖνον γενέ-
σθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ καὶ ἰσχυροτέρῳ χρη-
σόμεθα ἐχθρῷ, ποῖ ἀναδυόμεθα ἢ τί μέλλομεν; ἢ πότε,
ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέοντα ποιεῖν ἐθελήσομεν; ὅταν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*νὴ Δί' ἀνάγκη τις ᾖ. ἀλλ' ἣν μὲν ἄν τις ἐλευθέρων ἀν-
θρώπων ἀνάγκην εἴποι, οὐ μόνον ἤδη πάρεστιν, ἀλλὰ
καὶ πάλαι παρελήλυθε, τὴν δὲ τῶν δούλων ἀπεύχεσθαι
δήπου μὴ γενέσθαι δεῖ. διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευ-
θέρῳ μὲν ἀνθρώπῳ μεγίστη ἀνάγκη ἡ ὑπὲρ τῶν γιγνο-
μένων αἰσχύνη, καὶ μείζω ταύτης οὐκ οἶδ' ἥντιν' ἂν εἴ-
ποι τις· δούλῳ δὲ πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμός,
ἃ μήτε γένοιτο οὔτε λέγειν ἄξιον.*
52 *Πάντα τοίνυν τἄλλ' εἰπὼν ἂν ἡδέως, καὶ δείξας ὃν
τρόπον ὑμᾶς ἔνιοι καταπολιτεύονται, τὰ μὲν ἄλλα ἐά-
σω· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμπέσῃ, εὐθὺς
ἀναστάς τις λέγει τὸ τὴν εἰρήνην ἄγειν ὡς ἀγαθὸν καὶ
τὸ τρέφειν δύναμιν μεγάλην ὡς χαλεπὸν, καὶ "διαρπά-
"ζειν τινὲς τὰ χρήματα βούλονται" καὶ τοιούτους λό-
γους, ἐξ ὧν ἀναβάλλουσι μὲν ὑμᾶς, ἡσυχίαν δὲ ποιοῦ-*
53 *σιν ἐκείνῳ πράττειν ὅ τι βούλεται. ἐκ δὲ τούτων περι-
γίγνεται ὑμῖν μὲν ἡ σχολὴ καὶ τὸ μηδὲν ἤδη ποιεῖν, ἃ* 100
*δέδοιχ' ὅπως μήποθ' ἡγήσεσθε ἐπὶ πολλῷ γεγενῆσθαι,
τούτοις δ' αἱ χάριτες καὶ ὁ μισθὸς ὁ τούτων. ἐγὼ δ'
οἶμαι τὴν μὲν εἰρήνην ἄγειν οὐχ ὑμᾶς δεῖν πείθειν, οἳ
πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ τοῦ πολέμου πράτ-*
54 *τοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γ' ἀφ' ὑμῶν ὑπάρχει·
νομίζειν δ' εἶναι χαλεπὰ οὐχ ὅσ' ἂν εἰς σωτηρίαν δα-
πανῶμεν, ἀλλ' ἃ πεισόμεθα, ἂν ταῦτα μὴ ἐθέλωμεν
ποιεῖν· καὶ τὸ "διαρπασθήσεται τὰ χρήματα" τῷ φυλα-
κὴν εἰπεῖν, δι' ἧς σωθήσεται, κωλύειν, οὐχὶ τῷ τοῦ*
55 *συμφέροντος ἀφεστάναι. καίτοι ἔγωγ' ἀγανακτῶ καὶ
αὐτὸ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν χρήματα λυ-
πεῖ τινὰς ὑμῶν, εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν
καὶ κολάζειν τοὺς ἀδικοῦντας ἐφ' ὑμῖν ἐστι, τὴν δ' Ἑλ-
λάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ λυ-
πεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων.*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

56 Τί ποτ' οὖν ἐστι τὸ αἴτιον, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ
τὸν μὲν οὕτω φανερῶς στρατεύοντα, ἀδικοῦντα, πόλεις
καταλαμβάνοντα, μηδένα τούτων πώποτ' εἰπεῖν ὡς πό-
λεμον ποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν μηδὲ προΐεσθαι ταῦ-
τα συμβουλεύοντας, τούτους τὸν πόλεμον ποιήσειν
57 αἰτιᾶσθαι; ἐγὼ διδάξω· ὅτι τὴν ὀργὴν ἣν εἰκός ἐστι γε-
νέσθαι παρ' ὑμῶν, ἄν τι λυπῆσθε τῷ πολέμῳ, εἰς τοὺς
ὑπὲρ ὑμῶν λέγοντας τὰ βέλτιστα τρέψαι βούλονται,
ἵνα τούτους κρίνητε, μὴ Φίλιππον ἀμύνησθε, καὶ κα-
τηγορῶσιν αὐτοί, μὴ δίκην δῶσιν ὧν ποιοῦσι νῦν.
τοῦτ' αὐτοῖς δύναται τὸ λέγειν ὡς ἄρα βούλονταί πόλε-
μόν τινες ποιῆσαι παρ' ὑμῖν, καὶ περὶ τούτου ἡ διαδι-
58 κασία αὕτη ἐστίν. ἐγὼ δ' οἶδα ἀκριβῶς ὅτι οὐ γράψαν- 104
τος Ἀθηναίων οὐδενός πω πόλεμον καὶ ἄλλα πολλὰ
Φίλιππος ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς Καρδίαν πέ-
πομφε βοήθειαν. εἰ μέντοι βουλόμεθ' ἡμεῖς μὴ προσ-
ποιεῖσθαι πολεμεῖν αὐτὸν ἡμῖν, ἀνοητότατος πάντων
59 ἂν εἴη τῶν ὄντων ἀνθρώπων, εἰ τοῦτ' ἐξελέγχοι. ἀλλ'
ἐπειδὰν ἐπ' αὐτοὺς ἡμᾶς ἴῃ, τί φήσομεν; ἐκεῖνος μὲν
γὰρ οὐ πολεμεῖν, ὥσπερ οὐδ' Ὠρείταις τῶν στρατιωτῶν
ὄντων ἐν τῇ χώρᾳ, οὐδὲ Φεραίοις πρότερον, πρὸς τὰ
τείχη προσβάλλων αὐτῶν, οὐδ' Ὀλυνθίοις ἐξ ἀρχῆς,
ἕως ἐν αὐτῇ τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ
τότε τοὺς ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φή-
σομεν; οὐκοῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γ'
οὐδέν ἐστι μεταξὺ τοῦ μήτ' ἀμύνεσθαι μήτ' ἄγειν ἡσυ-
60 χίαν ἐᾶσθαι. καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε καὶ
τοῖς ἄλλοις ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ τὴν πό-
λιν ποιήσασθαι βούλεται Φίλιππος, ἀλλ' ὅλως ἀνελεῖν.
οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν μὲν ὑμεῖς οὔτ' ἐθελή-
σετε οὔτ', ἂν ἐθελήσητε, ἐπιστήσεσθε (ἄρχειν γὰρ εἰώ-
θατε), πράγματα δ' αὐτῷ παρασχεῖν, ἂν καιρὸν λα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε.

61 Ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ὄντος τοῦ ἀγῶνος προσήκει οὕτω γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητ' ἐχθροὺς ὑπηρετοῦντας ἐκείνῳ, ἀλλ' ἀνάγκη τούτοις ὥσπερ προβόλοις προσ-
62 πταίοντας ὑστερίζειν ἐκείνων. πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν ὑμᾶς (οὐδὲν γὰρ ἄλλ' ἔμοιγε δοκεῖ ποιεῖν ἢ 105
τοῦτο) καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δ' ἀπειλεῖν ἤδη; οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτ' οὐδεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους πρότερον δοὺς Ποτίδαιαν ἐξηπάτησε
63 καὶ πόλλ' ἕτερα· Θηβαίους τὰ νῦν ὑπάγει τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ' ὅ τι ἂν ποτε συμβῇ πείσονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε, σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι, πόσα ἐξηπάτησθε, πόσων ἀπεστέρη-
64 σθε. οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τἀπὶ Θρᾴκης, Δορίσκον, Σέρρειον, τὸν Κερσοβλέπτην αὐτόν; οὐ νῦν τὴν πόλιν τὴν Καρδιανῶν ἔχει καὶ ὁμολογεῖ; τί ποτ' οὖν ἐκείνως τοῖς ἄλλοις καὶ οὐ τὸν αὐτὸν τρόπον ὑμῖν προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ἡμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρήματ' αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν, κἂν
65 ἀφῃρημένοι τὰ ὑμέτερ' αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου μὴ σὺν εὖ πεπονθότων τῶν πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι·

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου μὴ
σὺν εὖ πεπονθότος τοῦ πλήθους τοῦ Θετταλῶν τῷ
τοὺς τυράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν Πυ-
λαίαν ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλὲς, πρὶν τὴν
66 Βοιωτίαν ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ' 106
Ἀθήνησιν οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν
χώραν ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευά-
ζοντος ὑμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυ-
ζάντιον παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίπ-
που. καὶ γάρ τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ
πλούσιοι γεγόνασι καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδο-
ξοι καὶ γνώριμοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων
ἄδοξοι, ἐκ δ' εὐπόρων ἄποροι· πόλεως γὰρ ἔγωγε
πλοῦτον ἡγοῦμαι συμμάχους, πίστιν, εὔνοιαν, ὧν πάν-
67 των ἔσθ' ὑμεῖς ἄποροι. ἐκ δὲ τοῦ τούτων ὀλιγώρως
ὑμᾶς ἔχειν καὶ ἐᾶν ταῦτα φέρεσθαι ὁ μὲν εὐδαίμων καὶ
μέγας καὶ φοβερὸς πᾶσιν Ἕλλησι καὶ βαρβάροις, ὑμεῖς
δ' ἔρημοι καὶ ταπεινοί, τῇ μὲν τῶν ὠνίων ἀφθονίᾳ λαμ-
προί, τῇ δ' ὧν προσῆκε παρασκευῇ καταγέλαστοι. οὐ τὸν
αὐτὸν δὲ τρόπον περί θ' ὑμῶν καὶ περὶ αὑτῶν ἐνίους τῶν
λεγόντων ὁρῶ βουλευομένους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν
ἄγειν φασὶ δεῖν, κἄν τις ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται
παρ' ὑμῖν ἡσυχίαν ἄγειν οὐδενὸς αὐτοὺς ἀδικοῦντος.
68 Εἶτα φησὶν ὅς ἂν τύχῃ παρελθὼν "οὐ γὰρ ἐθέλεις
"γράφειν, οὐδὲ κινδυνεύειν, ἀλλ' ἄτολμος εἶ καὶ μαλα-
"κός." ἐγὼ δὲ θρασὺς μὲν καὶ βδελυρὸς καὶ ἀναιδὴς
οὔτ' εἰμὶ μήτε γενοίμην, ἀνδρειότερον μέντοι πολλῷ
πάνυ τῶν ἰταμῶς πολιτευομένων παρ' ὑμῖν ἐμαυτὸν
69 ἡγοῦμαι. ὅστις μὲν γὰρ, ὦ ἄνδρες Ἀθηναῖοι, παριδὼν
ἃ συνοίσει τῇ πόλει, κρίνει, δημεύει, δίδωσι, κατηγο-
ρεῖ, οὐδεμιᾷ ταῦτ' ἀνδρείᾳ ποιεῖ, ἀλλ' ἔχων ἐνέχυρον
τῆς αὑτοῦ σωτηρίας τὸ πρὸς χάριν ὑμῖν λέγειν καὶ πο- 107

Δημόσια Κεντρική Βιβλιοθήκη Σέρρας

λιτεύεσθαι ἀσφαλῶς θρασύς ἐστιν· ὅστις δ' ὑπὲρ τοῦ
βελτίστου πολλὰ τοῖς ὑμετέροις ἐναντιοῦται βουλήμα-
σι, καὶ μηδὲν λέγει πρὸς χάριν, ἀλλὰ τὸ βέλτιστον ἀεί,
καὶ τὴν τοιαύτην πολιτείαν προαιρεῖται ἐν ᾗ πλειόνων
ἡ τύχη κυρία γίγνεται ἢ οἱ λογισμοί, τούτων δ' ἀμφο-
70 τέρων ἑαυτὸν ὑπεύθυνον ὑμῖν παρέχει, οὗτός ἐστ' ἀν-
δρεῖος, καὶ χρήσιμός γε πολίτης ὁ τοιοῦτός ἐστιν, οὐχ
οἱ τῆς παρ' ἡμέραν χάριτος τὰ μέγιστα τῆς πόλεως ἀπο-
λωλεκότες, οὓς ἐγὼ τοσούτου δέω ζηλοῦν ἢ νομίζειν
ἀξίους πολίτας τῆς πόλεως εἶναι, ὥστ' εἴ τις ἔροιτό με
"εἰπέ μοι, σὺ δὲ δὴ τί τὴν πόλιν ἡμῶν ἀγαθὸν πεποίη-
"κας;" ἔχων, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τριηραρχίας εἰ-
πεῖν καὶ χορηγίας καὶ χρημάτων εἰσφορὰς καὶ λύσεις
71 αἰχμαλώτων καὶ τοιαύτας ἄλλας φιλανθρωπίας, οὐδὲν
ἂν τούτων εἴποιμι, ἀλλ' ὅτι τῶν τοιούτων πολιτευμά-
των οὐδὲν πολιτεύομαι, ἀλλὰ δυνάμενος ἂν ἴσως, ὥσ-
περ καὶ ἕτεροι, κατηγορεῖν καὶ χαρίζεσθαι καὶ δημεύ-
ειν καὶ τἄλλ' ἃ ποιοῦσιν οὗτοι ποιεῖν, οὐδ' ἐφ' ἓν τού-
των πώποτ' ἐμαυτὸν ἔταξα οὐδὲ προήχθην οὔθ' ὑπὸ
κέρδους οὔθ' ὑπὸ φιλοτιμίας, ἀλλὰ διαμένω λέγων ἐξ
ὧν ἐγὼ μὲν πολλῶν ἐλάττων εἰμὶ παρ' ὑμῖν, ὑμεῖς δ',
εἰ πείθοισθέ μοι, μείζους ἂν εἴητε· οὕτω γὰρ ἴσως ἀνε-
72 πίφθονον εἰπεῖν. οὐδέ γ' ἐμοὶ δοκεῖ δικαίου τοῦτ' εἶναι
πολίτου, τοιαῦτα πολιτεύμαθ' εὑρίσκειν ἐξ ὧν ἐγὼ μὲν
πρῶτος ὑμῶν ἔσομαι εὐθέως, ὑμεῖς δὲ τῶν ἄλλων ὕστα-
τοι· ἀλλὰ συναυξάνεσθαι δεῖ τὴν πόλιν τοῖς τῶν ἀγα-
θῶν πολιτῶν πολιτεύμασι, καὶ τὸ βέλτιστον ἀεί, μὴ τὸ
ῥᾷστον ἅπαντας λέγειν· ἐπ' ἐκεῖνο μὲν γὰρ ἡ φύσις αὐ- 108
τὴ βαδιεῖται, ἐπὶ τοῦτο δὲ τῷ λόγῳ δεῖ προάγεσθαι δι-
δάσκοντα τὸν ἀγαθὸν πολίτην.

73 Ἤδη τοίνυν τινὸς ἤκουσα καὶ τοιοῦτόν τι λέγον-
τος, ὡς ἄρα ἐγὼ λέγω μὲν ἀεὶ τὰ βέλτιστα, ἔστι δ' οὐδὲν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀλλ᾽ ἢ λόγοι τὰ παρ᾽ ἐμοῦ, δεῖ δ᾽ ἔργων τῇ πόλει καὶ
πράξεώς τινος. ἐγὼ δ᾽ ὡς ἔχω περὶ τούτων, λέξω πρὸς
ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι. οὐδ᾽ εἶναι νομίζω τοῦ
συμβουλεύοντος ὑμῖν ἔργον οὐδὲν πλὴν εἰπεῖν τὰ βέλ-
τιστα. καὶ τοῦθ᾽ ὅτι τοῦτον ἔχει τὸν τρόπον ῥᾳδίως
74 οἶμαι δείξειν. ἴστε γὰρ δήπου τοῦθ᾽, ὅτι Τιμόθεός ποτ᾽
ἐκεῖνος ἐν ὑμῖν ἐδημηγόρησεν ὡς δεῖ βοηθεῖν καὶ τοὺς
Εὐβοέας σώζειν, ὅτε Θηβαῖοι κατεδουλοῦντ᾽ αὐτούς,
καὶ λέγων εἶπεν οὕτω πως· "εἰπέ μοι, βουλεύεσθε,"
ἔφη, "Θηβαίους ἔχοντες ἐν νήσῳ, τί χρήσεσθε καὶ τί
"δεῖ ποιεῖν; οὐκ ἐμπλήσετε τὴν θάλατταν, ὦ ἄνδρες
"Ἀθηναῖοι, τριήρων; οὐκ ἀναστάντες ἤδη πορεύσε-
75 "σθε εἰς τὸν Πειραιᾶ; οὐ καθέλξετε τὰς ναῦς;" οὐκοῦν
εἶπε μὲν ταῦτα ὁ Τιμόθεος, ἐποιήσατε δ᾽ ὑμεῖς· ἐκ δὲ
τούτων ἀμφοτέρων τὸ πρᾶγμα ἐπράχθη. εἰ δ᾽ ὁ μὲν
εἶπεν ὡς οἷόν τε τὰ ἄριστα, ὥσπερ εἶπεν, ὑμεῖς δ᾽
ἀπερρᾳθυμήσατε καὶ μηδὲν ὑπηκούσατε, ἆρ᾽ ἂν ἦν
γεγονός τι τῶν τότε συμβάντων τῇ πόλει; οὐχ οἷόν τε.
οὕτω τοίνυν καὶ περὶ ὧν ἂν ἐγὼ λέγω νυνὶ καὶ περὶ
ὧν ἂν ὁ δεῖνα εἴπῃ, τὰ μὲν ἔργα παρ᾽ ὑμῶν αὐτῶν
ζητεῖτε, τὰ δὲ βέλτιστα ἐπιστήμῃ λέγειν παρὰ τοῦ παρ-
ιόντος.

76 Ἐν κεφαλαίῳ δ᾽ ἃ λέγω φράσας καταβῆναι βού-
λομαι. χρήματα εἰσφέρειν φημὶ δεῖν, τὴν ὑπάρχουσαν
δύναμιν συνέχειν, ἐπανορθοῦντας εἴ τι δοκεῖ μὴ καλῶς 109
ἔχειν, μὴ ὅσοις ἄν τις αἰτιάσηται τὸ ὅλον καταλύοντας·
πρέσβεις ἐκπέμπειν πανταχοῖ τοὺς διδάξοντας, νουθε-
τήσοντας, πράξοντας ὅσα ἂν δύνωνται τῇ πόλει· παρὰ
πάντα ταῦτα τοὺς ἐπὶ τοῖς πράγμασι δωροδοκοῦντας
κολάζειν καὶ μισεῖν πανταχοῦ, ἵν᾽ οἱ μέτριοι καὶ δικαί-
ους αὐτοὺς παρέχοντες εὖ βεβουλεῦσθαι δοκῶσι καὶ
77 τοῖς ἄλλοις καὶ ἑαυτοῖς. ἂν οὕτω τοῖς πράγμασι χρῆ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθε καὶ παύσησθε ὀλιγωροῦντες ἁπάντων, ἴσως ἄν, ἴσως καὶ νῦν ἔτι βελτίω γένοιτο. εἰ μέντοι καθεδεῖσθε ἄχρι τοῦ θορυβῆσαι καὶ ἐπαινέσαι σπουδάζοντες, ἐὰν δὲ δέῃ τι ποιεῖν ἀναδυόμενοι, οὐχ ὁρῶ λόγον ὅστις ἄνευ τοῦ ποιεῖν ὑμᾶς ἃ προσήκει δυνήσεται τὴν πόλιν σῶσαι.

---

## IX.

## ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Γ.

### ΥΠΟΘΕΣΙΣ.

Ἁπλῆ τοῦ λόγου τούτου ἡ ὑπόθεσις· Φιλίππου γὰρ λόγῳ μὲν εἰρήνην ἄγοντος, ἔργῳ δὲ πολλὰ ἀδικοῦντος, συμβουλεύει τοῖς Ἀθηναίοις ὁ ῥήτωρ ἀναστῆναι καὶ ἀμύνασθαι τὸν βασιλέα, ὡς κινδύνου μεγάλου καὶ αὐτοῖς ἐπικρεμαμένου καὶ πᾶσι κοινῇ τοῖς Ἕλλησιν.

---

Πολλῶν, ὦ ἄνδρες Ἀθηναῖοι, λόγων γιγνομένων ὀλίγου δεῖν καθ' ἑκάστην ἐκκλησίαν περὶ ὧν Φίλιππος, ἀφ' οὗ τὴν εἰρήνην ἐποιήσατο, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ τοὺς ἄλλους Ἕλληνας ἀδικεῖ, καὶ πάντων οἶδ' ὅτι φησάντων γ' ἄν, εἰ καὶ μὴ ποιοῦσι τοῦτο, καὶ λέγειν δεῖν καὶ πράττειν ὅπως ἐκεῖνος παύσεται τῆς ὕβρεως καὶ δίκην δώσει, εἰς τοῦθ' ὑπηγμένα πάντα τὰ πράγματα καὶ προειμένα ὁρῶ ὥστε δέδοικα μὴ βλάσφημον μὲν εἰπεῖν, ἀληθὲς δ' ᾖ· εἰ καὶ λέγειν ἅπαντες ἐβούλοντο οἱ παριόντες καὶ χειροτονεῖν ὑμεῖς ἐξ ὧν ὡς φαυλότατ' ἔμελλε τὰ πράγμαθ' ἕξειν, οὐκ ἂν ἡγοῦμαι δύνασθαι
2 χεῖρον ἢ νῦν διατεθῆναι. πολλὰ μὲν οὖν ἴσως ἐστὶν αἴτια τοῦ ταῦθ' οὕτως ἔχειν, καὶ οὐ παρ' ἓν οὐδὲ δύο εἰς τοῦτο τὰ πράγματ' ἀφῖκται, μάλιστα δ', ἄνπερ ἐξετάζητε ὀρθῶς, εὑρήσετε διὰ τοὺς χαρίζεσθαι μᾶλλον ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὰ βέλτιστα λέγειν προαιρουμένους, ὧν τινὲς μέν, ὦ
ἄνδρες Ἀθηναῖοι, ἐν οἷς εὐδοκιμοῦσιν αὐτοὶ καὶ δύναν-
ται, ταῦτα φυλάττοντες οὐδεμίαν περὶ τῶν μελλόντων
πρόνοιαν ἔχουσιν, οὐκοῦν οὐδ' ὑμᾶς οἴονται δεῖν ἔχειν,
ἕτεροι δὲ τοὺς ἐπὶ τοῖς πράγμασιν ὄντας αἰτιώμενοι καὶ
διαβάλλοντες οὐδὲν ἄλλο ποιοῦσιν ἢ ὅπως ἡ μὲν πόλις
αὐτὴ παρ' αὐτῆς δίκην λήψεται καὶ περὶ τοῦτ' ἔσται, 111
Φιλίππῳ δ' ἐξέσται καὶ λέγειν καὶ πράττειν ὅ τι βού-
3 λεται. αἱ δὲ τοιαῦται πολιτεῖαι συνήθεις μέν εἰσιν ὑμῖν,
αἴτιαι δὲ τῆς ταραχῆς καὶ τῶν ἁμαρτημάτων. ἀξιῶ δ',
ὦ ἄνδρες Ἀθηναῖοι, ἄν τι τῶν ἀληθῶν μετὰ παρρησίας
λέγω, μηδεμίαν μοι διὰ τοῦτο παρ' ὑμῶν ὀργὴν γενέ-
σθαι. σκοπεῖτε γὰρ ὡδί. ὑμεῖς τὴν παρρησίαν ἐπὶ μὲν
τῶν ἄλλων οὕτω κοινὴν οἴεσθε δεῖν εἶναι πᾶσι τοῖς ἐν
τῇ πόλει ὥστε καὶ τοῖς ξένοις καὶ τοῖς δούλοις αὐτῆς
μεταδεδώκατε, καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι παρ'
ὑμῖν μετὰ πλείονος ἐξουσίας ὅ τι βούλονται λέγοντας ἢ
πολίτας ἐν ἐνίαις τῶν ἄλλων πόλεων, ἐκ δὲ τοῦ συμ-
4 βουλεύειν παντάπασιν ἐξεληλάκατε. εἶθ' ὑμῖν συμβέ-
βηκεν ἐκ τούτου ἐν μὲν ταῖς ἐκκλησίαις τρυφᾶν καὶ κο-
λακεύεσθαι πάντα πρὸς ἡδονὴν ἀκούουσιν, ἐν δὲ τοῖς
πράγμασι καὶ τοῖς γιγνομένοις περὶ τῶν ἐσχάτων ἤδη
κινδυνεύειν. εἰ μὲν οὖν καὶ νῦν οὕτω διάκεισθε, οὐκ
ἔχω τί λέγω· εἰ δ' ἃ συμφέρει χωρὶς κολακείας ἐθελή-
σετ' ἀκούειν, ἕτοιμος λέγειν. καὶ γὰρ εἰ πάνυ φαύλως
τὰ πράγματ' ἔχει καὶ πολλὰ προεῖται, ὅμως ἔστιν, ἐὰν
ὑμεῖς τὰ δέοντα ποιεῖν βούλησθ', ἔτι πάντα ταῦτα ἐπ-
5 ανορθώσασθαι. καὶ παράδοξον μὲν ἴσως ἐστὶν ὃ μέλλω
λέγειν, ἀληθὲς δέ· τὸ χείριστον ἐν τοῖς παρεληλυθόσι,
τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει. τί οὖν
ἐστι τοῦτο; ὅτι οὔτε μικρὸν οὔτε μέγα οὐδὲν τῶν δε-
όντων ποιούντων ὑμῶν κακῶς τὰ πράγματ' ἔχει, ἐπεί

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

τοι, εἰ πάνθ' ἃ προσῆκε πραττόντων οὕτω διέκειτο, 112
οὐδ' ἂν ἐλπὶς ἦν αὐτὰ γενέσθαι βελτίω. νῦν δὲ τῆς μὲν
ῥᾳθυμίας τῆς ὑμετέρας καὶ τῆς ἀμελείας κεκράτηκε Φί-
λιππος, τῆς πόλεως δ' οὐ κεκράτηκεν· οὐδ' ἥττησθ'
ὑμεῖς, ἀλλ' οὐδὲ κεκίνησθε.

6 Εἰ μὲν οὖν ἅπαντες ὡμολογοῦμεν Φίλιππον τῇ πό-
λει πολεμεῖν καὶ τὴν εἰρήνην παραβαίνειν, οὐδὲν ἄλλο
ἔδει τὸν παριόντα λέγειν καὶ συμβουλεύειν ἢ ὅπως
ἀσφαλέστατα καὶ ῥᾷστα αὐτὸν ἀμυνούμεθα· ἐπειδὴ δὲ
οὕτως ἀτόπως ἔνιοι διάκεινται ὥστε πόλεις καταλαμ-
βάνοντος ἐκείνου καὶ πολλὰ τῶν ὑμετέρων ἔχοντος καὶ
πάντας ἀνθρώπους ἀδικοῦντος ἀνέχεσθαί τινων ἐν
ταῖς ἐκκλησίαις λεγόντων πολλάκις ὡς ἡμῶν τινές εἰσιν
οἱ ποιοῦντες τὸν πόλεμον, ἀνάγκη φυλάττεσθαι καὶ
7 διορθοῦσθαι περὶ τούτων· ἔστι γὰρ δέος μήποθ' ὡς
ἀμυνούμεθα γράψας τις καὶ συμβουλεύσας εἰς τὴν αἰ-
τίαν ἐμπέσῃ τοῦ πεποιηκέναι τὸν πόλεμον. ἐγὼ δὴ
τοῦτο πρῶτον ἁπάντων λέγω καὶ διορίζομαι, εἰ ἐφ' ἡμῖν
ἐστι τὸ βουλεύεσθαι περὶ τοῦ πότερον εἰρήνην ἄγειν ἢ
8 πολεμεῖν δεῖ. εἰ μὲν οὖν ἔξεστιν εἰρήνην ἄγειν τῇ πό-
λει καὶ ἐφ' ἡμῖν ἐστι τοῦτο, ἵν' ἐντεῦθεν ἄρξωμαι, φη-
μὶ ἔγωγε ἄγειν ἡμᾶς δεῖν, καὶ τὸν ταῦτα λέγοντα γράφειν
καὶ πράττειν καὶ μὴ φενακίζειν ἀξιῶ· εἰ δ' ἕτερος τὰ ὅπλα
ἐν ταῖς χερσὶν ἔχων καὶ δύναμιν πολλὴν περὶ αὑτὸν τοὔ-
νομα μὲν τὸ τῆς εἰρήνης ὑμῖν προβάλλει, τοῖς δ' ἔργοις
αὐτὸς τοῖς τοῦ πολέμου χρῆται, τί λοιπὸν ἄλλο πλὴν
ἀμύνεσθαι; φάσκειν δ' εἰρήνην ἄγειν, εἰ βούλεσθε,
9 ὥσπερ ἐκεῖνος, οὐ διαφέρομαι. εἰ δέ τις ταύτην εἰρή- 113
νην ὑπολαμβάνει, ἐξ ἧς ἐκεῖνος πάντα τἆλλα λαβὼν ἐφ'
ἡμᾶς ἥξει, πρῶτον μὲν μαίνεται, ἔπειτα ἐκείνῳ παρ'
ὑμῶν, οὐχ ὑμῖν παρ' ἐκείνου τὴν εἰρήνην λέγει· τοῦτο
δ' ἐστὶν ὃ τῶν ἀναλισκομένων χρημάτων πάντων Φί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιππος ὠνεῖται, αὐτὸς μὲν πολεμεῖν ὑμῖν, ὑφ' ὑμῶν δὲ
μὴ πολεμεῖσθαι.

10 *Καὶ μὴν εἰ μέχρι τούτου περιμενοῦμεν, ἕως ἂν*
ἡμῖν ὁμολογήσῃ πολεμεῖν, πάντων ἐσμὲν εὐηθέστατοι·
οὐδὲ γὰρ ἂν ἐπὶ τὴν Ἀττικὴν αὐτὴν βαδίζῃ καὶ τὸν
Πειραιᾶ, τοῦτ' ἐρεῖ, εἴπερ οἷς πρὸς τοὺς ἄλλους πεποίη-
11 κε δεῖ τεκμαίρεσθαι. τοῦτο μὲν γὰρ Ὀλυνθίοις τετταρά-
κοντ' ἀπέχων τῆς πόλεως στάδια εἶπεν ὅτι δεῖ δυοῖν
θάτερον, ἢ ἐκείνους ἐν Ὀλύνθῳ μὴ οἰκεῖν ἢ αὐτὸν ἐν
Μακεδονίᾳ, πάντα τὸν ἄλλον χρόνον, εἴ τις αὐτὸν αἰ-
τιάσαιτό τι τοιοῦτον, ἀγανακτῶν καὶ πρέσβεις πέμπων
τοὺς ἀπολογησομένους· τοῦτο δ' εἰς Φωκέας ὡς πρὸς
συμμάχους ἐπορεύετο, καὶ πρέσβεις Φωκέων ἦσαν οἳ
παρηκολούθουν αὐτῷ πορευομένῳ, καὶ παρ' ἡμῖν ἤρι-
ζον πολλοὶ Θηβαίοις οὐ λυσιτελήσειν τὴν ἐκείνου πάρ-
12 οδον. καὶ μὴν καὶ Φερὰς πρῴην ὡς φίλος καὶ σύμμα-
χος εἰς Θετταλίαν ἐλθὼν ἔχει καταλαβών, καὶ τὰ τελευ-
ταῖα τοῖς ταλαιπώροις Ὠρείταις τουτοισὶ ἐπισκεψομέ-
νους ἔφη τοὺς στρατιώτας πεπομφέναι κατ' εὔνοιαν·
πυνθάνεσθαι γὰρ αὐτοὺς ὡς νοσοῦσι [καὶ στασιάζουσιν
ἐν αὐτοῖς], συμμάχων δ' εἶναι καὶ φίλων ἀληθινῶν ἐν
13 τοῖς τοιούτοις καιροῖς παρεῖναι. εἶτ' οἴεσθ' αὐτὸν, οἳ
ἐποίησαν μὲν οὐδὲν ἂν κακὸν, μὴ παθεῖν δ' ἐφυλάξαντ'
ἂν ἴσως, τούτους μὲν ἐξαπατᾶν αἱρεῖσθαι μᾶλλον ἢ 114
προλέγοντα βιάζεσθαι, ὑμῖν δ' ἐκ προρρήσεως πολε-
μήσειν, καὶ ταῦθ' ἕως ἂν ἑκόντες ἐξαπατᾶσθε; οὐκ
14 ἔστι ταῦτα· καὶ γὰρ ἂν ἀβελτερώτατος εἴη πάντων ἀν-
θρώπων, εἰ τῶν ἀδικουμένων ὑμῶν μηδὲν ἐγκαλούν-
των αὐτῷ, ἀλλ' ὑμῶν αὐτῶν τινὰς αἰτιωμένων, ἐκεῖ-
νος ἐκλύσας τὴν πρὸς ἀλλήλους ἔριν ὑμῶν καὶ φιλο-
νεικίαν ἐφ' αὑτὸν προείποι τρέπεσθαι, καὶ τῶν παρ'
ἑαυτοῦ μισθοφορούντων τοὺς λόγους ἀφέλοιτο, οἷς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναβάλλουσιν ὑμᾶς, λέγοντες ὡς ἐκεῖνός γε οὐ πολεμεῖ τῇ πόλει.

15 Ἀλλ' ἔστιν, ὦ πρὸς τοῦ Διός, ὅστις εὖ φρονῶν ἐκ
τῶν ὀνομάτων μᾶλλον ἢ τῶν πραγμάτων τὸν ἄγοντ'
εἰρήνην ἢ πολεμοῦνθ' ἑαυτῷ σκέψαιτ' ἄν; οὐδεὶς δή-
που. ὁ τοίνυν Φίλιππος ἐξ ἀρχῆς, ἄρτι τῆς εἰρήνης γε-
γονυίας, οὔπω Διοπείθους στρατηγοῦντος οὐδὲ τῶν
ὄντων ἐν Χερρονήσῳ νῦν ἀπεσταλμένων, Σέρρειον καὶ
Δορίσκον κατελάμβανε καὶ τοὺς ἐκ Σερρείου τείχους
καὶ Ἱεροῦ ὄρους στρατιώτας ἐξέβαλλεν, οὓς ὁ ὑμέτερος
στρατηγὸς ἐγκατέστησεν. καίτοι ταῦτα πράττων τί
16 ἐποίει; εἰρήνην μὲν γὰρ ὠμωμόκει. καὶ μηδεὶς εἴπῃ, τί
δὲ ταῦτ' ἐστίν, ἢ τί τούτων μέλει τῇ πόλει; εἰ μὲν γὰρ
μικρὰ ταῦτά ἐστιν ἢ μηδὲν ὑμῖν αὐτῶν ἔμελεν, ἄλλος
ἂν εἴη λόγος οὗτος· τὸ δ' εὐσεβὲς καὶ τὸ δίκαιον ἄν τ'
ἐπὶ μικροῦ τις ἄν τ' ἐπὶ μείζονος παραβαίνῃ, τὴν αὐτὴν
ἔχει δύναμιν. φέρε δὴ νῦν, ἡνίκ' εἰς Χερρόνησον, ἣν
βασιλεὺς καὶ πάντες οἱ Ἕλληνες ὑμετέραν ἐγνώκασιν
εἶναι, ξένους εἰσπέμπει καὶ βοηθεῖν ὁμολογεῖ καὶ ἐπι-
17 στέλλει ταῦτα, τί ποιεῖ; φησὶ μὲν γὰρ οὐ πολεμεῖν, ἐγὼ
δὲ τοσούτου δέω ταῦτα ποιοῦντα ἐκεῖνον ὁμολογεῖν
ἄγειν τὴν πρὸς ὑμᾶς εἰρήνην, ὥστε καὶ Μεγάρων ἁπ-
τόμενον καὶ ἐν Εὐβοίᾳ τυραννίδα κατασκευάζοντα καὶ
νῦν ἐπὶ Θρᾴκην παριόντα καὶ τὰ ἐν Πελοποννήσῳ
σκευωρούμενον καὶ πάνθ', ὅσα πράττει μετὰ τῆς δυνά-
μεως, ποιοῦντα λύειν φημὶ τὴν εἰρήνην καὶ πολεμεῖν
ὑμῖν, εἰ μὴ καὶ τοὺς τὰ μηχανήματα ἐφιστάντας εἰρή-
νην ἄγειν φήσετε, ἕως ἂν αὐτὰ τοῖς τείχεσιν ἤδη προσ-
αγάγωσιν. ἀλλ' οὐ φήσετε· ὁ γὰρ οἷς ἂν ἐγὼ λη-
φθείην, ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος
18 ἐμοὶ πολεμεῖ, κἂν μήπω βάλλῃ μηδὲ τοξεύῃ. τίσιν οὖν
ὑμεῖς κινδυνεύσαιτ' ἄν, εἴ τι γένοιτο; τῷ τὸν Ἑλλήσ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΒΙΒΛΙΟ

ἐῶν ὑμῶν ἀλλοτριωθῆναι, τῷ Μεγάρων καὶ τῆς οἰας τῶν πολεμούνθ' ὑμῖν γενέσθαι κύριον, τῷ πονηρίας τἀκείνου φρονῆσαι. εἶτα τὸν τοῦτο ἡχάνημα ἐπὶ τὴν πόλιν ἱστάντα, τοῦτον εἰρήνην ν ἐγὼ φῶ πρὸς ὑμᾶς; πολλοῦ γε καὶ δέω, ἀλλ' ἀφ' μέρας ἀνεῖλε Φωκέας, ἀπὸ ταύτης ἔγωγ' αὐτὸν ποῖν ὁρίζομαι. ὑμᾶς δὲ, ἐὰν μὲν ἀμύνησθε ἤδη, σωνήσειν φημὶ, ἐὰν δ' ἐάσητε, οὐδὲ τοῦθ' ὅταν βούθε δυνήσεσθε ποιῆσαι. καὶ τοσοῦτόν γε ἀφέστηκα ἄλλων, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν συμβουλευόντων οὐδὲ δοκεῖ μοι περὶ Χερρονήσου νῦν σκοπεῖν οὐυζαντίου, ἀλλ' ἐπαμῦναι μὲν τούτοις, καὶ διατηρῆμή τι πάθωσι, καὶ τοῖς οὖσιν ἐκεῖ νῦν στρατιώταις θ' ὅσων ἂν δέωνται ἀποστεῖλαι. βουλεύεσθαι μὲν
περὶ πάντων τῶν Ἑλλήνων ὡς ἐν κινδύνῳ μεγά- 116
καθεστώτων. βούλομαι δ' εἰπεῖν πρὸς ὑμᾶς ἐξ ὑπὲρ τῶν πραγμάτων οὕτω φοβοῦμαι, ἵν', ἐὰν μὲν ῶς λογίζωμαι, μετάσχητε τῶν λογισμῶν καὶ πρόν τιν' ὑμῶν γ' αὐτῶν, εἰ μὴ καὶ τῶν ἄλλων βούλεσθε, ποιήσησθε, ἐὰν δὲ ληρεῖν καὶ τετυθαι δοκῶ, μήτε νῦν μήτ' αὖθις ὡς ὑγιαίνοντί μοι σέχητε.

Ὅτι μὲν δὴ μέγας ἐκ μικροῦ καὶ ταπεινοῦ τὸ κατ' ὰς Φίλιππος ηὔξηται, καὶ ἀπίστως καὶ στασιαστιἔχουσι πρὸς αὐτοὺς οἱ Ἕλληνες, καὶ ὅτι πολλῷ αδοξότερον ἦν τοσοῦτον αὐτὸν ἐξ ἐκείνου γενέσθαι ν, ὅθ' οὕτω πολλὰ προείληφε, καὶ τὰ λοιπὰ ὑφ' ῶ ποιήσασθαι, καὶ πάνθ' ὅσα τοιαῦτ' ἂν ἔχοιμι διεξ εῖν, παραλείψω. ἀλλ' ὁρῶ συγκεχωρηκότας ἅπανἀνθρώπους, ἀφ' ὑμῶν ἀρξαμένους, αὐτῷ, ὑπὲρ οὗ ἄλλον ἅπαντα χρόνον πάντες οἱ πόλεμοι γεγόνασιν Ἑλληνικοί. τί οὖν ἐστι τοῦτο; τὸ ποιεῖν ὅ τι βούλε-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ται, καὶ καθ' ἕνα οὑτωσὶ περικόπτειν καὶ λωποδ
τῶν Ἑλλήνων, καὶ καταδουλοῦσθαι τὰς πόλεις ἐ
23 τα. καίτοι προστάται μὲν ὑμεῖς ἑβδομήκοντα ἔτ
τρία τῶν Ἑλλήνων ἐγένεσθε, προστάται δὲ τριάκ
ἑνὸς δέοντα Λακεδαιμόνιοι· ἴσχυσαν δέ τι καὶ Θη
τουτουσὶ τοὺς τελευταίους χρόνους μετὰ τὴν ἐν
κτροις μάχην. ἀλλ' ὅμως οὔθ' ὑμῖν οὔτε Θηβαίοις
Λακεδαιμονίοις οὐδεπώποτε, ὦ ἄνδρες Ἀθηναῖοι,
24 εχωρήθη τοῦθ' ὑπὸ τῶν Ἑλλήνων, ποιεῖν ὅ τι βο
σθε, οὐδὲ πολλοῦ δεῖ, ἀλλὰ τοῦτο μὲν ὑμῖν, μᾶλλ
τοῖς τότ' οὖσιν Ἀθηναίοις, ἐπειδή τισιν οὐ μετρίως
κουν προσφέρεσθαι, πάντες ᾤοντο δεῖν, καὶ οἱ μ
ἐγκαλεῖν ἔχοντες αὐτοῖς, μετὰ τῶν ἠδικημένων π
μεῖν, καὶ πάλιν Λακεδαιμονίοις ἄρξασι καὶ παρελ
σιν εἰς τὴν αὐτὴν δυναστείαν ὑμῖν, ἐπειδὴ πλεον
ἐπεχείρουν καὶ πέρα τοῦ μετρίου τὰ καθεστηκότα
νουν, πάντες εἰς πόλεμον κατέστησαν, καὶ οἱ μ
25 ἐγκαλοῦντες αὐτοῖς. καὶ τί δεῖ τοὺς ἄλλους λέ
ἀλλ' ἡμεῖς αὐτοὶ καὶ Λακεδαιμόνιοι, οὐδὲν ἂν ε
ἔχοντες ἐξ ἀρχῆς ὅ τι ἠδικούμεθ' ὑπ' ἀλλήλων,
ὑπὲρ ὧν τοὺς ἄλλους ἀδικουμένους ἑωρῶμεν, πολε
ᾠόμεθα δεῖν. καίτοι πάνθ' ὅσα ἐξημάρτηται καὶ
κεδαιμονίοις ἐν τοῖς τριάκοντ' ἐκείνοις ἔτεσι καὶ
ἡμετέροις προγόνοις ἐν τοῖς ἑβδομήκοντα, ἐλάτ
ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, ὧν Φίλιππος ἐν τρισ
δέκα οὐχ ὅλοις ἔτεσιν οἷς ἐπιπολάζει ἠδίκηκε τοὺς
ληνας, μᾶλλον δὲ οὐδὲ πολλοστὸν μέρος τούτων ἐκ
26 καὶ τοῦτο ἐκ βραχέος λόγου ῥᾴδιον δεῖξαι. Ὄλυ
μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύο
τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ, ἃς ἁπάσας ο
ὠμῶς ἀνῄρηκεν ὥστε μηδ' εἰ πώποτ' ᾠκήθησαν π
ελθόντ' εἶναι ῥᾴδιον εἰπεῖν· καὶ τὸ Φωκέων ἔθνο

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦτον ἀνῃρημένον σιωπῶ. ἀλλὰ Θετταλία πῶς ἔχει;
οὐχὶ τὰς πολιτείας [καὶ τὰς πόλεις] αὐτῶν παρῄρηται
καὶ τετραρχίας κατέστησεν, ἵνα μὴ μόνον κατὰ πόλεις,
27 ἀλλὰ καὶ κατ' ἔθνη δουλεύωσιν; αἱ δ' ἐν Εὐβοίᾳ πό-
λεις οὐκ ἤδη τυραννοῦνται, καὶ ταῦτα ἐν νήσῳ πλη-
σίον Θηβῶν καὶ Ἀθηνῶν; οὐ διαρρήδην εἰς τὰς ἐπι- 118
στολὰς γράφει "ἐμοὶ δ' ἐστὶν εἰρήνη πρὸς τοὺς ἀκού-
"ειν ἐμοῦ βουλομένους;" καὶ οὐ γράφει μὲν ταῦτα, τοῖς
δ' ἔργοις οὐ ποιεῖ, ἀλλ' ἐφ' Ἑλλήσποντον οἴχεται, πρό-
τερον ἧκεν ἐπ' Ἀμβρακίαν, Ἦλιν ἔχει τηλικαύτην πό-
λιν ἐν Πελοποννήσῳ, Μεγάροις ἐπεβούλευσε πρώην,
οὔθ' ἡ Ἑλλὰς οὔθ' ἡ βάρβαρος τὴν πλεονεξίαν χωρεῖ
28 τἀνθρώπου. καὶ ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἅπαντες
καὶ ἀκούοντες οὐ πέμπομεν πρέσβεις περὶ τούτων πρὸς
ἀλλήλους καὶ ἀγανακτοῦμεν, οὕτω δὲ κακῶς διακείμε-
θα καὶ διορωρύγμεθα κατὰ πόλεις ὥστ' ἄχρι τῆς τή-
μερον ἡμέρας οὐδὲν οὔτε τῶν συμφερόντων οὔτε τῶν
δεόντων πρᾶξαι δυνάμεθα, οὐδὲ συστῆναι, οὐδὲ κοι-
29 νωνίαν βοηθείας καὶ φιλίας οὐδεμίαν ποιήσασθαι, ἀλ-
λὰ μείζω γιγνόμενον τὸν ἄνθρωπον περιορῶμεν, τὸν
χρόνον κερδᾶναι τοῦτον ὃν ἄλλος ἀπόλλυται ἕκαστος
ἐγνωκώς, ὥς γ' ἐμοὶ δοκεῖ, οὐχ ὅπως σωθήσεται τὰ τῶν
Ἑλλήνων σκοπῶν οὐδὲ πράττων, ἐπεὶ ὅτι γε ὥσπερ πε-
ρίοδος ἢ καταβολὴ πυρετοῦ ἢ ἄλλου τινὸς κακοῦ καὶ
τῷ πάνυ πόρρω δοκοῦντι νῦν ἀφεστάναι προσέρχεται,
30 οὐδεὶς ἀγνοεῖ δήπου. καὶ μὴν κἀκεῖνό γε ἴστε, ὅτι ὅσα
μὲν ὑπὸ Λακεδαιμονίων, ἢ ὑφ' ἡμῶν ἔπασχον οἱ Ἕλ-
ληνες, ἀλλ' οὖν ὑπὸ γνησίων γ' ὄντων τῆς Ἑλλάδος ἠδι-
κοῦντο, καὶ τὸν αὐτὸν τρόπον ἄν τις ὑπέλαβε τοῦθ',
ὥσπερ ἂν εἰ υἱὸς ἐν οὐσίᾳ πολλῇ γεγονὼς γνήσιος διῴ-
κει τι μὴ καλῶς μηδ' ὀρθῶς, κατ' αὐτὸ μὲν τοῦτο ἄξιον
μέμψεως εἶναι καὶ κατηγορίας, ὡς δ' οὐ προσήκων ἢ

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

ὡς οὐ κληρονόμος τούτων ὢν ταῦτα ἐποίει, οὐκ ἐνεῖ-
31 ναι λέγειν. εἰ δέ γε δοῦλος ἢ ὑποβολιμαῖος τὰ μὴ προσήκοντα ἀπώλλυε καὶ ἐλυμαίνετο, Ἡράκλεις ὅσῳ μᾶλλον δεινὸν καὶ ὀργῆς ἄξιον πάντες ἂν ἔφασαν εἶναι. ἀλλ' οὐχ ὑπὲρ Φιλίππου καὶ ὧν ἐκεῖνος πράττει νῦν οὐχ οὕτως ἔχουσιν, οὐ μόνον οὐχ Ἕλληνος ὄντος οὐδὲ προσήκοντος οὐδὲν τοῖς Ἕλλησιν, ἀλλ' οὐδὲ βαρβάρου ἐντεῦθεν ὅθεν καλὸν εἰπεῖν, ἀλλ' ὀλέθρου Μακεδόνος, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι.

32 Καίτοι τί τῆς ἐσχάτης ὕβρεως ἀπολείπει; οὐ πρὸς τῷ πόλεις ἀνῃρηκέναι τίθησι μὲν τὰ Πύθια, τὸν κοινὸν τῶν Ἑλλήνων ἀγῶνα, κἂν αὐτὸς μὴ παρῇ, τοὺς δούλους ἀγωνοθετήσοντας πέμπει; κύριος δὲ Πυλῶν καὶ τῶν ἐπὶ τοὺς Ἕλληνας παρόδων ἐστί, καὶ φρουραῖς καὶ ξένοις τοὺς τόπους τούτους κατέχει; ἔχει δὲ καὶ τὴν προμαντείαν τοῦ θεοῦ, παρώσας ἡμᾶς καὶ Θετταλοὺς καὶ Δωριέας καὶ τοὺς ἄλλους Ἀμφικτύονας, ἧς
33 οὐδὲ τοῖς Ἕλλησιν ἅπασι μέτεστι; γράφει δὲ Θετταλοῖς ὃν χρὴ τρόπον πολιτεύεσθαι; πέμπει δὲ ξένους τοὺς μὲν εἰς Πορθμὸν, τὸν δῆμον ἐκβαλοῦντας τὸν Ἐρετριέων, τοὺς δ' ἐπ' Ὠρεὸν, τύραννον Φιλιστίδην καταστήσοντας; ἀλλ' ὅμως ταῦθ' ὁρῶντες οἱ Ἕλληνες ἀνέχονται, καὶ τὸν αὐτὸν τρόπον ὥσπερ τὴν χάλαζαν ἔμοιγε δοκοῦσι θεωρεῖν, εὐχόμενοι μὲν μὴ καθ' ἑαυτοὺς ἕκαστοι γενέσθαι, κωλύειν δ' οὐδεὶς ἐπιχειρῶν.
34 οὐ μόνον δ' ἐφ' οἷς ἡ Ἑλλὰς ὑβρίζεται ὑπ' αὐτοῦ οὐδεὶς ἀμύνεται, ἀλλ' οὐδ' ὑπὲρ ὧν αὐτὸς ἕκαστος ἀδικεῖται· τοῦτο γὰρ ἤδη τοὔσχατόν ἐστιν. οὐ Κορινθίων ἐπ' Ἀμβρακίαν ἐλήλυθε καὶ Λευκάδα; οὐκ Ἀχαιῶν Ναύπακτον ὀμώμοκεν Αἰτωλοῖς παραδώσειν; οὐχὶ Θηβαίων Ἐχῖνον ἀφῄρηται; καὶ νῦν ἐπὶ Βυζαντίους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κορεύεται συμμάχους ὄντας; οὐχ ἡμῶν, ἐῶ τἄλλα, ἀλλὰ Χερρονήσου τὴν μεγίστην ἔχει πόλιν Καρδίαν; ταῦτα τοίνυν πάσχοντες ἅπαντες μέλλομεν καὶ μαλκίομεν καὶ πρὸς τοὺς πλησίον βλέπομεν, ἀπιστοῦντες ἀλλήλοις, οὐ τῷ πάντας ἡμᾶς ἀδικοῦντι. καίτοι τὸν ἅπασιν ἀσελγῶς οὕτω χρώμενον τί οἴεσθε, ἐπειδὰν καθ' ἕνα ἡμῶν ἑκάστου κύριος γένηται, ποιήσειν;

Τί οὖν αἴτιον τουτωνί; οὐ γὰρ ἄνευ λογου καὶ δικαίας αἰτίας οὔτε τόθ' οὕτως εἶχον ἑτοίμως πρὸς ἐλευθερίαν οἱ Ἕλληνες οὔτε νῦν πρὸς τὸ δουλεύειν. ἦν τι τότ', ἦν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐν ταῖς τῶν πολλῶν διανοίαις, ὃ νῦν οὐκ ἔστιν, ὃ καὶ τοῦ Περσῶν ἐκράτησε πλούτου καὶ ἐλευθέραν ἦγε τὴν Ἑλλάδα καὶ οὔτε ναυμαχίας οὔτε πεζῆς μάχης οὐδεμιᾶς ἡττᾶτο, νῦν δ' ἀπολωλὸς ἅπαντα λελύμανται καὶ ἄνω καὶ κάτω πεποίηκε
37 τὰ τῶν Ἑλλήνων πράγματα. τί οὖν ἦν τοῦτο; οὐδὲν ποικίλον οὐδὲ σοφόν, ἀλλ' ὅτι τοὺς παρὰ τῶν ἄρχειν ἀεὶ βουλομένων ἢ διαφθείρειν τὴν Ἑλλάδα χρήματα λαμβάνοντας ἅπαντες ἐμίσουν, καὶ χαλεπώτατον ἦν τὸ δωροδοκοῦντα ἐλεγχθῆναι, καὶ τιμωρίᾳ μεγίστῃ τοῦτον ἐκόλαζον, καὶ παραίτησις οὐδεμία ἦν οὐδὲ συγ-
38 γνώμη. τὸν οὖν καιρὸν ἑκάστου τῶν πραγμάτων, ὃν ἡ τύχη καὶ τοῖς ἀμελοῦσι κατὰ τῶν προσεχόντων καὶ τοῖς μηδὲν ἐθέλουσι ποιεῖν κατὰ τῶν πάντα ἃ προσήκει πραττόντων πολλάκις παρασκευάζει, οὐκ ἦν πρία- 121
σθαι παρὰ τῶν λεγόντων οὐδὲ τῶν στρατηγούντων, οὐδὲ τὴν πρὸς ἀλλήλους ὁμόνοιαν, οὐδὲ τὴν πρὸς τοὺς τυράννους καὶ τοὺς βαρβάρους ἀπιστίαν, οὐδ' ὅλως
39 τοιοῦτον οὐδέν. νῦν δ' ἅπανθ' ὥσπερ ἐξ ἀγορᾶς ἐκπέπραται ταῦτα, ἀντεισῆκται δὲ ἀντὶ τούτων ὑφ' ὧν ἀπόλωλε καὶ νενόσηκεν ἡ Ἑλλάς. ταῦτα δ' ἐστὶ τί; ζῆ-

λος, εἴ τις εἴληφέ τι· γέλως, ἂν ὁμολογῇ· συγγνώμη
τοῖς ἐλεγχομένοις· μῖσος, ἂν τούτοις τις ἐπιτιμᾷ· τἄλ-
40 λα πάνθ' ὅσα ἐκ τοῦ δωροδοκεῖν ἤρτηται. ἐπεὶ τριή-
ρεις γε καὶ σωμάτων πλῆθος καὶ χρημάτων πρόσοδοι
καὶ τῆς ἄλλης κατασκευῆς ἀφθονία, καὶ τἄλλα οἷς ἄν
τις ἰσχύειν τὰς πόλεις κρίνοι, νῦν ἅπασι καὶ πλείω καὶ
μείζω ἐστὶ τῶν τότε πολλῷ. ἀλλὰ ταῦτα πάντα ἄχρη-
στα, ἄπρακτα, ἀνόνητα ὑπὸ τῶν πωλούντων γίγνεται.
41 Ὅτι δ' οὕτω ταῦτ' ἔχει, τὰ μὲν νῦν ὁρᾶτε δήπου καὶ
οὐδὲν ἐμοῦ προσδεῖσθε μάρτυρος· τὰ δ' ἐν τοῖς ἄνω-
θεν χρόνοις ὅτι τἀναντία εἶχεν ἐγὼ δηλώσω, οὐ λόγους
ἐμαυτοῦ λέγων, ἀλλὰ γράμματα τῶν προγόνων τῶν
ὑμετέρων δεικνύων, ἃ κεῖνοι κατέθεντο εἰς στήλην χαλ-
κῆν γράψαντες εἰς ἀκρόπολιν, οὐχ ἵνα αὐτοῖς ᾖ χρήσι-
μα (καὶ γὰρ ἄνευ τούτων τῶν γραμμάτων τὰ δέοντα
ἐφρόνουν), ἀλλ' ἵν' ὑμεῖς ἔχητε ὑπομνήματα καὶ παρα-
δείγματα ὡς ὑπὲρ τῶν τοιούτων σπουδάζειν προσήκει.
42 τί οὖν λέγει τὰ γράμματα; "Ἄρθμιος" φησὶ "Πυθώ-
"νακτος Ζελείτης ἄτιμος [ἔστω] καὶ πολέμιος τοῦ δή-
"μου τοῦ Ἀθηναίων καὶ τῶν συμμάχων αὐτὸς καὶ γέ-
"νος." εἶθ' ἡ αἰτία γέγραπται, δι' ἣν τοῦτ' ἐγένετο· 122
ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγα-
43 γεν. ταῦτ' ἐστὶ τὰ γράμματα. λογίζεσθε δὴ πρὸς θε-
ῶν καὶ θεωρεῖτε παρ' ὑμῖν αὐτοῖς τίς ἦν ποθ' ἡ διά-
νοια τῶν τότε Ἀθηναίων τῶν ταῦτα ποιούντων, ἢ τί
τὸ ἀξίωμα. ἐκεῖνοι Ζελείτην τινὰ Ἄρθμιον δοῦλον βα-
σιλέως (ἡ γὰρ Ζέλειά ἐστι τῆς Ἀσίας), ὅτι τῷ δεσπότῃ
διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ
Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ τῶν συμμά-
44 χων αὐτὸν καὶ γένος, καὶ ἀτίμους. [τοῦτο δ' ἐστὶν οὐχ
ἣν οὑτωσί τις ἂν φήσειεν ἀτιμίαν· τί γὰρ τῷ Ζελείτῃ,
τῶν Ἀθηναίων κοινῶν εἰ μὴ μεθέξειν ἔμελλεν; ἀλλ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὐ τοῦτο λέγει, ἀλλ' ἐν τοῖς φονικοῖς γέγραπται νόμοις, πὲρ ὧν ἂν μὴ διδῷ φόνου δικάσασθαι, ἀλλ' εὐαγὲς ᾖ ὸ ἀποκτεῖναι, "καὶ ἄτιμος" φησὶ "τεθνάτω." τοῦτο δὴ έγει, καθαρὸν τὸν τούτων τινὰ ἀποκτείναντα εἶναι.] ὐκοῦν ἐνόμιζον ἐκεῖνοι τῆς πάντων τῶν Ἑλλήνων ωτηρίας αὐτοῖς ἐπιμελητέον εἶναι· οὐ γὰρ ἂν αὐτοῖς μελεν εἴ τις ἐν Πελοποννήσῳ τινὰς ὠνεῖται καὶ δια-θείρει, μὴ τοῦθ' ὑπολαμβάνουσιν· ἐκόλαζον δ' οὕτω αὶ ἐτιμωροῦντο οὓς αἴσθοιντο ὥστε καὶ στηλίτας ποι-ῖν. ἐκ δὲ τούτων εἰκότως τὰ τῶν Ἑλλήνων ἦν τῷ βαρ-άρῳ φοβερά, οὐχ ὁ βάρβαρος τοῖς Ἕλλησιν. ἀλλ' οὐ ῦν· οὐ γὰρ οὕτως ἔχεθ' ὑμεῖς οὔτε πρὸς τὰ τοιαῦτα ὔτε πρὸς τἄλλα, ἀλλὰ πῶς; ἴστε αὐτοί· τί γὰρ δεῖ πε-ὶ πάντων ὑμῶν κατηγορεῖν; παραπλησίως δὲ καὶ οὐ-ὲν βέλτιον ὑμῶν ἅπαντες οἱ λοιποὶ Ἕλληνες. διόπερ 123
ημὶ ἔγωγε καὶ σπουδῆς πολλῆς καὶ βουλῆς ἀγαθῆς τὰ αρόντα πράγματα προσδεῖσθαι. τίνος εἴπω; κελεύετε αὶ οὐκ ὀργιεῖσθε;

ΕΚ ΤΟΥ ΓΡΑΜΜΑΤΕΙΟΥ ΑΝΑΓΙΓΝΩΣΚΕΙ.]

Ἔστι τοίνυν τις εὐήθης λόγος παρὰ τῶν παραμυ-θεῖσθαι βουλομένων τὴν πόλιν, ὡς ἄρα οὔπω Φίλιπ-πός ἐστι τοιοῦτος οἷοί ποτ' ἦσαν Λακεδαιμόνιοι, οἳ θα-λάττης μὲν ἦρχον καὶ γῆς ἁπάσης, βασιλέα δὲ σύμμα-χον εἶχον, ὑφίστατο δ' οὐδὲν αὐτούς· ἀλλ' ὅμως ἠμύ-νατο κἀκείνους ἡ πόλις καὶ οὐκ ἀνηρπάσθη. ἐγὼ δὲ ἁπάντων ὡς ἔπος εἰπεῖν πολλὴν εἰληφότων ἐπίδοσιν, καὶ οὐδὲν ὁμοίων ὄντων τῶν νῦν τοῖς πρότερον, οὐδὲν ἡγοῦμαι πλέον ἢ τὰ τοῦ πολέμου κεκινῆσθαι καὶ ἐπι-δεδωκέναι. πρῶτον μὲν γὰρ ἀκούω Λακεδαιμονίους τότε καὶ πάντας τοὺς Ἕλληνας τέτταρας μῆνας ἢ πέντε, την ὡραίαν αὐτὴν, ἐμβαλόντας ἂν καὶ κακώσαντας τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν ἀντιπάλων χώραν ὁπλίταις καὶ πολιτικοῖς στρατεύ-
μασιν ἀναχωρεῖν ἐπ' οἴκου πάλιν· οὕτω δ' ἀρχαίως εἶχον,
μᾶλλον δὲ πολιτικῶς, ὥστ' οὐδὲ χρημάτων ὠνεῖσθαι
παρ' οὐδενὸς οὐδέν, ἀλλ' εἶναι νόμιμόν τινα καὶ προφα-
49 νῆ τὸν πόλεμον. νυνὶ δ' ὁρᾶτε μὲν δήπου τὰ πλεῖστα τοὺς
προδότας ἀπολωλεκότας, οὐδὲν δ' ἐκ παρατάξεως οὐδὲ
μάχης γιγνόμενον· ἀκούετε δὲ Φίλιππον οὐχὶ τῷ φά-
λαγγα ὁπλιτῶν ἄγειν βαδίζονθ' ὅποι βούλεται, ἀλλὰ τῷ
ψιλούς, ἱππέας, τοξότας, ξένους, τοιοῦτον ἐξηρτῆσθαι
50 στρατόπεδον. ἐπειδὰν δ' ἐπὶ τούτοις πρὸς νοσοῦντας
ἐν αὐτοῖς προσπέσῃ καὶ μηδεὶς ὑπὲρ τῆς χώρας δι' ἀπι-
στίαν ἐξίῃ, μηχανήματ' ἐπιστήσας πολιορκεῖ. καὶ σιω-
πῶ θέρος καὶ χειμῶνα, ὡς οὐδὲν διαφέρει, οὐδ' ἐστὶν
51 ἐξαίρετος ὥρα τις ἣν διαλείπει. ταῦτα μέντοι πάντας
εἰδότας καὶ λογιζομένους οὐ δεῖ προσέσθαι τὸν πόλε-
μον εἰς τὴν χώραν, οὐδ' εἰς τὴν εὐήθειαν τὴν τοῦ τότε
πρὸς Λακεδαιμονίους πολέμου βλέποντας ἐκτραχηλι-
σθῆναι, ἀλλ' ὡς ἐκ πλείστου φυλάττεσθαι τοῖς πράγμα-
σι καὶ ταῖς παρασκευαῖς, ὅπως οἴκοθεν μὴ κινήσεται
52 σκοποῦντας, οὐχὶ συμπλακέντας διαγωνίζεσθαι. πρὸς
μὲν γὰρ πόλεμον πολλὰ φύσει πλεονεκτήμαθ' ἡμῖν
ὑπάρχει, ἄν περ, ὦ ἄνδρες Ἀθηναῖοι, ποιεῖν ἐθέλωμεν
ἃ δεῖ, ἡ φύσις τῆς ἐκείνου χώρας, ἧς ἄγειν καὶ φέρειν
ἔστι πολλὴν καὶ κακῶς ποιεῖν, ἄλλα μυρία· εἰς δὲ ἀγῶ-
να ἄμεινον ἡμῶν ἐκεῖνος ἤσκηται.

53 Οὐ μόνον δὲ δεῖ ταῦτα γιγνώσκειν, οὐδὲ τοῖς ἔρ-
γοις ἐκεῖνον ἀμύνεσθαι τοῖς τοῦ πολέμου, ἀλλὰ καὶ τῷ
λογισμῷ καὶ τῇ διανοίᾳ τοὺς παρ' ὑμῖν ὑπὲρ αὐτοῦ λέ-
γοντας μισῆσαι, ἐνθυμουμένους ὅτι οὐκ ἔνεστι τῶν
ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν
54 αὐτῇ τῇ πόλει κολάσητε ὑπηρετοῦντας ἐκείνοις. ὃ μὰ
τὸν Δία καὶ τοὺς ἄλλους θεοὺς οὐ δυνήσεσθε ὑμεῖς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιῆσαι, ἀλλ' εἰς τοῦτο ἀφῖχθε μωρίας ἢ παρανοίας ἢ
οὐκ ἔχω τί λέγω (πολλάκις γὰρ ἔμοιγ' ἐπελήλυθε καὶ
τοῦτο φοβεῖσθαι, μή τι δαιμόνιον τὰ πράγματ' ἐλαύ-
νῃ), ὥστε λοιδορίας ἢ φθόνου ἢ σκώμματος, ἧστινος
ἂν τύχητε ἕνεκ' αἰτίας ἀνθρώπους μισθωτούς, ὧν οὐδ'
ἂν ἀρνηθεῖεν ἔνιοι ὡς οὐκ εἰσὶ τοιοῦτοι, λέγειν κελεύ-
55 ετε, καὶ γελᾶτε, ἄν τισι λοιδορηθῶσιν. καὶ οὐχί πω 125
τοῦτο δεινόν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μετὰ πλείο-
νος ἀσφαλείας πολιτεύεσθαι δεδώκατε τούτοις ἢ τοῖς
ὑπὲρ ὑμῶν λέγουσιν. καίτοι θεάσασθε ὅσας συμφο-
ρὰς παρασκευάζει τὸ τῶν τοιούτων ἐθέλειν ἀκροᾶσθαι.
λέξω δ' ἔργα ἃ πάντες εἴσεσθε.

56 Ἦσαν ἐν Ὀλύνθῳ τῶν ἐν τοῖς πράγμασι τινὲς μὲν
Φιλίππου καὶ πάνθ' ὑπηρετοῦντες ἐκείνῳ, τινὲς δὲ τοῦ
βελτίστου καὶ ὅπως μὴ δουλεύσουσιν οἱ πολῖται πράτ-
τοντες. πότεροι δὴ τὴν πατρίδ' ἐξώλεσαν; ἢ πότεροι
τοὺς ἱππέας προὔδοσαν, ὧν προδοθέντων Ὄλυνθος
ἀπώλετο; οἱ τὰ Φιλίππου φρονοῦντες καὶ ὅτ' ἦν ἡ πόλις
τοὺς τὰ βέλτιστα λέγοντας συκοφαντοῦντες καὶ δια-
βάλλοντες οὕτως ὥστε τόν γ' Ἀπολλωνίδην καὶ ἐκβα-
λεῖν ὁ δῆμος ὁ τῶν Ὀλυνθίων ἐπείσθη.

57 Οὐ τοίνυν παρὰ τούτοις μόνοις τὸ ἔθος τοῦτο
πάντα κακὰ εἰργάσατο, ἄλλοθι δ' οὐδαμοῦ· ἀλλ' ἐν
Ἐρετρίᾳ, ἐπειδὴ ἀπαλλαγέντος Πλουτάρχου καὶ τῶν
ξένων ὁ δῆμος εἶχε τὴν πόλιν καὶ τὸν Πορθμόν, οἱ μὲν
ἐφ' ὑμᾶς ἦγον τὰ πράγματα, οἱ δ' ἐπὶ Φίλιππον. ἀκού-
οντες δὲ τούτων τὰ πολλά, μᾶλλον δὲ τὰ πάντα οἱ τα-
λαίπωροι καὶ δυστυχεῖς Ἐρετριεῖς τελευτῶντες ἐπεί-
58 σθησαν τοὺς ὑπὲρ αὐτῶν λέγοντας ἐκβάλλειν. καὶ γάρ
τοι πέμψας Ἱππόνικον ὁ σύμμαχος καὶ φίλος αὐτοῖς
Φίλιππος καὶ ξένους χιλίους, τὰ τείχη περιεῖλε τοῦ
Πορθμοῦ καὶ τρεῖς κατέστησε τυράννους, Ἵππαρχον,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὐτομέδοντα, Κλείταρχον· καὶ μετὰ ταῦτ' ἐξελήλακεν
ἐκ τῆς χώρας δὶς ἤδη βουλομένους σῴζεσθαι, τότε μὲν
πέμψας τοὺς μετ' Εὐρυλόχου ξένους, πάλιν δὲ τοὺς 125
μετὰ Παρμενίωνος.
59 Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; ἀλλ' ἐν Ὠρεῷ Φιλι-
στίδης μὲν ἔπραττε Φιλίππῳ καὶ Μένιππος καὶ Σω-
κράτης καὶ Θόας καὶ Ἀγαπαῖος, οἵπερ νῦν ἔχουσι τὴν
πόλιν (καὶ ταῦτ' ᾔδεσαν ἅπαντες), Εὐφραῖος δέ τις,
ἄνθρωπος καὶ παρ' ἡμῖν ποτ' ἐνθάδ' οἰκήσας, ὅπως
60 ἐλεύθεροι καὶ μηδενὸς δοῦλοι ἔσονται. οὗτος τὰ μὲν
ἄλλα ὡς ὑβρίζετο καὶ προὐπηλακίζετο ὑπὸ τοῦ δήμου
τοῦ τῶν Ὠρειτῶν, πόλλ' ἂν εἴη λέγειν· ἐνιαυτῷ δὲ
πρότερον τῆς ἁλώσεως ἐνέδειξεν ὡς προδότην τὸν Φι-
λιστίδην καὶ τοὺς μετ' αὐτοῦ, αἰσθόμενος ἃ πράττου-
σιν. συστραφέντες δ' ἄνθρωποι πολλοὶ καὶ χορηγὸν
ἔχοντες Φίλιππον καὶ πρυτανευόμενοι παρ' ἐκείνου,
ἀπάγουσι τὸν Εὐφραῖον εἰς τὸ δεσμωτήριον ὡς συν-
61 ταράττοντα την πόλιν. ὁρῶν δὲ ταῦθ' ὁ δῆμος ὁ τῶν
Ὠρειτῶν, ἀντὶ τοῦ τῷ μὲν βοηθεῖν, τοὺς δ' ἀποτυμ-
πανίσαι, τοῖς μὲν οὐκ ὠργίζετο, τὸν δ' ἐπιτήδειον εἶ-
ναι ταῦτα παθεῖν ἔφη καὶ ἐπέχαιρεν. μετὰ ταῦθ' οἱ
μὲν ἐπ' ἐξουσίας ὁπόσης ἐβούλοντ' ἔπραττον ὅπως ἡ
πόλις ληφθήσεται, καὶ κατεσκευάζοντο τὴν πρᾶξιν·
τῶν δὲ πολλῶν εἴ τις αἴσθοιτο, ἐσίγα καὶ κατεπέ-
πληκτο, τὸν Εὐφραῖον οἷα ἔπαθε μεμνημένοι. οὕτω
δ' ἀθλίως διέκειντο ὥστε οὐ πρότερον ἐτόλμησεν οὐ-
δεὶς τοιούτου κακοῦ προσιόντος ῥῆξαι φωνήν, πρὶν
διασκευασάμενοι πρὸς τὰ τείχη προσῄεσαν οἱ πολέμιοι·
τηνικαῦτα δ' οἱ μὲν ἠμύνοντο, οἱ δὲ προὐδίδοσαν.
62 τῆς πόλεως δ' οὕτως ἁλούσης αἰσχρῶς καὶ κακῶς οἱ
μὲν ἄρχουσι καὶ τυραννοῦσι, τοὺς τότε σῴζοντας αὐ- 127
τοὺς καὶ τὸν Εὐφραῖον ἑτοίμους ὁτιοῦν ποιεῖν ὄντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοὺς μὲν ἐκβαλόντες, τοὺς δ' ἀποκτείναντες, ὁ δ' Εὐφραῖος ἐκεῖνος ἐπέσφαξεν ἑαυτόν, ἔργῳ μαρτυρήσας ὅτι δικαίως καὶ καθαρῶς ὑπὲρ τῶν πολιτῶν ἀνθειστήκει Φιλίππῳ.

Τί οὖν ποτ' αἴτιον, θαυμάζετ' ἴσως, τὸ καὶ τοὺς Ὀλυνθίους καὶ τοὺς Ἐρετριέας καὶ τοὺς Ὠρείτας ἥδιον πρὸς τοὺς ὑπὲρ Φιλίππου λέγοντας ἔχειν ἢ τοὺς ὑπὲρ αὑτῶν; ὅπερ καὶ παρ' ὑμῖν, ὅτι τοῖς μὲν ὑπὲρ τοῦ βελτίστου λέγουσιν οὐδὲ βουλομένοις ἔνεστιν ἐνίοτε πρὸς χάριν οὐδὲν εἰπεῖν· τὰ γὰρ πράγματ' ἀνάγκη σκοπεῖν ὅπως σωθήσεται· οἱ δ' ἐν αὐτοῖς οἷς χαρίζονται Φιλίππῳ συμπράττουσιν. εἰσφέρειν ἐκέλευον, οἱ δ' οὐδὲν δεῖν ἔφασαν· πολεμεῖν καὶ μὴ πιστεύειν, οἱ δ' ἄγειν εἰρήνην, ἕως ἐγκατελήφθησαν. τἄλλα τὸν αὐτὸν τρόπον οἶμαι πάνθ', ἵνα μὴ καθ' ἕκαστα λέγω· οἱ μὲν ἐφ' οἷς ἤδη χαριοῦνται, ταῦτ' ἔλεγον καὶ ἐλύπουν οὐδέν, οἱ δ' ἐξ ὧν ἔμελλον σωθήσεσθαι, προσῆσαν δ' ἀπέχθειαι. πολλὰ δὲ καὶ τὰ τελευταῖα οὐχ οὕτως οὔτε πρὸς χάριν οὔτε δι' ἄγνοιαν οἱ πολλοὶ προΐεντο, ἀλλ' ὑποκατακλινόμενοι, ἐπειδὴ τοῖς ὅλοις ἡττᾶσθαι ἐνόμιζον. ὃ νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω δέδοικ' ἐγὼ μὴ πάθηθ' ὑμεῖς, ἐπειδὰν εἰδῆτε ἐκ λογισμοῦ μηδὲν ὑμῖν ἐνόν. καίτοι μὴ γένοιτο, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ πράγματ' ἐν τούτῳ· τεθνάναι γὰρ μυριάκις κρεῖττον ἢ κολακείᾳ τι ποιῆσαι Φιλίππῳ καὶ προέσθαι τῶν 128
ὑπὲρ ὑμῶν λεγόντων τινάς. καλήν γ' οἱ πολλοὶ νῦν ἀπειλήφασιν Ὠρειτῶν χάριν, ὅτι τοῖς Φιλίππου φίλοις ἐπέτρεψαν αὑτούς, τὸν δ' Εὐφραῖον ἐώθουν· καλήν γ' ὁ δῆμος ὁ Ἐρετριέων, ὅτι τοὺς μὲν ὑμετέρους πρέσβεις ἀπήλασε, Κλειτάρχῳ δ' ἐνέδωκεν αὑτόν· δουλεύουσί γε μαστιγούμενοι καὶ στρεβλούμενοι. καλῶς Ὀλυνθίων ἐφείσατο τῶν τὸν μὲν Λασθένη ἵππαρ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χον χειροτονησάντων, τὸν δ' Ἀπολλωνίδην ἐκβαλόν-
67 των. μωρία καὶ κακία τὰ τοιαῦτα ἐλπίζειν, καὶ κακῶς
βουλευομένους καὶ μηδὲν ὧν προσήκει ποιεῖν ἐθέλον-
τας, ἀλλὰ τῶν ὑπὲρ τῶν ἐχθρῶν λεγόντων ἀκροωμέ-
νους, τηλικαύτην ἡγεῖσθαι πόλιν οἰκεῖν τὸ μέγεθος
68 ὥστε μηδέν, μηδ' ἂν ὁτιοῦν ᾖ, δεινὸν πείσεσθαι. καὶ
μὴν κἀκεῖνό γε αἰσχρὸν, ὕστερόν ποτ' εἰπεῖν συμβάντος
τινός "τίς γὰρ ἂν ᾠήθη ταῦτα γενέσθαι; νὴ τὸν Δία,
"ἔδει γὰρ τὸ καὶ τὸ ποιῆσαι καὶ τὸ καὶ τὸ μὴ ποιῆσαι."
πόλλ' ἂν εἰπεῖν ἔχοιεν Ὀλύνθιοι νῦν, ἃ τότ' εἰ προεί-
δοντο, οὐκ ἂν ἀπώλοντο· πόλλ' ἂν Ὠρεῖται, πολλὰ Φω-
69 κεῖς, πολλὰ τῶν ἀπολωλότων ἕκαστοι. ἀλλὰ τί τούτων
ὄφελος αὐτοῖς; ἕως ἂν σῴζηται τὸ σκάφος, ἄν τε μεῖζον
ἄν τ' ἔλαττον ᾖ, τότε χρὴ καὶ ναύτην καὶ κυβερνήτην
καὶ πάντ' ἄνδρα ἑξῆς προθύμους εἶναι, καὶ ὅπως μήθ'
ἑκὼν μήτ' ἄκων μηδεὶς ἀνατρέψει, τοῦτο σκοπεῖσθαι
70 ἐπειδὰν δὲ ἡ θάλαττα ὑπέρσχῃ, μάταιος ἡ σπουδή. καὶ
ἡμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ἕως ἐσμὲν σῷ,
πόλιν μεγίστην ἔχοντες, ἀφορμὰς πλείστας, ἀξίωμα
κάλλιστον,—τί ποιῶμεν; πάλαι τις ἡδέως ἂν ἴσως
ἐρωτήσας κάθηται. ἐγὼ νὴ Δί' ἐρῶ, καὶ γράψω δέ,
ὥστ' ἐὰν βούλησθε, χειροτονήσετε. αὐτοὶ πρῶτον
ἀμυνόμενοι καὶ παρασκευαζόμενοι, τριήρεσι καὶ χρή-
μασι καὶ στρατιώταις λέγω· καὶ γὰρ ἂν ἅπαντες δήπου
δουλεύειν συγχωρήσωσιν οἱ ἄλλοι, ἡμῖν γ' ὑπὲρ τῆς
71 ἐλευθερίας ἀγωνιστέον· ταῦτα δὴ πάντ' αὐτοὶ παρα-
σκευασάμενοι καὶ ποιήσαντες τοῖς Ἕλλησι φανερὰ τοὺς
ἄλλους ἤδη παρακαλῶμεν, καὶ τοὺς ταῦτα διδάξοντας
ἐκπέμπωμεν πρέσβεις πανταχοῖ, εἰς Πελοπόννησον,
εἰς Ῥόδον, εἰς Χίον, ὡς βασιλέα λέγω (οὐδὲ γὰρ τῶν
ἐκείνῳ συμφερόντων ἀφέστηκε τὸ μὴ τοῦτον ἐᾶσαι
πάντα καταστρέψασθαι), ἵν' ἐὰν μὲν πείσητε, κοινω-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νοὺς ἔχητε καὶ τῶν κινδύνων καὶ τῶν ἀναλωμάτων, ἄν
τι δέῃ, εἰ δὲ μή, χρόνους γε ἐμποιῆτε τοῖς πράγμασιν.
72 ἐπειδὴ γάρ ἐστι πρὸς ἄνδρα καὶ οὐχὶ συνεστώσης πό-
λεως ἰσχὺν ὁ πόλεμος, οὐδὲ τοῦτ' ἄχρηστον, οὐδ' αἱ
πέρυσι πρεσβεῖαι αἱ περὶ τὴν Πελοπόννησον ἐκεῖναι
καὶ κατηγορίαι, ἃς ἐγὼ καὶ Πολύευκτος ὁ βέλτιστος
ἐκεινοσὶ καὶ Ἡγήσιππος καὶ Κλειτόμαχος καὶ Λυκοῦρ-
γος καὶ οἱ ἄλλοι πρέσβεις περιήλθομεν, καὶ ἐποιήσα-
μεν ἐπισχεῖν ἐκεῖνον καὶ μήτ' ἐπ' Ἀμβρακίαν ἐλθεῖν
73 μήτ' εἰς Πελοπόννησον ὁρμῆσαι. οὐ μέντοι λέγω μη-
δὲν αὐτοὺς ὑπὲρ αὐτῶν ἀναγκαῖον ἐθέλοντας ποιεῖν
τοὺς ἄλλους παρακαλεῖν· καὶ γὰρ εὔηθες τὰ οἰκεῖα αὐ-
τοὺς προϊεμένους τῶν ἀλλοτρίων φάσκειν κήδεσθαι,
καὶ τὰ παρόντα περιορῶντας ὑπὲρ τῶν μελλόντων
τοὺς ἄλλους φοβεῖν. οὐ λέγω ταῦτα, ἀλλὰ τοῖς μὲν
ἐν Χερρονήσῳ χρήματ' ἀποστέλλειν φημὶ δεῖν καὶ τἄλ-
λα ὅσα ἀξιοῦσι ποιεῖν, αὐτοὺς δὲ παρασκευάζεσθαι,
καὶ πρώτους ἃ χρὴ ποιοῦντας τότε καὶ τοὺς ἄλλους 130
Ἕλληνας συγκαλεῖν, συνάγειν, διδάσκειν, νουθε-
τεῖν· ταῦτ' ἐστὶ πόλεως ἀξίωμα ἐχούσης ἡλίκον ὑμῖν
74 ὑπάρχει. εἰ δ' οἴεσθε Χαλκιδέας τὴν Ἑλλάδα σώσειν
ἢ Μεγαρέας, ὑμεῖς δ' ἀποδράσεσθαι τὰ πράγματα,
οὐκ ὀρθῶς οἴεσθε· ἀγαπητὸν γὰρ ἐὰν αὐτοὶ σώζων-
ται τούτων ἕκαστοι. ἀλλ' ὑμῖν τοῦτο πρακτέον· ὑμῖν
οἱ πρόγονοι τοῦτο τὸ γέρας ἐκτήσαντο καὶ κατέλιπον
75 μετὰ πολλῶν καὶ μεγάλων κινδύνων. εἰ δ' ὃ βούλεται
ζητῶν ἕκαστος καθεδεῖται, καὶ ὅπως μηδὲν αὐτὸς ποι-
ήσει σκοπῶν, πρῶτον μὲν οὐ μήποθ' εὕρῃ τοὺς ποιή-
σοντας, ἔπειτα δέδοικα ὅπως μὴ πάνθ' ἅμα, ὅσα οὐ
βουλόμεθα, ποιεῖν ἡμῖν ἀνάγκη γένηται.
76 Ἐγὼ μὲν δὴ ταῦτα λέγω, ταῦτα γράφω· καὶ οἴ-
μαι καὶ νῦν ἔτι ἐπανορθωθῆναι ἂν τὰ πράγματα τού-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

των γιγνομένων. εἰ δέ τις ἔχει τι τούτων βέλτιον, λεγέτω καὶ συμβουλευέτω. ὅ τι δ' ὑμῖν δόξει, τοῦτ', ὦ πάντες θεοί, συνενέγκοι.

---

X.

## ΚΑΤΑ ΦΙΛΙΠΠΟΥ Δ.

### ΥΠΟΘΕΣΙΣ.

Καὶ οὗτος τὴν αὐτὴν ὑπόθεσιν ἔχει τῷ φθάνοντι καὶ πλέον οὐδὲν οὐδὲ ἴδιον, πλὴν τὸ περὶ τῆς ὁμονοίας πολίτευμα· διαφερομένων γὰρ τῶν πλουσίων πρὸς τοὺς πένητας, ὁ Δημοσθένης καταπαύειν πειρᾶται τὴν στάσιν, τῷ μὲν δήμῳ παραινῶν 13
μὴ δημεύειν τὰς τῶν πλουσίων οὐσίας, τοῖς δὲ πλουσίοις μὴ φθονεῖν τοῖς ἀπόροις τοῦ δημοσίου λήμματος. πείθει δὲ τοὺς Ἀθηναίους καὶ πρὸς τὸν Περσῶν βασιλέα περὶ συμμαχίας πρεσβεύεσθαι.

---

Καὶ σπουδαῖα νομίζων, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ ὧν βουλεύεσθε, καὶ ἀναγκαῖα τῇ πόλει, πειράσομαι περὶ αὐτῶν εἰπεῖν ἃ νομίζω συμφέρειν. οὐκ ὀλίγων δ' ὄντων ἁμαρτημάτων οὐδ' ἐκ μικροῦ χρόνου συνειλεγμένων, ἐξ ὧν φαύλως ταῦτ' ἔχει, οὐδέν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πάντων δυσκολώτερον εἰς τὸ παρὸν ἢ ὅτι ταῖς γνώμαις ὑμεῖς ἀφεστήκατε τῶν πραγμάτων, καὶ τοσοῦτον χρόνον σπουδάζετε ὅσον ἂν κάθησθε ἀκούοντες, ἢ προσαγγελθῇ τι νεώτερον, εἶτ' ἀπελθὼν ἕκαστος ὑμῶν οὐ μόνον οὐδὲν φροντίζει περὶ αὐ-
2 τῶν, ἀλλ' οὐδὲ μέμνηται. ἡ μὲν οὖν ἀσέλγεια καὶ πλεονεξία, ᾗ πρὸς ἅπαντας ἀνθρώπους Φίλιππος χρῆται, τοσαύτη τὸ πλῆθος ὅσην ἀκούετε· ὅτι δ' οὐκ ἔνι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτης ἐκεῖνον ἐπισχεῖν ἐκ λόγου καὶ δημηγορίας οὐδεὶς
ἀγνοεῖ δήπου. καὶ γὰρ εἰ μηδ' ἀφ' ἑνὸς τῶν ἄλλων
τοῦτο μαθεῖν δύναταί τις, ὡδὶ λογισάσθω. ἡμεῖς οὐ-
δαμοῦ πώποτε, ὅπου περὶ τῶν δικαίων εἰπεῖν ἐδέησεν,
ἡττήθημεν οὐδ' ἀδικεῖν ἐδόξαμεν, ἀλλὰ πάντων παν- 132
3 ταχοῦ κρατοῦμεν καὶ περίεσμεν τῷ λόγῳ. ἆρ' οὖν διὰ
τοῦτ' ἐκείνῳ φαύλως ἔχει τὰ πράγματα ἢ τῇ πόλει κα-
λῶς; πολλοῦ γε καὶ δεῖ· ἐπειδὰν γὰρ ὁ μὲν λαβὼν μετὰ
ταῦτα βαδίζῃ τὰ ὅπλα, πᾶσι τοῖς οὖσιν ἑτοίμως κινδυ-
νεύσων, ἡμεῖς δὲ καθώμεθα εἰρηκότες τὰ δίκαια, οἱ δ'
ἀκηκοότες, εἰκότως, οἶμαι, τοὺς λόγους τὰ ἔργα παρέρ-
χεται, καὶ προσέχουσιν ἅπαντες οὐχ οἷς εἴπομέν ποθ'
ἡμεῖς δικαίοις ἢ νῦν ἂν εἴποιμεν, ἀλλ' οἷς ποιοῦμεν.
ἔστι δὲ ταῦτα οὐδένα τῶν ἀδικουμένων σώζειν δυνά-
4 μενα· οὐδὲν γὰρ δεῖ πλείω περὶ αὐτῶν λέγειν. τοιγάρτοι
διεστηκότων εἰς δύο ταῦτα τῶν ἐν ταῖς πόλεσι, τῶν
μὲν εἰς τὸ μήτε ἄρχειν βίᾳ βούλεσθαι μηδενὸς μήτε
δουλεύειν ἄλλῳ, ἀλλ' ἐν ἐλευθερίᾳ καὶ νόμοις ἐξ ἴσου
πολιτεύεσθαι, τῶν δ' εἰς τὸ ἄρχειν μὲν τῶν πολιτῶν
ἐπιθυμεῖν, ἑτέρῳ δ' ὑπακούειν, δι' ὅτου ποτ' ἂν οἴων-
ται τοῦτο δυνήσεσθαι ποιῆσαι, οἱ τῆς ἐκείνου προαιρέ-
σεως, οἱ τυραννίδων καὶ δυναστειῶν ἐπιθυμοῦντες,
κεκρατήκασι πανταχοῦ, καὶ πόλις δημοκρατουμένη βε-
βαίως οὐκ οἶδ' εἴ τίς ἐστι τῶν πασῶν λοιπὴ πλὴν ἡ
5 ἡμετέρα. καὶ κεκρατήκασιν οἱ δι' ἐκείνου τὰς πολι-
τείας ποιούμενοι πᾶσιν, ὅσοις πράγματα πράττεται,
πρώτῳ μὲν πάντων καὶ πλείστῳ τῷ τοῖς βουλομένοις
χρήματα λαμβάνειν ἔχειν τὸν δώσοντα ὑπὲρ αὐτῶν,
δευτέρῳ δὲ καὶ οὐδὲν ἐλάττονι τούτου τῷ δύναμιν τὴν
καταστρεψομένην τοὺς ἐναντιουμένους αὐτοῖς ἐν οἷς
6 ἂν αἰτήσωσι χρόνοις παρεῖναι. ἡμεῖς δ' οὐ μόνον τού-
τοις ὑπολειπόμεθα, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλ' οὐδ'



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνεγερθῆναι δυνάμεθα, ἀλλὰ μανδραγόραν πεπωκό- 133
σιν ἤ τι φάρμακον ἄλλο τοιοῦτον ἐοίκαμεν ἀνθρώποις·
εἶτ', οἶμαι, (δεῖ γάρ, ὡς ἐγὼ κρίνω, λέγειν τἀληθῆ)
οὕτω διαβεβλήμεθα καὶ καταπεφρονήμεθα ἐκ τούτων
ὥστε τῶν ἐν αὐτῷ τῷ κινδυνεύειν ὄντων οἱ μὲν ὑπὲρ
τῆς ἡγεμονίας ἡμῖν ἀντιλέγουσιν, οἱ δ' ὑπὲρ τοῦ ποῦ
συνεδρεύσουσι, τινὲς δὲ καθ' αὑτοὺς ἀμύνεσθαι μᾶλ-
λον ἢ μεθ' ἡμῶν ἐγνώκασιν.

7 Τοῦ χάριν δὴ ταῦτα λέγω καὶ διεξέρχομαι; οὐ γὰρ
ἀπεχθάνεσθαι μὰ τὸν Δία καὶ πάντας θεοὺς προαι-
ροῦμαι· ἵν' ὑμῶν ἕκαστος, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο
γνῷ καὶ εἰδῇ, ὅτι ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυ-
μία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω καὶ ταῖς πόλεσιν
οὐκ ἐφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν
εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαν-
8 τᾷ. ὁρᾶτε Σέρρειον καὶ Δορίσκον· ταῦτα γὰρ πρῶ-
τον ὠλιγωρήθη μετὰ τὴν εἰρήνην, ἃ πολλοῖς ὑμῶν
οὐδὲ γνώριμά ἐστιν ἴσως. ταῦτα μέντοι ἐαθέντα καὶ
παροφθέντα ἀπώλεσε Θρᾴκην καὶ Κερσοβλέπτην, σύμ-
μαχον ὄνθ' ὑμῶν. πάλιν ταῦτ' ἀμελούμενα ἰδὼν καὶ
οὐδεμιᾶς βοηθείας τυγχάνοντα παρ' ὑμῶν κατέσκαπτε
Πορθμόν, καὶ τυραννίδα ἀπαντικρὺ τῆς Ἀττικῆς ἐπε-
9 τείχισεν ὑμῖν ἐν τῇ Εὐβοίᾳ. ταύτης ὀλιγωρουμένης
Μέγαρα ἑάλω παρὰ μικρόν. οὐδὲν ἐφροντίσατε οὐδ'
ἐπεστράφητε οὐδὲν τούτων, οὐδ' ἐνεδείξασθε τοῦθ',
ὅτι οὐκ ἐπιτρέψετε ταῦτα ποιεῖν αὐτῷ· Ἀντρῶνας
ἐπρίατο καὶ μετ' οὐ πολὺν χρόνον τὰ ἐν Ὠρεῷ πράγματ'
10 εἰλήφει. πολλὰ δὲ καὶ παραλείπω, Φεράς, τὴν ἐπ' Ἀμ-
βρακίαν ὁδόν, τὰς ἐν Ἤλιδι σφαγάς, ἄλλα μυρία· οὐ 134
γὰρ ἵν' ἐξαριθμήσωμαι τοὺς βεβιασμένους καὶ τοὺς
ἠδικημένους ὑπὸ Φιλίππου, ταῦτα διεξῆλθον, ἀλλ'
ἵνα τοῦθ' ὑμῖν δείξω, ὅτι οὐ στήσεται πάντας ἀνθρώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πους ἀδικῶν, τὰ δ' ὑφ' αὑτῷ ποιούμενος Φίλιππος,
εἰ μή τις αὐτὸν κωλύσει.
11 Εἰσὶ δέ τινες οἳ πρὶν ἀκοῦσαι τοὺς ὑπὲρ τῶν πρα-
γμάτων λόγους εὐθέως εἰώθασιν ἐρωτᾶν "τί οὖν χρὴ
"ποιεῖν;" οὐχ ἵν' ἀκούσαντες ποιήσωσι (χρησιμώτατοι
γὰρ ἂν ἦσαν ἁπάντων), ἀλλ' ἵνα τοῦ λέγοντος ἀπαλ-
λαγῶσιν. δεῖ δ' ὅμως εἰπεῖν ὅ τι χρὴ ποιεῖν. πρῶτον
μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο παρ' ὑμῖν αὐτοῖς βε-
βαίως γνῶναι, ὅτι τῇ πόλει Φίλιππος πολεμεῖ καὶ τὴν
εἰρήνην λέλυκε, καὶ κακόνους μέν ἐστι καὶ ἐχθρὸς ὅλῃ
τῇ πόλει καὶ τῷ τῆς πόλεως ἐδάφει, προσθήσω δὲ καὶ
τοῖς ἐν τῇ πόλει θεοῖς, οἵπερ αὐτὸν ἐξολέσειαν, οὐδενὶ
μέντοι μᾶλλον ἢ τῇ πολιτείᾳ πολεμεῖ οὐδ' ἐπιβουλεύει,
καὶ σκοπεῖ μᾶλλον οὐδὲν τῶν πάντων ἢ πῶς ταύτην κα-
12 ταλύσει. καὶ τοῦτ' ἐξ ἀνάγκης τρόπον τινὰ νῦν γε δὴ
ποιεῖ· λογίζεσθε γάρ. ἄρχειν βούλεται, τούτου δ'
ἀνταγωνιστὰς μόνους ὑπείληφεν ὑμᾶς. ἀδικεῖ πολὺν
χρόνον ἤδη, καὶ τοῦτ' αὐτὸς ἄριστα σύνοιδεν αὑτῷ·
οἷς γὰρ οὖσιν ὑμετέροις ἔχει χρῆσθαι, τούτοις ἅπαντα
τἄλλα βεβαίως κέκτηται· εἰ γὰρ Ἀμφίπολιν καὶ Ποτί-
δαιαν προεῖτο, οὐδ' ἂν ἐν Μακεδονίᾳ μένειν ἀσφα-
13 λῶς ἐδύνατο. ἀμφότερα οὖν οἶδε, καὶ αὑτὸν ὑμῖν ἐπι-
βουλεύοντα καὶ ὑμᾶς αἰσθανομένους. εὖ φρονεῖν δ'
ὑμᾶς ὑπολαμβάνων δικαίως μισεῖν αὑτὸν ἡγεῖται.
πρὸς δὲ τούτοις τοσούτοις οὖσιν οἶδεν ἀκριβῶς ὅτι οὐδ'
ἂν ἁπάντων τῶν ἄλλων γένηται κύριος, οὐδέν ἐστ' 135
αὐτῷ βεβαίως ἔχειν, ἕως ἂν ὑμεῖς δημοκρατῆσθε, ἀλλ'
ἐάν ποτε συμβῇ τι πταῖσμα (πολλὰ δ' ἂν γένοιτο ἀν-
θρώπῳ), ἥξει πάντα τὰ νῦν βεβιασμένα καὶ καταφεύ-
14 ξεται πρὸς ὑμᾶς· ἐστὲ γὰρ ὑμεῖς οὐκ αὐτοὶ πλεονεκτῆ-
σαι καὶ κατασχεῖν ἀρχὴν εὖ πεφυκότες, ἀλλ' ἕτερον
λαβεῖν κωλῦσαι καὶ ἔχοντ' ἀφελέσθαι καὶ ὅλως ἐνοχλῆ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σαι τοῖς ἄρχειν βουλομένοις καὶ πάντας ἀνθρώπους
εἰς ἐλευθερίαν ἐξελέσθαι δεινοί. οὔκουν βούλεται τοῖς
αὑτοῦ καιροῖς τὴν παρ' ὑμῶν ἐλευθερίαν ἐφεδρεύειν,
15 οὐ κακῶς οὐδ' ἀργῶς ταῦτα λογιζόμενος. πρῶτον μὲν
δὴ τοῦτο δεῖ, ἐχθρὸν ὑπειληφέναι τῆς πολιτείας καὶ τῆς
δημοκρατίας ἀδιάλλακτον ἐκεῖνον, δεύτερον δὲ εἰδέναι
σαφῶς ὅτι πάνθ' ὅσα πραγματεύεται καὶ κατασκευάζε-
ται νῦν, ἐπὶ τὴν ἡμετέραν πόλιν παρασκευάζεται. οὐ
γὰρ οὕτως εὐήθης ἐστὶν ὑμῶν οὐδεὶς ὥσθ' ὑπολαμβά-
νειν τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴκῃ κακῶν (τί γὰρ
ἂν ἄλλο τις εἴποι Δρογγίλον καὶ Καβύλην καὶ Μάστει-
ραν καὶ ἃ νῦν φασιν αὐτὸν ἔχειν) τούτων μὲν ἐπιθυ-
μεῖν καὶ ὑπὲρ τοῦ ταῦτα λαβεῖν καὶ πόνους καὶ χειμῶνας
16 καὶ τοὺς ἐσχάτους κινδύνους ὑπομένειν, τῶν δ' Ἀθη-
ναίων λιμένων καὶ νεωρίων τῶν τριήρων καὶ καὶ ἔργων
τῶν ἀργυρείων καὶ τοσούτων προσόδων καὶ τόπου καὶ
δόξης, ὧν μήτ' ἐκείνῳ μήτ' ἄλλῳ γένοιτο μηδενὶ χειρω-
σαμένῳ τὴν πόλιν τὴν ἡμετέραν κυριεῦσαι, οὐκ ἐπιθυ-
μεῖν, ἀλλὰ ταῦτα μὲν ὑμᾶς ἐάσειν ἔχειν, ὑπὲρ δὲ τῶν
μελινῶν καὶ τῶν ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς
17 ἐν τῷ βαράθρῳ χειμάζειν. οὐκ ἔστι ταῦτα, ἀλλὰ κά-
κεῖνα ὑπὲρ τοῦ τούτων γενέσθαι κύριος καὶ τἄλλα 136
πάντα πραγματεύεται. ταῦτα τοίνυν ἕκαστον εἰδότα
καὶ γιγνώσκοντα παρ' αὑτῷ δεῖ μὰ Δί' οὐ γράψαι κε-
λεύειν πόλεμον τὸν τὰ βέλτιστα ἐπὶ πᾶσι δικαίοις συμ-
βουλεύοντα· τοῦτο μὲν γάρ ἐστι λαβεῖν ὅτῳ πολεμή-
σετε βουλομένων, οὐχ ἃ τῇ πόλει συμφέρει πράττειν.
18 ὁρᾶτε γάρ. εἰ δι' ἃ πρῶτα παρεσπόνδησε Φίλιππος ἢ
δεύτερα ἢ τρίτα (πολλὰ γάρ ἐστιν ἐφεξῆς) ἔγραψέ τις
αὐτῷ πολεμεῖν, ὁ δ' ὁμοίως ὥσπερ νῦν, οὐ γράφον-
τος οὐδενὸς ὑμῶν πόλεμον, Καρδιανοῖς ἐβοήθει, οὐκ
ἂν ἀνηρπασμένος ἦν ὁ γράψας, καὶ διὰ τοῦτο πάντες

Δημοσια Κεντρικη Βιβλιοθηκη Βέροιας

19 ᾐτιῶντ' ἂν αὐτὸν Καρδιανοῖς βεβοηθηκέναι; μὴ τοί-
νυν ζητεῖτε ὅντινα ἀνθ' ὧν Φίλιππος ἐξαμαρτάνει μι-
σήσετε καὶ τοῖς παρ' ἐκείνου μισθαρνοῦσι διασπάσα-
σθαι παραβαλεῖτε· μηδ' αὐτοὶ χειροτονήσαντες πόλε-
μον βούλεσθε παρ' αὐτοῖς ὑμῖν ἐρίζειν, εἰ δέον ἢ μὴ
δέον ὑμᾶς τοῦτο πεποιηκέναι· ἀλλ' ὃν ἐκεῖνος πολε-
μεῖ τρόπον, τοῦτον μιμεῖσθε, τοῖς μὲν ἀμυνομένοις
ἤδη χρήματα καὶ τἆλλα ὅσων δέονται διδόντες, αὐ-
τοὶ δ' εἰσφέροντες, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ κατασκευ-
αζόμενοι στράτευμα, τριήρεις ταχείας, ἵππους, ἱππα-
20 γωγούς, τἆλλα ὅσα εἰς πόλεμον, ἐπεὶ νῦν γε γέλως
ἔσθ' ὡς χρώμεθα τοῖς πράγμασι, καὶ Φίλιππον δ' αὐ-
τὸν οὐδὲν ἂν ἄλλο οἶμαι μὰ τοὺς θεοὺς εὔξασθαι ποι-
εῖν τὴν πόλιν ἢ ταῦτα ἃ νῦν ποιεῖτε· ὑστερίζετε, ἀνα-
λίσκετε, ὅτῳ παραδώσετε τὰ πράγματα ζητεῖτε, δυσχε-
ραίνετε, ἀλλήλους αἰτιᾶσθε. ἀφ' οὗ δὲ ταῦτα γίγνεται
21 ἐγὼ διδάξω, καὶ ὅπως παύσεται λέξω. οὐδὲν πώποτε, 137
ὦ ἄνδρες Ἀθηναῖοι, τῶν πραγμάτων ἐξ ἀρχῆς ἐνεστή-
σασθε οὐδὲ κατεσκευάσασθε ὀρθῶς, ἀλλὰ τὸ συμβαῖ-
νον ἀεὶ διώκετε, εἶτ' ἐπειδὰν ὑστερίσητε, παύεσθε·
ἕτερον πάλιν ἂν συμβῇ τι, παρασκευάζεσθε καὶ θορυ-
22 βεῖσθε. τὸ δ' οὐχ οὕτως ἔχει· οὐκ ἔνεστι βοηθείαις
χρωμένους οὐδὲν τῶν δεόντων ποτὲ πρᾶξαι, ἀλλὰ κα-
τασκευάσαντας δεῖ δύναμιν, καὶ τροφὴν ταύτῃ πορί-
σαντας καὶ ταμίας καὶ δημοσίους, καὶ ὅπως ἔνι τὴν τῶν
χρημάτων φυλακὴν ἀκριβεστάτην γενέσθαι, οὕτω ποι-
ήσαντας, τὸν μὲν τῶν χρημάτων λόγον παρὰ τούτων
λαμβάνειν, τὸν δὲ τῶν ἔργων παρὰ τοῦ στρατηγοῦ,
καὶ μηδεμίαν πρόφασιν τοῦ πλεῖν ἄλλοσε ἢ πράττειν
23 ἄλλο τι τῷ στρατηγῷ καταλείπειν. ἂν δ' οὕτω ποιή-
σητε καὶ τοῦτ' ἐθελήσητε ὡς ἀληθῶς, ἄγειν εἰρήνην
δικαίαν καὶ μένειν ἐπὶ τῆς αὐτοῦ Φίλιππον ἀναγκά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σετε, ἢ πολεμήσετ' ἐξ ἴσου· καὶ ἴσως ἄν, ἴσως, ὦ ἄν-
δρες Ἀθηναῖοι, ὥσπερ νῦν ὑμεῖς πυνθάνεσθε τί ποιεῖ
Φίλιππος καὶ ποῖ πορεύεται, οὕτως ἂν ἐκεῖνος φρον-
τίσαι ποῖ ποθ' ἡ τῆς πόλεως ἀπῆρκε δύναμις καὶ ποῦ
φανήσεται.
24 Εἰ δέ τῳ δοκεῖ ταῦτα καὶ δαπάνης πολλῆς καὶ πό-
νων πολλῶν καὶ πραγματείας εἶναι, καὶ μάλ' ὀρθῶς
δοκεῖ· ἀλλ' ἐὰν λογίσηται τὰ τῇ πόλει μετὰ ταῦτα γε-
νησόμενα, ἐὰν ταῦτα μὴ ἐθέλῃ ποιεῖν, εὑρήσει λυσι-
τελοῦν τὸ ἑκόντας ποιεῖν τὰ δέοντα. εἰ μὲν γάρ ἐστί
τις ἐγγυητὴς ὑμῖν θεῶν (οὐ γὰρ ἀνθρώπων γε οὐδεὶς
ἂν γένοιτο ἀξιόχρεως τηλικούτου πράγματος) ὡς, ἐὰν
ἄγηθ' ἡσυχίαν καὶ ἅπαντα πρόησθε, οὐκ ἐπ' αὐτοὺς 138
25 ὑμᾶς τελευτῶν ἐκεῖνος ἥξει, αἰσχρὸν μὲν νὴ τὸν Δία
καὶ πάντας θεοὺς καὶ ἀνάξιον ὑμῶν καὶ τῶν ὑπαρχόν-
των τῇ πόλει καὶ πεπραγμένων τοῖς προγόνοις, τῆς
ἰδίας ῥαθυμίας ἕνεκα τοὺς ἄλλους ἅπαντας Ἕλληνας
εἰς δουλείαν προέσθαι, καὶ ἔγωγ' αὐτὸς μὲν τεθνάναι
26 μᾶλλον ἂν ἢ ταῦτ' εἰρηκέναι βουλοίμην· οὐ μὴν ἀλλ'
εἴ τις ἄλλος λέγει καὶ ὑμᾶς πείθει, ἔστω, μὴ ἀμύνεσθε,
ἅπαντα πρόεσθε. εἰ δὲ μηδενὶ τοῦτο δοκεῖ, τοὐναν-
τίον δὲ πρόϊσμεν ἅπαντες, ὅτι ὅσῳ ἂν πλειόνων ἐάσω-
μεν ἐκεῖνον γενέσθαι κύριον, τοσούτῳ χαλεπωτέρῳ
καὶ ἰσχυροτέρῳ χρησόμεθα ἐχθρῷ, ποῖ ἀναδυόμεθα,
ἢ τί μέλλομεν; ἢ πότε, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δέον-
27 τα ποιεῖν ἐθελήσομεν; ὅταν νὴ Δί' ἀνάγκη τις ᾖ. ἀλλ'
ἣν μὲν ἄν τις ἐλευθέρων ἀνθρώπων ἀνάγκην εἴποι, οὐ
μόνον ἤδη πάρεστιν, ἀλλὰ καὶ πάλαι παρελήλυθε, τὴν
δὲ τῶν δούλων ἀπεύχεσθαι δήπου μὴ γενέσθαι δεῖ.
διαφέρει δὲ τί; ὅτι ἐστὶν ἐλευθέρῳ μὲν ἀνθρώπῳ με-
γίστη ἀνάγκη ἡ ὑπὲρ τῶν γιγνομένων αἰσχύνη, καὶ
μείζω ταύτης οὐκ οἶδ' ἥντινα ἂν εἴποι τις· δούλῳ δὲ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πληγαὶ καὶ ὁ τοῦ σώματος αἰκισμὸς, ἃ μήτε γένοιτο
οὔτε λέγειν ἄξιον.

28 Τὸ μὲν τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, πρὸς τὰ τοιαῦ-
τα ὀκνηρῶς διακεῖσθαι, ἃ δεῖ τοῖς σώμασι καὶ ταῖς οὐσί-
αις λειτουργῆσαι ἕκαστον, ἐστὶ μὲν οὐκ ὀρθῶς ἔχον, οὐ-
δὲ πολλοῦ δεῖ, οὐ μὴν ἀλλ᾽ ἔχει τινὰ πρόφασιν ὅμως· τὸ
δὲ μηδ᾽ ὅσ᾽ ἀκοῦσαι δεῖ μηδ᾽ ὅσα βουλεύσασθαι προσή-
κει, μηδὲ ταῦτ᾽ ἐθέλειν ἀκούειν, τοῦτ᾽ ἤδη πᾶσαν ἐπιδέ-
29 χεται κατηγορίαν. ὑμεῖς τοίνυν οὐκ ἀκούειν, πρὶν ἂν 139
ὥσπερ νῦν αὐτὰ παρῇ τὰ πράγματα, οὐχὶ βουλεύεσθαι
περὶ οὐδενὸς εἰώθατ᾽ ἐφ᾽ ἡσυχίας, ἀλλ᾽ ὅταν μὲν ἐκεῖ-
νος παρασκευάζηται, ἀμελήσαντες τοῦ ποιεῖν ταὐτὸ καὶ
ἀντιπαρασκευάζεσθαι ῥᾳθυμεῖτε, καὶ ἄν τι λέγῃ τις,
ἐκβάλλετε, ἐπειδὰν δ᾽ ἀπολωλὸς ἢ πολιορκούμενόν
τι πύθησθε, τηνικαῦτ᾽ ἀκροᾶσθε καὶ παρασκευάζε-
30 σθε. ἦν δ᾽ ἀκηκοέναι μὲν καὶ βεβουλεῦσθαι τότε και-
ρὸς, ὅθ᾽ ὑμεῖς οὐκ ἠθέλετε, πράττειν δὲ καὶ χρῆσθαι
τοῖς παρεσκευασμένοις νῦν, ἡνίκ᾽ ἀκούετε. τοιγαρ-
οῦν ἐκ τῶν τοιούτων ἐθῶν μόνοι τῶν πάντων ἀν-
θρώπων ὑμεῖς τοῖς ἄλλοις τοὐναντίον ποιεῖτε· οἱ μὲν
γὰρ ἄλλοι πρὸ τῶν πραγμάτων εἰώθασι χρῆσθαι τῷ
βουλεύεσθαι, ὑμεῖς δὲ μετὰ τὰ πράγματα.

31 Ὃ δὴ λοιπόν ἐστι, καὶ πάλαι μὲν ἔδει, διαφεύγει
δ᾽ οὐδὲ νῦν, τοῦτ᾽ ἐρῶ. οὐδενὸς τῶν πάντων οὕτως
ὡς χρημάτων δεῖ τῇ πόλει πρὸς τὰ νῦν ἐπιόντα πρά-
γματα. συμβέβηκε δ᾽ εὐτυχήματα ἀπὸ ταὐτομάτου,
οἷς ἂν χρησώμεθα ὀρθῶς, ἴσως ἂν γένοιτο τὰ δέοντα.
πρῶτον μὲν γὰρ οἷς βασιλεὺς πιστεύει καὶ εὐεργέτας
ὑπείληφεν ἑαυτοῦ, οὗτοι μισοῦσι καὶ πολεμοῦσι Φιλίπ-
32 πῳ. ἔπειθ᾽ ὁ πράττων καὶ συνειδὼς ἅπανθ᾽ ἃ Φίλιππος
κατὰ βασιλέως παρασκευάζεται, οὗτος ἀνάσπαστος γέ-
γονε, καὶ πάσας τὰς πράξεις βασιλεὺς οὐχ ἡμῶν κατη-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γορούντων ἀκούσεται, οὓς ὑπὲρ τοῦ συμφέροντος ἂν
ἡγήσαιτο τοῦ ἰδίου λέγειν, ἀλλὰ τοῦ πράξαντος αὐ-
τοῦ καὶ διοικοῦντος, ὥστ᾿ εἶναι πιστὰς τὰς κατηγορίας, 140
καὶ λοιπὸν λόγον εἶναι τοῖς παρ᾿ ἡμῶν πρέσβεσιν, ὃν
33 βασιλεὺς ἥδιστ᾿ ἂν ἀκούσαι, ὡς τὸν ἀμφοτέρους ἀδι-
κοῦντα κοινῇ τιμωρήσασθαι δεῖ, καὶ ὅτι πολὺ τῷ βα-
σιλεῖ φοβερώτερός ἐσθ᾿ ὁ Φίλιππος, ἂν προτέροις ἡμῖν
ἐπιθῆται· εἰ γὰρ ἐγκαταλειπόμενοί τι πεισόμεθα ἡμεῖς,
ἀδεῶς ἐπ᾿ ἐκεῖνον ἤδη πορεύσεται. ὑπὲρ δὴ τούτων
ἁπάντων οἶμαι δεῖν ὑμᾶς πρεσβείαν ἐκπέμπειν, ἥτις
τῷ βασιλεῖ διαλέξεται, καὶ τὴν ἀβελτερίαν ἀποθέσθαι,
δι᾿ ἣν πολλάκις ἠλαττώθητε, "ὁ δὴ βάρβαρος καὶ ὁ
34 "κοινὸς ἅπασιν ἐχθρὸς" καὶ πάντα τὰ τοιαῦτα. ἐγὼ γὰρ
ὅταν τιν᾿ ἴδω τὸν μὲν ἐν Σούσοις καὶ Ἐκβατάνοις δε-
δοικότα καὶ κακόνουν εἶναι τῇ πόλει φάσκοντα, ὃς καὶ
πρότερον συνεπηνώρθωσε τὰ τῆς πόλεως πράγματα
καὶ νῦν ἐπηγγέλλετο (εἰ δὲ μὴ ἐδέχεσθ᾿ ὑμεῖς, ἀλλ᾿ ἀπε-
ψηφίζεσθε, οὐ τά γε ἐκείνου αἴτια), ὑπὲρ δὲ τοῦ ἐπὶ
ταῖς θύραις ἐγγὺς οὑτωσὶ ἐν μέσῃ τῇ Ἑλλάδι αὐξανο-
μένου λῃστοῦ τῶν Ἑλλήνων ἄλλο τι λέγοντα, θαυμάζω,
καὶ δέδοικα τοῦτον, ὅστις ἂν ᾖ ποτ᾿, ἔγωγ᾿, ἐπειδὴ
οὐχ οὗτος Φίλιππον.

35 Ἔστι τοίνυν τι πρᾶγμα καὶ ἄλλο, ὃ λυμαίνεται τὴν
πόλιν ὑπὸ βλασφημίας ἀδίκου καὶ λόγων οὐ προση-
κόντων διαβεβλημένην, εἶτα τοῖς μηδὲν τῶν δικαίων
ἐν τῇ πολιτείᾳ βουλομένοις ποιεῖν πρόφασιν παρέχει·
καὶ πάντων, ὅσα ἐκλείπει, δέον παρά του γίγνεσθαι,
ἐπὶ τοῦθ᾿ εὑρήσετε τὴν αἰτίαν ἀναφερομένην. περὶ
36 οὗ πάνυ μὲν φοβοῦμαι λέγειν, οὐ μὴν ἀλλ᾿ ἐρῶ· οἶμαι
γὰρ ἕξειν καὶ ὑπὲρ τῶν ἀπόρων τὰ δίκαια ἐπὶ τῷ συμ-
φέροντι τῆς πόλεως εἰπεῖν πρὸς τοὺς εὐπόρους καὶ
ὑπὲρ τῶν κεκτημένων τὰς οὐσίας πρὸς τοὺς καταδεεῖς, 141

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ ἀνέλοιμεν ἐκ μέσου καὶ τὰς βλασφημίας ἃς ἐπὶ τῷ
θεωρικῷ ποιοῦνταί τινες οὐχὶ δικαίως, καὶ τὸν φόβον,
ὡς οὐ στήσεται τοῦτο ἄνευ μεγάλου τινὸς κακοῦ· οὗ
οὐδὲν ἂν εἰς τὰ πράγματα μεῖζον εἰσενεγκαίμεθα, οὐδ'
37 ὅ τι κοινῇ μᾶλλον ἂν ὅλην ἐπιρρώσειε τὴν πόλιν. οὑ-
τωσὶ δὲ σκοπεῖτε· ἐρῶ δ' ὑπὲρ τῶν ἐν χρείᾳ δοκούν-
των εἶναι πρότερον. ἦν ποτ' οὐ πάλαι παρ' ἡμῖν, ὅτ'
οὐ προσῄει τῇ πόλει τάλαντα ὑπὲρ τριάκοντα καὶ ἑκα-
τόν· καὶ οὐδεὶς ἦν τῶν τριηραρχεῖν δυναμένων οὐδὲ
τῶν εἰσφέρειν, ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυ-
τὸν ποιεῖν, ὅτι χρήματα οὐ περιῆν, ἀλλὰ καὶ τριήρεις
ἔπλεον καὶ χρήματ' ἐγίγνετο καὶ πάντ' ἐποιοῦμεν τὰ
38 δέοντα. μετὰ ταῦτα ἡ τύχη, καλῶς ποιοῦσα, πολλὰ πε-
ποίηκε τὰ κοινά, καὶ τετρακόσια ἀντὶ τῶν ἑκατὸν τα-
λάντων προσέρχεται, οὐδενὸς οὐδὲν ζημιουμένου τῶν
τὰς οὐσίας ἐχόντων, ἀλλὰ καὶ προσλαμβανόντων· οἱ
γὰρ εὔποροι πάντες ἔρχονται μεθέξοντες τούτου, καὶ
39 καλῶς ποιοῦσιν. τί οὖν παθόντες τοῦτο ὀνειδίζομεν
ἀλλήλοις καὶ προφάσει χρώμεθα τοῦ μηδὲν τῶν δεόν-
των ποιεῖν, πλὴν εἰ τῇ παρὰ τῆς τύχης βοηθείᾳ γεγο-
νυίᾳ τοῖς ἀπόροις φθονοῦμεν; οὓς οὔτ' ἂν αἰτιασαίμην
40 ἔγωγε οὔτ' ἀξιῶ. οὐδὲ γὰρ ἐν ταῖς ἰδίαις οἰκίαις ὁρῶ
τῶν ἐν ἡλικίᾳ πρὸς τοὺς πρεσβυτέρους οὕτω διακείμε-
νον οὐδ' οὕτως ἀγνώμονα οὐδ' ἄτοπον τῶν ὄντων οὐ-
δένα ὥστε, εἰ μὴ ποιήσουσιν ἅπαντες ὅσ' ἂν αὐτός,
οὐ φάσκοντα ποιήσειν οὐδὲν οὐδ' αὐτόν· καὶ γὰρ ἂν
τοῖς τῆς κακώσεως εἴη νόμοις οὗτός γε ἔνοχος· δεῖ γάρ,
οἶμαι, τοῖς γονεῦσι τὸν ὡρισμένον ἐξ ἀμφοτέρων ἔρα- 142
νον, καὶ παρὰ τῆς φύσεως καὶ παρὰ τοῦ νόμου, δικαί-
41 ως φέρειν καὶ ἑκόντα ὑποτελεῖν. ὥσπερ τοίνυν ἑνὸς
ἡμῶν ἑκάστου τίς ἐστι γονεύς, οὕτω συμπάσης τῆς πό-
λεως κοινοὺς δεῖ γονέας τοὺς σύμπαντας ἡγεῖσθαι, καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσήκει τούτους οὐχ ὅπως ὧν ἡ πόλις δίδωσιν ἀφε-
λέσθαι τι, ἀλλ' εἰ καὶ μηδὲν ἦν τούτων, ἄλλοθεν σκο-
πεῖν ὅπως μηδενὸς ὄντες ἐνδεεῖς περιοφθήσονται.
42 τοὺς μὲν τοίνυν εὐπόρους ταύτῃ χρωμένους τῇ γνώμῃ
οὐ μόνον ἡγοῦμαι τὰ δίκαια ποιεῖν, ἀλλὰ καὶ τὰ λυσι-
τελῆ· τὸ γὰρ τῶν ἀναγκαίων τινὰ ἀποστερεῖν κοινῇ
κακόνους ἐστὶ ποιεῖν πολλοὺς ἀνθρώπους τοῖς πρά-
γμασι· τοῖς δ' ἐν ἐνδείᾳ, δι' ὃ δυσχεραίνουσι τὸ πρᾶ-
γμα οἱ τὰς οὐσίας ἔχοντες καὶ κατηγοροῦσι δικαίως,
43 τοῦτ' ἀφελεῖν ἂν συμβουλεύσαιμι. δίειμι δέ, ὥσπερ
ἄρτι, τὸν αὐτὸν τρόπον καὶ ὑπὲρ τῶν εὐπόρων, οὐ κατ-
οκνήσας εἰπεῖν τἀληθῆ. ἐμοὶ γὰρ οὐδεὶς οὕτως ἄθλιος
οὐδ' ὠμὸς εἶναι δοκεῖ τὴν γνώμην, οὔκουν Ἀθηναίων
γε, οἶμαι, ἀλλ' οὐδὲ τῶν ἄλλων, ὥστε λυπεῖσθαι ταῦτα
λαμβάνοντας ὁρῶν τοὺς ἀπόρους καὶ τῶν ἀναγκαίων
44 ἐνδεεῖς ὄντας. ἀλλὰ ποῦ συντρίβεται τὸ πρᾶγμα καὶ
ποῦ δυσχεραίνεται; ὅταν τὸ ἀπὸ τῶν κοινῶν ἔθος ἐπὶ
τὰ ἴδια μεταβιβάζοντας ὁρῶσί τινας, καὶ μέγαν μὲν ὄν-
τα παρ' ὑμῖν εὐθέως τὸν λέγοντα, ἀθάνατον δ' ἕνεκ'
ἀσφαλείας, ἑτέραν δὲ τὴν κρύβδην ψῆφον τοῦ φανε-
45 ρῶς θορύβου. ταῦτ' ἀπιστίαν, ταῦτ' ὀργὴν ἔχει. δεῖ
γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως ἀλλήλοις τῆς πολι-
τείας κοινωνεῖν, τοὺς μὲν εὐπόρους εἰς μὲν τὸν βίον 143
τὸν ἑαυτῶν ἀσφαλῶς ἔχειν νομίζοντας καὶ ὑπὲρ τού-
των μὴ δεδοικότας, εἰς δὲ τοὺς κινδύνους κοινὰ ὑπὲρ
τῆς σωτηρίας τὰ ὄντα τῇ πατρίδι παρέχοντας, τοὺς δὲ
λοιποὺς τὰ μὲν κοινὰ κοινὰ νομίζοντας καὶ μετέχοντας
τὸ μέρος, τὰ δ' ἑκάστου ἴδια τοῦ κεκτημένου. οὕτω
καὶ μικρὰ πόλις μεγάλη γίγνεται καὶ μεγάλη σῴζεται.
ὡς μὲν οὖν εἴποι τις ἄν, ἃ παρ' ἑκατέρων εἶναι δεῖ,
ταῦτ' ἴσως ἐστίν· ὡς δὲ καὶ γένοιτ' ἂν ἐννόμως, διορ-
θώσασθαι δεῖ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

46 Τῶν δὲ παρόντων πραγμάτων καὶ τῆς ταραχῆς
πολλὰ πόρρωθέν ἐστι τὰ αἴτια· ἃ εἰ βουλομένοις ὑμῖν
ἀκούειν ἐστὶν, ἐθέλω λέγειν. ἐξέστητε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, τῆς ὑποθέσεως ἐφ' ἧς ὑμᾶς οἱ πρόγονοι κατέλι-
πον, καὶ τὸ μὲν προΐστασθαι τῶν Ἑλλήνων καὶ δύνα-
μιν συνεστηκυῖαν ἔχοντας πᾶσι τοῖς ἀδικουμένοις βοη-
θεῖν περίεργον ἐπείσθητε εἶναι καὶ μάταιον ἀνάλωμα
ὑπὸ τῶν ταῦτα πολιτευομένων, τὸ δ' ἐν ἡσυχίᾳ διάγειν
καὶ μηδὲν τῶν δεόντων πράττειν, ἀλλὰ προϊεμένους
καθ' ἓν ἕκαστον πάντα ἑτέρους ἐᾶσαι λαβεῖν, θαυμα-
στὴν εὐδαιμονίαν καὶ πολλὴν ἀσφάλειαν ἔχειν οἴεσθε.
47 ἐκ δὲ τούτων παρελθὼν ἐπὶ τὴν τάξιν ἐφ' ἧς ὑμῖν τε-
τάχθαι προσῆκεν ἕτερος, οὗτος εὐδαίμων καὶ μέγας
καὶ πολλῶν κύριος γέγονεν, εἰκότως· πρᾶγμα γὰρ ἔν-
τιμον καὶ μέγα καὶ λαμπρὸν, καὶ περὶ οὗ πάντα τὸν
χρόνον αἱ μέγισται τῶν πόλεων πρὸς αὑτὰς διεφέρον-
το, Λακεδαιμονίων μὲν ἠτυχηκότων, Θηβαίων δ' ἀσχό-
λων διὰ τὸν Φωκικὸν πόλεμον γενομένων, ἡμῶν δ'
48 ἀμελούντων ἔρημον ἀνείλετο. τοιγάρτοι τὸ μὲν φοβεῖ- 144
σθαι τοῖς ἄλλοις, τὸ δὲ συμμάχους πολλοὺς ἔχειν καὶ
δύναμιν μεγάλην ἐκείνῳ περιγέγονε, καὶ τοσαῦτα πρά-
γματα καὶ τοιαῦτα ἤδη περιέστηκε τοὺς Ἕλληνας ἅπαν-
τας, ὥστε μηδ' ὅ τι χρὴ συμβουλεύειν εὔπορον εἶναι.
49 Ὄντων δ', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν παρόντων
πραγμάτων πᾶσιν, ὡς ἐγὼ κρίνω, φοβερῶν οὐδένες ἐν
μείζονι κινδύνῳ τῶν πάντων εἰσὶν ὑμῶν, οὐ μόνον τῷ
μάλιστα ὑμῖν ἐπιβουλεύειν Φίλιππον, ἀλλὰ καὶ τῷ πάν-
των ἀργότατα αὐτοὶ διακεῖσθαι. εἰ τοίνυν τὸ τῶν ὠνίων
πλῆθος ὁρῶντες καὶ τὴν εὐετηρίαν τὴν κατὰ τὴν ἀγο-
ρὰν, τούτοις κεκήλησθε ὡς ἐν οὐδενὶ δεινῷ τῆς πόλεως
οὔσης, οὔτε προσηκόντως οὔτ' ὀρθῶς τὸ πρᾶγμα κρί-
50 νετε· ἀγορὰν μὲν γὰρ ἄν τις καὶ πανήγυριν ἐκ τούτων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἢ φαύλως ἢ καλῶς κατεσκευάσθαι κρίνοι· πόλιν δ' ἣν ὑπείληφεν, ὃς ἂν τῶν Ἑλλήνων ἄρχειν ἀεὶ βούληται, μόνην ἂν ἐναντιωθῆναι καὶ τῆς πάντων ἐλευθερίας προστῆναι, οὐ μὰ Δί' ἐκ τῶν ὠνίων, εἰ καλῶς ἔχει, δοκιμάζειν δεῖ, ἀλλ' εἰ συμμάχων εὐνοίᾳ πιστεύει καὶ τοῖς ὅπλοις ἰσχύει, ταῦθ' ὑπὲρ τῆς πόλεως δεῖ σκοπεῖν· ἃ σφαλερῶς ὑμῖν καὶ οὐδαμῶς ἅπαντα καλῶς ἔχει.
51 γνοίητε δ' ἄν, εἰ σκέψαισθε ἐκείνως. πότε μάλιστα ἐν ταραχῇ τὰ τῶν Ἑλλήνων γέγονε πράγματα; οὐδένα γὰρ χρόνον ἄλλον ἢ τὸν νυνὶ παρόντα οὐδ' ἂν εἷς εἴποι. τὸν μὲν γὰρ ἄλλον ἅπαντα εἰς δύο ταῦτα διῄρητο τὰ τῶν Ἑλλήνων, Λακεδαιμονίους καὶ ἡμᾶς, τῶν δ' ἄλλων Ἑλλήνων οἱ μὲν ἡμῖν, οἱ δ' ἐκείνοις ὑπήκουον. βασιλεὺς δὲ καθ' αὑτὸν μὲν ὁμοίως ἅπασιν ἄπιστος ἦν, τοὺς δὲ κρατουμένους τῷ πολέμῳ προσλαμβάνων, ἄχρι οὗ τοῖς ἑτέροις ἐξ ἴσου ποιήσαι, διεπιστεύετο, ἔπειτ' οὐχ ἧττον αὐτὸν ἐμίσουν οὓς σώσειε τῶν ὑπαρχόντων ἐχθρῶν
52 ἐξ ἀρχῆς. νῦν δὲ πρῶτον μὲν ὁ βασιλεὺς ἅπασι τοῖς Ἕλλησιν οἰκείως ἔχει, καὶ πάντων ἥκιστα δὴ ἡμῖν, ἄν τι μὴ νῦν ἐπανορθωσώμεθα· ἔπειτα προστασίαι πολλαὶ καὶ πανταχόθεν γίγνονται, καὶ τοῦ πρωτεύειν ἀντιποιοῦνται μὲν πάντες, ἀφεστᾶσι δ' ἔνιοι καὶ φθονοῦσι καὶ ἀπιστοῦσιν αὑτοῖς, οὐχ ὡς ἔδει, καὶ γεγόνασι καθ' αὑτοὺς ἕκαστοι, Ἀργεῖοι, Θηβαῖοι, Λακεδαιμόνιοι, Κο-
53 ρίνθιοι, Ἀρκάδες, ἡμεῖς. ἀλλ' ὅμως εἰ τοσαῦτα μέρη καὶ τοσαύτας δυναστείας διῃρημένων τῶν Ἑλληνικῶν πραγμάτων, εἰ δεῖ τἀληθῆ μετὰ παρρησίας εἰπεῖν, τὰ παρ' οὐδέσι τούτων ἀρχεῖα καὶ βουλευτήρια ἐρημότερ' ἄν τις ἴδοι τῶν Ἑλληνικῶν πραγμάτων ἢ τὰ παρ' ἡμῖν, εἰκότως· οὔτε γὰρ φιλῶν οὔτε πιστεύων οὔτε φοβού-
54 μενος οὐδεὶς ἡμῖν διαλέγεται. αἴτιον δὲ τούτων οὐχ ἕν, ὦ ἄνδρες Ἀθηναῖοι, (ῥᾴδιον γὰρ ἂν ἦν ὑμῖν μεταθεῖ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ναι) ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐκ παντὸς ἡμαρτη-
μένα τοῦ χρόνου, ὧν τὸ καθ' ἕκαστον ἐάσας ἕν, εἰς ὃ
πάντα συντείνει, λέξω, δεηθεὶς ὑμῶν, ἂν λέγω τἀλη-
θῆ μετὰ παρρησίας, μηδὲν ἀχθεσθῆναί μοι. πέπραται
τὰ συμφέροντα ἐφ' ἑκάστου τῶν καιρῶν, καὶ μετειλή-
φατε ὑμεῖς μὲν τὴν σχολὴν καὶ τὴν ἡσυχίαν, ὑφ' ὧν
κεκηλημένοι τοῖς ἀδικοῦσιν οὐ πικρῶς ἔχετε, ἕτεροι
55 δὲ τὰς τιμὰς ἔχουσιν. καὶ τὰ μὲν περὶ τἄλλα οὐκ ἄξιον
ἐξετάσαι νῦν· ἀλλ' ἐπειδάν τι τῶν πρὸς Φίλιππον ἐμ- 146
πέσῃ, εὐθὺς ἀναστάς τις λέγει ὡς οὐ δεῖ ληρεῖν οὐδὲ
γράφειν πόλεμον, παραθεὶς εὐθέως ἑξῆς τὸ τὴν εἰρή-
νην ἄγειν ὡς ἀγαθὸν καὶ τὸ τρέφειν μεγάλην δύναμιν
ὡς χαλεπὸν, καὶ "διαρπάζειν τινὲς τὰ χρήματα βούλον-
"ται," καὶ ἄλλους λόγους ὡς οἴονται ἀληθεστάτους λέ-
56 γουσιν. ἀλλὰ δεῖ δήπου τὴν μὲν εἰρήνην ἄγειν οὐχ
ὑμᾶς πείθειν, οἳ πεπεισμένοι κάθησθε, ἀλλὰ τὸν τὰ
τοῦ πολέμου πράττοντα· ἂν γὰρ ἐκεῖνος πεισθῇ, τά γε
ἀφ' ὑμῶν ὑπάρχει· νομίζειν δ' εἶναι χαλεπὰ οὐχ ὅσα
ἂν εἰς σωτηρίαν δαπανῶμεν, ἀλλ' ἃ πεισόμεθ', ἂν μὴ
ταῦτ' ἐθέλωμεν ποιεῖν, καὶ τὸ "διαρπασθήσεται τὰ
"χρήματα" τῷ φυλακὴν εὑρεῖν δι' ἧς σωθήσεται κω-
57 λύειν, οὐχὶ τῷ τοῦ συμφέροντος ἀποστῆναι. καίτοι
ἔγωγε ἀγανακτῶ καὶ αὐτὸ τοῦτο, εἰ τὰ μὲν χρήματα
λυπεῖ τινὰς ὑμῶν εἰ διαρπασθήσεται, ἃ καὶ φυλάττειν
καὶ κολάζειν τοὺς ἁρπάζοντας ἐφ' ὑμῖν ἐστι, τὴν δ'
Ἑλλάδα πᾶσαν ἐφεξῆς οὑτωσὶ Φίλιππος ἁρπάζων οὐ
58 λυπεῖ, καὶ ταῦτ' ἐφ' ὑμᾶς ἁρπάζων. τί ποτ' οὖν, ὦ
ἄνδρες Ἀθηναῖοι, τὸν μὲν οὕτω φανερῶς ἀδικοῦντα
καὶ πόλεις καταλαμβάνοντα οὐδεὶς πώποτε τοῦτον εἶ-
πεν ὡς ἀδικεῖ καὶ πολεμοποιεῖ, τοὺς δὲ μὴ ἐπιτρέπειν
μηδὲ προΐεσθαι ταῦτα συμβουλεύοντας, τούτους πολε-
μοποιεῖν φασίν; ὅτι τὴν αἰτίαν τῶν ἐκ τοῦ πολέμου συμ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βησομένων δυσχερῶν (ἀνάγκη γάρ, ἀνάγκη πολλὰ λυ-
πηρὰ ἐκ τοῦ πολέμου γίγνεσθαι) τοῖς ὑπὲρ ὑμῶν τὰ
βέλτιστα λέγειν οἰομένοις ἅπαντες ἀναθεῖναι βούλον-
59 ται. ἡγοῦνται γάρ, ἂν μὲν ὑμεῖς ὁμοθυμαδὸν [ἐκ μιᾶς 14
γνώμης] Φίλιππον ἀμύνησθε, κἀκείνου κρατήσειν
ὑμᾶς καὶ αὑτοῖς οὐκέτ' ἔσεσθαι μισθαρνεῖν, ἂν δ' ἀπὸ
τῶν πρώτων θορύβων αἰτιασάμενοί τινας πρὸς τὸ κρί-
νειν τράπησθε, αὐτοὶ μὲν τούτων κατηγοροῦντες ἀμ-
φότερ' ἕξειν, καὶ παρ' ὑμῖν εὐδοκιμήσειν καὶ παρ' ἐκεί-
νου χρήματα λήψεσθαι, ὑμᾶς δ' ὑπὲρ ὧν δεῖ παρὰ τού-
των δίκην λαβεῖν, παρὰ τῶν ὑπὲρ ὑμῶν εἰρηκότων λή-
60 ψεσθαι. αἱ μὲν ἐλπίδες αἱ τούτων αὗται, καὶ τὸ κατα-
σκεύασμα τὸ τῶν αἰτιῶν, ὡς ἄρα βούλονταί τινες πό-
λεμον ποιῆσαι. ἐγὼ δ' οἶδα ἀκριβῶς ὅτι οὐ γράψαντος
Ἀθηναίων οὐδενὸς πόλεμον καὶ ἄλλα πολλὰ Φίλιππος
ἔχει τῶν τῆς πόλεως καὶ νῦν εἰς Καρδίαν πέπομφε βοή-
θειαν. εἰ μέντοι βουλόμεθ' ἡμεῖς μὴ προσποιεῖσθαι
πολεμεῖν ἡμῖν ἐκεῖνον, ἀνοητότατος πάντων ἂν εἴη, εἰ
τοῦτ' ἐξελέγχοι· ὅταν γὰρ οἱ ἀδικούμενοι ἀρνῶνται, τί
61 τῷ ἀδικοῦντι προσήκει; ἀλλ' ἐπειδὰν ἐφ' ἡμᾶς αὐτοὺς
ἴῃ, τί φήσομεν τότε; ἐκεῖνος μὲν γὰρ οὐ πολεμεῖν,
ὥσπερ οὐδὲ Ὠρείταις τῶν στρατιωτῶν ὄντων ἐν τῇ
χώρᾳ, οὐδὲ Φεραίοις πρότερον, πρὸς τὰ τείχη προσ-
βάλλων αὐτῶν, οὐδ' Ὀλυνθίοις ἐξ ἀρχῆς, ἕως ἐν αὐτῇ
τῇ χώρᾳ τὸ στράτευμα παρῆν ἔχων. ἢ καὶ τότε τοὺς
ἀμύνεσθαι κελεύοντας πόλεμον ποιεῖν φήσομεν; οὐκ-
οῦν ὑπόλοιπον δουλεύειν· οὐ γὰρ ἄλλο γε οὐδὲν ἔνι.
62 Καὶ μὴν οὐχ ὑπὲρ τῶν ἴσων ὑμῖν τε καὶ τισι τῶν
ἄλλων ἀνθρώπων ἔσθ' ὁ κίνδυνος· οὐ γὰρ ὑφ' αὑτῷ
ποιήσασθαι τὴν πόλιν βούλεται Φίλιππος ὑμῶν, οὔ,
ἀλλ' ὅλως ἀνελεῖν. οἶδε γὰρ ἀκριβῶς ὅτι δουλεύειν
μὲν ὑμεῖς οὔτ' ἐθελήσετε οὔτ', ἐὰν ἐθέλητε, ἐπιστή- 14

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

σεσθε (ἄρχειν γὰρ εἰώθατε), πράγματα δὲ παρασχεῖν αὐτῷ, ἂν καιρὸν λάβητε, πλείω τῶν ἄλλων ἀνθρώπων ἁπάντων δυνήσεσθε. διὰ ταῦτα ὑμῶν οὐχὶ φείσεται,
63 εἴπερ ἐγκρατὴς γενήσεται. ὡς οὖν ὑπὲρ τῶν ἐσχάτων ἐσομένου τοῦ ἀγῶνος οὕτω προσήκει γιγνώσκειν, καὶ τοὺς πεπρακότας αὑτοὺς ἐκείνῳ φανερῶς μισεῖν καὶ ἀποτυμπανίσαι· οὐ γάρ ἐστιν, οὐκ ἔστι τῶν ἔξω τῆς πόλεως ἐχθρῶν κρατῆσαι, πρὶν ἂν τοὺς ἐν αὐτῇ τῇ πόλει κολάσητ' ἐχθρούς, ἀλλ' ἀνάγκη τούτοις ὥσπερ
64 προβόλοις προσπταίσαντας ὑστερίζειν ἐκείνων. πόθεν οἴεσθε νῦν αὐτὸν ὑβρίζειν ὑμᾶς (οὐδὲν γὰρ ἄλλ' ἔμοιγε δοκεῖ ποιεῖν ἢ τοῦτο) καὶ τοὺς μὲν ἄλλους εὖ ποιοῦντα, εἰ μηδὲν ἄλλο, ἐξαπατᾶν, ὑμῖν δ' ἀπειλεῖν ἤδη; οἷον Θετταλοὺς πολλὰ δοὺς ὑπηγάγετο εἰς τὴν νῦν παροῦσαν δουλείαν· οὐδ' ἂν εἰπεῖν δύναιτο οὐδεὶς ὅσα τοὺς ταλαιπώρους Ὀλυνθίους, πρότερον δοὺς Ποτίδαιαν, ἐξηπάτησε, καὶ πολλὰ ἕτερα· Θηβαίους τὰ νῦν ὑπάγει τὴν Βοιωτίαν αὐτοῖς παραδοὺς καὶ ἀπαλλάξας
65 πολέμου πολλοῦ καὶ χαλεποῦ· ὥστε καρπωσάμενοί τινα ἕκαστοι τούτων πλεονεξίαν οἱ μὲν ἤδη πεπόνθασιν ἃ δὴ πάντες ἴσασιν, οἱ δ' ὅ τι ἂν ποτε συμβῇ πείσονται. ὑμεῖς δὲ ὧν μὲν ἀπεστέρησθε σιωπῶ· ἀλλ' ἐν αὐτῷ τῷ τὴν εἰρήνην ποιήσασθαι πόσα ἐξηπάτησθε, πόσων ἀπεστέρησθε. οὐχὶ Φωκέας, οὐ Πύλας, οὐχὶ τὰ ἐπὶ Θρᾴκης, Δορίσκον, Σέρρειον, τὸν Κερσοβλέπτην
66 αὐτόν; οὐ νῦν Καρδίαν ἔχει καὶ ὁμολογεῖ; τί ποτ' οὖν 149
ἐκείνως τοῖς ἄλλοις καὶ ὑμῖν οὐ τὸν αὐτὸν τρόπον προσφέρεται; ὅτι ἐν μόνῃ τῶν πασῶν πόλεων τῇ ἡμετέρᾳ ἄδεια ὑπὲρ τῶν ἐχθρῶν λέγειν δέδοται, καὶ λαβόντα χρήματα αὐτὸν ἀσφαλές ἐστι λέγειν παρ' ὑμῖν, κἂν ἀφῃ-
67 ρημένοι τὰ ὑμέτερα αὐτῶν ἦτε. οὐκ ἦν ἀσφαλὲς λέγειν ἐν Ὀλύνθῳ τὰ Φιλίππου μὴ σὺν εὖ πεπονθότων τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολλῶν Ὀλυνθίων τῷ Ποτίδαιαν καρποῦσθαι· οὐκ ἦν
ἀσφαλὲς λέγειν ἐν Θετταλίᾳ τὰ Φιλίππου μὴ σὺν εὖ
πεπονθότος τοῦ πλήθους τοῦ Θετταλῶν τῷ τοὺς τυ-
ράννους ἐκβαλεῖν Φίλιππον αὐτοῖς καὶ τὴν Πυλαίαν
ἀποδοῦναι· οὐκ ἦν ἐν Θήβαις ἀσφαλὲς, πρὶν τὴν Βοι-
68 ωτίαν ἀπέδωκε καὶ τοὺς Φωκέας ἀνεῖλεν. ἀλλ' Ἀθή-
νησιν οὐ μόνον Ἀμφίπολιν καὶ τὴν Καρδιανῶν χώραν
ἀπεστερηκότος Φιλίππου, ἀλλὰ καὶ κατασκευάζοντος
ἡμῖν ἐπιτείχισμα τὴν Εὔβοιαν καὶ νῦν ἐπὶ Βυζάντιον
παριόντος, ἀσφαλές ἐστι λέγειν ὑπὲρ Φιλίππου. καὶ γάρ
τοι τούτων μὲν ἐκ πτωχῶν ἔνιοι ταχὺ πλούσιοι γεγό-
νασι καὶ ἐξ ἀνωνύμων καὶ ἀδόξων ἔνδοξοι καὶ γνώρι-
μοι, ὑμεῖς δὲ τοὐναντίον ἐκ μὲν ἐνδόξων ἄδοξοι, ἐκ δ'
69 εὐπόρων ἄποροι. πόλεως γὰρ ἔγωγε πλοῦτον ἡγοῦμαι
συμμάχους, πίστιν, εὔνοιαν, ὧν πάντων ὑμεῖς ἐστὲ
ἄποροι· ἐκ δὲ τοῦ τούτων ὀλιγώρως ὑμᾶς ἔχειν καὶ ἐᾶν
τοῦτον τὸν τρόπον τα πράγματα φέρεσθαι ὁ μὲν εὐ-
δαίμων καὶ μέγας καὶ φοβερὸς πᾶσιν Ἕλλησι καὶ βαρ-
βάροις, ὑμεῖς δ' ἔρημοι καὶ ταπεινοὶ, τῇ μὲν κατὰ τὴν
ἀγορὰν εὐετηρίᾳ λαμπροὶ, τῇ δ' ὧν προσῆκε παρασκευῇ
70 καταγέλαστοι. οὐ τὸν αὐτὸν δὲ τρόπον περί τε ὑμῶν 150
καὶ περὶ αὑτῶν ἐνίους τῶν λεγόντων ὁρῶ βουλευομέ-
νους· ὑμᾶς μὲν γὰρ ἡσυχίαν ἄγειν φασὶ δεῖν, κἄν τις
ὑμᾶς ἀδικῇ, αὐτοὶ δ' οὐ δύνανται παρ' ὑμῖν ἡσυχίαν
ἄγειν οὐδενὸς αὐτοὺς ἀδικοῦντος. καίτοι λοιδορίας
χωρὶς, εἴ τις ἔροιτο "εἰπέ μοι, τί δὴ γιγνώσκων ἀκρι-
"βῶς, Ἀριστόδημε, (οὐδεὶς γὰρ τὰ τοιαῦτ' ἀγνοεῖ) τὸν
"μὲν τῶν ἰδιωτῶν βίον ἀσφαλῆ καὶ ἀπράγμονα καὶ
"ἀκίνδυνον ὄντα, τὸν δὲ τῶν πολιτευομένων φιλαίτιον
"καὶ σφαλερὸν καὶ καθ' ἑκάστην ἡμέραν ἀγώνων καὶ
"κακῶν μεστὸν, οὐ τὸν ἡσύχιον, ἀλλὰ τὸν ἐν τοῖς κινδύ-
71 "νοις αἱρεῖ;" τί ἂν εἴποι τις; εἰ γὰρ ὃ βέλτιστον εἰπεῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἂν ἔχοις, τοῦτό σοι δοίημεν ἀληθὲς λέγειν, ὡς ὑπὲρ φιλοτιμίας καὶ δόξης ταῦτα πάντα ποιεῖς, θαυμάζω τί δήποτε σαυτῷ μὲν ὑπὲρ τούτων ἅπαντα ποιητέον εἶναι νομίζεις καὶ πονητέον καὶ κινδυνευτέον, τῇ πόλει δὲ προέσθαι ταῦτα μετὰ ῥᾳθυμίας συμβουλεύεις. οὐ γὰρ ἐκεῖνό γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινὰ φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι. καὶ μὴν οὐδ' ἐκεῖνό γε ὁρῶ, ὡς τῇ μὲν πόλει ἀσφαλὲς τὸ τὰ αὑτῆς πράττειν, σοὶ δὲ κίνδυνος, εἰ μηδὲν τῶν ἄλλων πλέον περιεργάσει, ἀλλὰ τοὐναντίον σοὶ μὲν ἐξ ὧν ἐργάζει καὶ περιεργάζει τοὺς ἐσχάτους ὄντας κινδύνους, τῇ πόλει δὲ ἐκ τῆς ἡσυχίας. ἀλλὰ νὴ Δία παππῴα σοι καὶ πατρῴα δόξα ὑπάρχει, ἣν αἰσχρόν ἐστιν ἐν σοὶ καταλῦσαι· τῇ πόλει δ' ὑπῆρξεν ἀνώνυμα καὶ φαῦλα τὰ τῶν προγόνων. ἀλλ' οὐδὲ τοῦθ' οὕτως ἔχει· σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πατήρ, 151
εἴπερ ἦν ὅμοιος σοί, τῇ πόλει δ' ἡμῶν οὓς πάντες ἴσασιν οἱ Ἕλληνες δὶς ἐκ τῶν μεγίστων κινδύνων ὑπὸ τῶν προγόνων σεσωσμένοι. ἀλλὰ γὰρ οὐκ ἴσως οὐδὲ πολιτικῶς ἔνιοι τὰ καθ' αὑτοὺς καὶ τὰ κατὰ τὴν πόλιν πολιτεύονται· πῶς γάρ ἐστιν ἴσον τούτων μέν τινας ἐκ τοῦ δεσμωτηρίου ἥκοντας ἑαυτοὺς ἀγνοεῖν, τὴν πόλιν δ', ἣ προειστήκει τῶν ἄλλων Ἑλλήνων τέως καὶ τὸ πρωτεῖον εἶχε, νῦν ἐν ἀδοξίᾳ πάσῃ καὶ ταπεινότητι καθεστάναι;

Πολλὰ τοίνυν ἔχων ἔτι καὶ περὶ πολλῶν εἰπεῖν παύσομαι· καὶ γὰρ οὐ λόγων ἐνδείᾳ μοι δοκεῖ τὰ πράγματα οὔτε νῦν οὔτ' ἄλλοτε πώποτε φαύλως ἔχειν, ἀλλ' ὅταν πάντ' ἀκούσαντες ὑμεῖς τὰ δέοντα, καὶ ὁμογνώμονες ὡς ὀρθῶς λέγεται γενόμενοι, τῶν λυμαίνεσθαι καὶ διαστρέφειν ταῦτα βουλομένων ἐξ ἴσου κάθησθε ἀκροώμενοι, οὐκ ἀγνοοῦντες αὐτούς (ἴστε γὰρ εὐθὺς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰδόντες ἀκριβῶς τίς μισθοῦ λέγει καὶ ὑπὲρ Φιλίπποι πολιτεύεται, καὶ τίς ὡς ἀληθῶς ὑπὲρ τῶν βελτίστων) ἀλλ' ἵν' αἰτιασάμενοι τούτους καὶ τὸ πρᾶγμα εἰς γέλω- τα καὶ λοιδορίαν ἐμβαλόντες μηδὲν αὐτοὶ τῶν δεόντω

76 ποιῆτε. ταῦτ' ἐστὶ τἀληθῆ μετὰ πάσης παρρησίας ἁπλῶς εὐνοίᾳ, τὰ βέλτιστα εἰρημένα, οὐ κολακείας κα βλάβης καὶ ἀπάτης λόγος μεστὸς, ἀργύριον μὲν τ λέγοντι ποιήσων, τὰ δὲ πράγματα τῆς πόλεως τοῖ ἐχθροῖς ἐγχειριῶν. ἢ οὖν παυστέον τούτων τῶν ἐθῶ ἢ μηδένα ἄλλον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν ὑμᾶς αὐτούς.

---

## XI.

## ΠΡΟΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ ΤΗΝ ΦΙΛΙΠΠΟΥ

### ΥΠΟΘΕΣΙΣ.

Ὁ Φίλιππος πρὸς τοὺς Ἀθηναίους πέπομφεν ἐπιστολὴν, κα τηγορῶν αὐτῶν καὶ πόλεμον προκηρύττων ἄντικρυς. οὐκέτ οὖν ὁ ῥήτωρ πείθει τοὺς Ἀθηναίους πολεμεῖν (ἀνάγκη γὰρ) ἀλλὰ θαρσύνει πρὸς τὸν κίνδυνον, εὐκαθαίρετον λέγων τὸ Μακεδόνα.

---

Ὅτι μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, Φίλιππος οὐκ ἐποιή- σατο τὴν εἰρήνην πρὸς ἡμᾶς, ἀλλ' ἀνεβάλετο τὸν πόλε- μον, πᾶσιν ὑμῖν φανερὸν γέγονεν· ἐπειδὴ γὰρ Φαρσα- λίοις Ἄλον παρέδωκε καὶ τὰ περὶ Φωκέας διῳκήσατ καὶ τὴν Θρᾴκην κατεστρέψατο πᾶσαν, αἰτίας οὐκ οὔσα πλασάμενος καὶ προφάσεις ἀδίκους ἐξευρὼν τῷ μὲ ἔργῳ πάλαι πολεμεῖ πρὸς τὴν πόλιν, τῷ δὲ λόγῳ νῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

2 ὁμολογεῖ διὰ τῆς ἐπιστολῆς ἧς ἔπεμψεν. ὅτι δὲ χρὴ μή-
τε ὀρρωδεῖν ὑμᾶς τὴν ἐκείνου δύναμιν μήτε ἀγεννῶς
ἀντιταχθῆναι πρὸς αὐτόν, ἀλλὰ καὶ σώμασι καὶ χρή-
μασι καὶ ναυσὶ καὶ πᾶσιν ὡς ἁπλῶς εἰπεῖν ἀφειδῶς ὁρ-
μῆσαι πρὸς τὸν πόλεμον, ἐγὼ πειράσομαι διδάσκειν. 153
πρῶτον μὲν γὰρ εἰκός, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς θεοὺς
μεγίστους ὑμῖν ὑπάρχειν συμμάχους καὶ βοηθούς, ὧν
ἐκεῖνος τὰς πίστεις ὑπεριδὼν καὶ τοὺς ὅρκους ὑπερβὰς
3 λέλυκεν ἀδίκως τὴν εἰρήνην· ἔπειθ' οἷς πρότερον ηὐ-
ξήθη, φενακίζων ἀεί τινας καὶ μεγάλα ἐπαγγελλόμενος
εὐεργετήσειν, ταῦτα πάντα διεξελήλυθεν ἤδη, καὶ γι-
γνώσκεται μὲν ὑπὸ τῶν Περινθίων καὶ Βυζαντίων καὶ
τῶν ἐκείνοις συμμαχούντων ὡς ἐπιθυμεῖ προσενεχθῆ-
ναι τούτοις τὸν αὐτὸν τρόπον ὅνπερ Ὀλυνθίοις πρότε-
4 ρον, οὐκ ἀγνοεῖται δὲ ὑπὸ Θετταλῶν δεσπόζειν, ἀλλ'
οὐχ ἡγεῖσθαι τῶν συμμάχων προαιρούμενος, ὑποπτεύ-
εται δὲ ὑπὸ Θηβαίων Νίκαιαν μὲν φρουρᾷ κατέχων,
εἰς δὲ τὴν ἀμφικτυονίαν εἰσδεδυκώς, τὰς δὲ πρεσβείας
τὰς ἐκ Πελοποννήσου πρὸς αὑτὸν ἄγων καὶ τὴν ἐκεί-
νων συμμαχίαν παραιρούμενος· ὥστε τῶν αὐτῷ πρὸ
τοῦ φίλων ὄντων τοὺς μὲν νῦν πολεμεῖν ἀκαταλλά-
κτως, τοὺς δὲ μηκέτι προθύμους εἶναι συναγωνιστάς,
ἅπαντας δ' ὑφορᾶσθαι καὶ διαβεβλῆσθαι πρὸς αὐτόν.
5 ἔτι τοίνυν (οὐδὲ γὰρ τοῦτ' ἔστι μικρόν) οἱ κατὰ τὴν
Ἀσίαν σατράπαι καθεστῶτες ἔναγχος μὲν ξένους μισθο-
φόρους εἰσπέμψαντες ἐκώλυσαν ἐκπολιορκηθῆναι Πέ-
ρινθον, νυνὶ δὲ τῆς ἔχθρας αὐτοῖς ἐνεστώσης καὶ τοῦ
κινδύνου πλησίον ὄντος, εἰ χειρωθήσεται Βυζάντιον,
6 οὐ μόνον αὐτοὶ προθύμως συμπολεμήσουσιν, ἀλλὰ
καὶ βασιλέα [τῶν Περσῶν] χρήματα χορηγεῖν ἡμῖν
προτρέψονται, ὃς τοσοῦτον μὲν κέκτηται πλοῦτον
ὅσον οὐδ' οἱ λοιποὶ πάντες, τηλικαύτην δ' ἔχει ῥώ-



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

μην πρὸς τὰς ἐνθάδε πράξεις ὥστε καὶ πρότερον ἡνίκα Λακεδαιμονίοις ἐπολεμοῦμεν, ὁποτέροις πρόσθοιτο, τούτους ἐποίει κρατεῖν τῶν ἑτέρων, καὶ νῦν μεθ' ἡμῶν γενόμενος ῥᾳδίως καταπολεμήσει τὴν Φιλίππου δύναμιν.

7 Πρὸς τοίνυν τούτοις τηλικούτοις οὖσιν, οὐκ ἐρῶ μὲν ὡς οὐ διὰ τὴν εἰρήνην πολλὰ προείληφεν ἡμῶν χωρία καὶ λιμένας καὶ τοιαῦθ' ἕτερα χρήσιμα πρὸς πόλεμον, ὁρῶ δὲ ὡς ὅταν μὲν ὑπ' εὐνοίας τὰ πράγματα συνέχηται καὶ πᾶσι ταὐτὰ συμφέρῃ τοῖς μετέχουσι τῶν πολέμων, μένει τὰ συσταθέντα βεβαίως· ὅταν δ' ἐξ ἐπιβουλῆς καὶ πλεονεξίας ἀπάτῃ καὶ βίᾳ κατέχηται, καθάπερ ὑπὸ τούτου νῦν, μικρὰ πρόφασις καὶ τὸ τυχὸν πταῖσμα ταχέως αὐτὰ διέσεισε καὶ κατέλυσεν.
8 καὶ πολλάκις εὑρίσκω λογιζόμενος οὐ μόνον, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ συμμαχικὰ τῷ Φιλίππῳ πρὸς ὑποψίαν ἥκοντα καὶ δυσμένειαν, ἀλλὰ καὶ τὰ τῆς ἰδίας ἀρχῆς οὐ συνηρμοσμένα καλῶς οὐδ' οἰκείως οὐδ' ὡς οἴεταί τις. ὅλως μὲν γὰρ ἡ Μακεδονικὴ δύναμις ἐν μὲν προσθήκης μέρει ῥοπὴν ἔχει τινὰ καὶ χρῆσιν, αὐτὴ δὲ καθ' αὑτὴν ἀσθενής ἐστι καὶ πρὸς τηλικοῦτον ὄγκον πραγμά-
9 των εὐκαταφρόνητος· ἔτι δ' αὐτὴν οὗτος αὐτὸς τοῖς πολέμοις καὶ ταῖς στρατείαις καὶ πᾶσιν οἷς ἄν τις αὐτὸν μέγαν εἶναι νομίσειε, σφαλερωτέραν αὐτῷ πεποίηκεν. μὴ γὰρ οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς αὐτοῖς χαίρειν Φίλιππόν τε καὶ τοὺς ἀρχομένους, ἀλλ' ἐννοεῖσθε ὡς ὁ μὲν ἐπιθυμεῖ δόξης, οἱ δὲ ἀσφαλείας, καὶ αὐτῷ μὲν οὐκ ἔστι τυχεῖν ταύτης ἀκινδύνως, οἱ δ' οὐδὲν δέονται καταλιπόντες οἴκοι τέκνα, γονέας, γυναῖκας, φθείρεσθαι καὶ καθ' ἑκάστην ἡμέραν κινδυνεύειν ὑπὲρ
10 αὐτῶν. ὥστε τοὺς μὲν πολλοὺς τῶν Μακεδόνων ἐκ τούτων ἄν τις ἴδοι πῶς διάκεινται πρὸς τὸν Φίλιππον

Δημοσια Κεντρικη Βιβλιοθήκη Βεροιας

τοὺς δὲ περὶ αὐτὸν ὄντας ἑταίρους καὶ τοὺς τῶν ξένων ἡγεμόνας εὑρήσετε δόξαν μὲν ἔχοντας ἐπ' ἀνδρείᾳ, περιδεῶς δὲ μᾶλλον τῶν ἀδόξων ζῶντας. τοῖς μὲν γὰρ ὁ πρὸς τοὺς πολεμίους μόνον ὑπάρχει κίνδυνος, οἱ δὲ τοὺς κόλακας καὶ τοὺς διαβάλλοντας αὐτοὺς μᾶλλον ἢ τὰς μάχας δεδίασι· κἀκεῖνοι μὲν μετὰ πάντων ἀγωνίζονται πρὸς τοὺς ἀντιταχθέντας, τοῖς δὲ καὶ τῶν ἐν τοῖς πολέμοις κακῶν οὐκ ἐλάχιστον μέρος μέτεστι καὶ χωρὶς ἰδίᾳ τὸν τρόπον τὸν τοῦ βασιλέως φοβεῖσθαι συμβέβηκεν. ἔτι δὲ τῶν μὲν πολλῶν ἐὰν ἁμάρτῃ τις, ζημίαν κατὰ τὴν ἀξίαν εἴληφεν· οἱ δ' ὅταν μάλιστα κατορθώσωσι, τότε μάλιστα σκορακίζονται καὶ προπηλακίζονται, παρὰ τὸ προσῆκον. καὶ τούτοις οὐδ' ἂν εἷς εὖ φρονῶν ἀπιστήσειεν· οὕτω γὰρ φιλότιμον αὐτὸν εἶναί φασιν οἱ συνδιατρίψαντες ὥστε βουλόμενον τὰ κάλλιστα τῶν ἔργων πάνθ' αὑτοῦ δοκεῖν εἶναι μᾶλλον ἄχθεσθαι τῶν στρατηγῶν καὶ τῶν ἡγεμόνων τοῖς ἄξιον ἐπαίνου τι πράξασιν ἢ τοῖς ὅλως ἀποτυχοῦσι. πῶς οὖν, εἴπερ ἐστὶ ταῦτα τοιαῦτα, πιστῶς ἤδη πολὺν χρόνον αὐτῷ παραμένουσιν; ὅτι νῦν μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ κατορθοῦν αὐτὸν ἐπισκοτεῖ πᾶσι τοῖς τοιούτοις· αἱ γὰρ εὐπραξίαι δειναὶ συγκρύψαι καὶ συσκιάσαι τὰς ἁμαρτίας τῶν ἀνθρώπων εἰσίν· εἰ δέ τι πταίσει, τότ' ἀκριβῶς διακαλυφθήσεται ταῦτα πάντα. συμβαίνει γάρ, ὥσπερ ἐν τοῖς σώμασιν ἡμῶν· ὅταν μὲν ἐρρωμένος ᾖ τις, οὐδὲν ἐπαισθάνεται τῶν καθ' ἕκαστα σαθρῶν, ἐπὰν δ' ἀρρωστήσῃ, πάντα κινεῖται, κἂν ῥῆγμα 156
κἂν στρέμμα κἂν ἄλλο τι τῶν ὑπαρχόντων ᾖ μὴ τελέως ὑγιαῖνον· οὕτω καὶ τῶν βασιλειῶν καὶ πασῶν τῶν δυναστειῶν, ἕως μὲν ἂν ἐν τοῖς πολέμοις κατορθῶσιν, ἀφανῆ τα κακὰ τοῖς πολλοῖς ἐστίν, ἐπὰν δέ τι πταίσωσιν, ὃ νῦν παθεῖν εἰκὸς ἐκεῖνον μεῖζον φορτίον ἢ καθ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὸν ἀράμενον, γίγνεται φανερὰ τὰ δυσχερῆ πάντα
τοῖς ἅπασιν.
5 Εἰ δέ τις ὑμῶν, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν Φίλιππον
ὁρῶν εὐτυχοῦντα φοβερὸν εἶναι νομίζει καὶ δυσπολέ-
μητον, σώφρονος μὲν ἀνδρὸς χρῆται προνοίᾳ· μεγάλη
γὰρ ῥοπή, μᾶλλον δὲ τὸ ὅλον ἡ τύχη ἐστὶ πρὸς ἅπαν-
τα τὰ τῶν ἀνθρώπων πράγματα· κατὰ πολλοὺς μέν-
τοι τρόπους ἕλοιτ' ἄν τις οὐχ ἧττον τὴν ἡμετέραν εὐ-
16 τυχίαν ἢ τὴν ἐκείνου παρά τε γὰρ τῶν προγόνων ἐκ
πλείονος χρόνου παρειλήφαμεν τὴν εὐδαιμονίαν οὐ
τούτου μόνου, ἀλλὰ συνελόντι φράσαι πάντων τῶν
ἐν Μακεδονίᾳ βασιλευσάντων· κἀκεῖνοι μὲν Ἀθηναί-
οις φόρους ἤνεγκαν, ἡ δ' ἡμετέρα πόλις οὐδενί πω
τῶν ἁπάντων. ἔτι δὲ τοσούτῳ πλείους ἀφορμὰς αὐ-
τοῦ πρὸς τὴν τῶν θεῶν εὔνοιαν ἔχομεν, ὅσῳ διατε-
17 λοῦμεν εὐσεβέστερα καὶ δικαιότερα πράττοντες. τί ποτ'
οὖν ἐκεῖνος ἐν τῷ προτέρῳ πολέμῳ πλείω κατώρθω-
σεν ἡμῶν; ὅτι, ὦ ἄνδρες Ἀθηναῖοι, (παρρησιάσομαι
γὰρ πρὸς ὑμᾶς) ὁ μὲν αὐτὸς στρατεύεται καὶ ταλαιπω-
ρεῖ καὶ τοῖς κινδύνοις πάρεστιν, οὔτε καιρὸν παριεὶς
οὔτε ὥραν ἔτους παραλείπων οὐδεμίαν, ἡμεῖς δὲ (εἰρή-
σεται γὰρ τἀληθῆ) οὐδὲν ποιοῦντες ἐνθάδε καθήμεθα,
μέλλοντες ἀεὶ καὶ ψηφιζόμενοι καὶ πυνθανόμενοι κατὰ
τὴν ἀγορὰν εἴ τι λέγεται νεώτερον. καίτοι τί γένοιτ' 15
ἂν νεώτερον ἢ Μακεδὼν ἀνὴρ καταφρονῶν Ἀθηναίων
καὶ τολμῶν ἐπιστολὰς πέμπειν τοιαύτας οἵας ἠκούσατε
18 μικρῷ πρότερον; καὶ τῷ μὲν ὑπάρχουσι μισθοφόροι
στρατιῶται, καὶ νὴ Δία πρὸς τούτοις τῶν παρ' ἡμῖν ῥη-
τόρων τινές, οἳ τὰς παρ' ἐκείνου δωρεὰς οἴκαδε λαμβά-
νειν νομίζοντες οὐκ αἰσχύνονται Φιλίππῳ ζῶντες, οὐδ'
αἰσθάνονται πάντα καὶ τὰ τῆς πόλεως καὶ τὰ σφῶν
αὐτῶν μικροῦ λήμματος πωλοῦντες. ἡμεῖς δὲ οὔτε τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκείνου πραγμάτων οὐδὲν στασιάζειν παρασκευάζο-
μεν, οὔτε ξενοτροφεῖν ἐθέλομεν, οὔτε αὐτοὶ στρατεύε-
19 σθαι τολμῶμεν. οὔκουν ἐστὶν οὐδὲν θαυμαστὸν, εἴ τι
πεπλεονέκτηκεν ἡμῶν κατὰ τὸν πρότερον πόλεμον,
ἀλλὰ μᾶλλον εἰ μηδὲν ποιοῦντες ἡμεῖς ὧν προσήκει
τοὺς πολεμοῦντας, νομίζομεν κρατήσειν τοῦ πάντα
πράττοντος ἃ δεῖ τοὺς πλεονεκτήσειν μέλλοντας.

20 Ὧν, ὦ ἄνδρες Ἀθηναῖοι, χρὴ λαβόντας ἔννοιαν,
καὶ λογισαμένους ὡς οὐδ᾽ ἐφ᾽ ἡμῖν ἐστι τὸ φάσκειν
ἄγειν εἰρήνην (ἤδη γὰρ ἐκεῖνος καὶ προηγόρευκε τὸν
πόλεμον καὶ τοῖς ἔργοις ἐξενήνοχε) μηδενὸς μὲν φείδε-
σθαι μήτε τῶν δημοσίων μήτε τῶν ἰδίων, στρατεύε-
σθαι δὲ, ἄν που καιρὸς ᾖ, προθύμως ἅπαντας, χρῆ-
21 σθαι δὲ στρατηγοῖς ἀμείνοσιν ἢ πρότερον. μὴ γὰρ
ὑπολάβῃ τις ὑμῶν, δι᾽ ὧν ἐκ χρηστῶν ἐγένετο τὰ πρά-
γματα χείρω τὰ τῆς πόλεως, διὰ τούτων αὐτὰ πάλιν
ἀναλήψεσθαι καὶ γενήσεσθαι βελτίω· μηδὲ νομίσητε
ῥᾳθυμούντων ὑμῶν, ὥσπερ πρότερον, ἑτέρους ὑπὲρ
τῶν ὑμετέρων ἀγωνιεῖσθαι προθύμως· ἀλλ᾽ ἐννοεῖ-
σθε ὡς αἰσχρόν ἐστι τοὺς μὲν πατέρας ὑμῶν πολλοὺς 158
πόνους καὶ μεγάλους κινδύνους ὑποστῆναι Λακεδαι-
22 μονίοις πολεμοῦντας, ὑμᾶς δὲ μηδ᾽ ὑπὲρ ὧν ἐκεῖνοι δι-
καίως κτησάμενοι παρέδοσαν ὑμῖν ἐθέλειν ἐρρωμένως
ἀμύνεσθαι, ἀλλὰ τὸν μὲν ἐκ Μακεδονίας ὁρμώμενον
οὕτως εἶναι φιλοκίνδυνον ὥσθ᾽ ὑπὲρ τοῦ μείζω ποιῆ-
σαι τὴν ἀρχὴν κατατετρῶσθαι πᾶν τὸ σῶμα τοῖς πολε-
μίοις μαχόμενον, Ἀθηναίους δὲ, οἷς πάτριόν ἐστι μη-
δενὸς ἀκούειν, ἁπάντων δὲ κρατεῖν ἐν τοῖς πολέμοις,
τούτους διὰ ῥᾳθυμίαν ἢ μαλακίαν ἐγκαταλείπειν
τά τε τῶν προγόνων ἔργα καὶ τὰ συμφέροντα τῆς πα-
τρίδος.

23 Ἵνα δὲ μὴ μακρολογῶ, φημὶ χρῆναι παρεσκευά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθαι μὲν πρὸς τὸν πόλεμον, παρακαλεῖν δὲ τοὺς ἄλ-
λους Ἕλληνας, μὴ λόγοις, ἀλλὰ τοῖς ἔργοις, πρὸς τὴν
παρ' ἡμῶν συμμαχίαν· ὡς ἅπας μέν ἐστι λόγος μά-
ταιος πράξεων ἄμοιρος γενόμενος, τοσούτῳ δὲ μά-
λιστα ὁ παρὰ τῆς ἡμετέρας πόλεως, ὅσῳ δοκοῦμεν αὐ-
τῷ προχειρότατα χρῆσθαι τῶν ἄλλων Ἑλλήνων.

---

## XII.

## ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.
Ἐπειδὴ πολλάκις μου πρέσβεις ἀποστείλαντος, ἵν' ἐμ-
μείνωμεν τοῖς ὅρκοις καὶ ταῖς ὁμολογίαις, οὐδεμίαν
ἐποιεῖσθε ἐπιστροφήν, ᾤμην δεῖν πέμψαι πρὸς ὑμᾶς
ὑπὲρ ὧν ἀδικεῖσθαι νομίζω. μὴ θαυμάσητε δὲ τὸ μῆκος
τῆς ἐπιστολῆς· πολλῶν γὰρ ὑπαρχόντων ἐγκλημάτων
ἀναγκαῖόν ἐστιν ὑπὲρ ἁπάντων δηλῶσαι καθαρῶς. 159

Πρῶτον μὲν γὰρ Νικίου τοῦ κήρυκος ἁρπασθέν-
τος ἐκ τῆς χώρας τῆς ἐμῆς οὐ τοῖς παρανομοῦσιν ἐπετι-
μήσατε, ἀλλὰ τὸν ἀδικούμενον εἵρξατε δέκα μῆνας· ἃς
δ' ἔφερε παρ' ἡμῶν ἐπιστολάς, ἀνέγνωτε ἐπὶ τοῦ βή-
ματος. ἔπειτα Θασίων ὑποδεχομένων τὰς Βυζαντίων
τριήρεις καὶ τῶν λῃστῶν τοὺς βουλομένους οὐδὲν
ἐφροντίζετε, τῶν συνθηκῶν διαρρήδην λεγουσῶν πο-
3 λεμίους εἶναι τοὺς ταῦτα ποιοῦντας. ἔτι τοίνυν περὶ
τοὺς αὐτοὺς χρόνους Διοπείθης ἐμβαλὼν εἰς τὴν χώ-
ραν Κρωβύλην μὲν καὶ τὴν Τιρίστασιν ἐξηνδραποδί-
σατο, τὴν δὲ προσεχῆ Θρᾴκην ἐπόρθησε, τέλος δὲ εἰς
τουτο ἦλθε παρανομίας ὥστε Ἀμφίλοχον ὑπὲρ τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰχμαλώτων ἐλθόντα πρεσβευτὴν συλλαβὼν καὶ τὰς
ἐσχάτας ἀνάγκας ἐπιθεὶς ἀπελύτρωσε ταλάντων ἐν-
4 νέα· καὶ ταῦτα τῷ δήμῳ εὐδοκοῦντα ἐποίησεν. καίτοι
τὸ παρανομεῖν εἰς κήρυκα καὶ πρέσβεις τοῖς ἄλλοις τε
πᾶσιν ἀσεβὲς εἶναι δοκεῖ καὶ μάλιστα ὑμῖν· Μεγαρέων
γοῦν Ἀνθεμόκριτον ἀνελόντων εἰς τοῦτο ἐλήλυθεν ὁ
δῆμος ὥστε μυστηρίων μὲν εἴργειν αὐτούς, ὑπομνή-
ματα δὲ τῆς ἀδικίας ἔστησαν ἀνδριάντα πρὸ τῶν πυ-
λῶν. καίτοι πῶς οὐ δεινόν, ἐφ' οἷς παθόντες οὕτως
ἐμισήσατε τοὺς δράσαντας, νῦν αὐτοὺς φαίνεσθαι
5 ποιοῦντας; Καλλίας τοίνυν ὁ παρ' ὑμῶν στρατηγὸς
τὰς μὲν πόλεις τὰς ἐν τῷ Παγασίτῃ κόλπῳ κατοικου-
μένας ἔλαβεν ἁπάσας, ὑμῖν μὲν ἐνόρκους, ἐμοὶ δὲ συμ-
μαχίδας οὔσας, τοὺς δ' εἰς Μακεδονίαν πλέοντας ἐπώ-
λει πάντας πολεμίους κρίνων· καὶ διὰ ταῦθ' ὑμεῖς 160
ἐπῃνεῖτ' αὐτὸν ἐν τοῖς ψηφίσμασιν. ὥστε ἔγωγε ἀπο-
ρῶ τί ποτ' ἔσται καινότερον, ἐὰν ὁμολογήσητέ μοι
πολεμεῖν· καὶ γὰρ ὅτε φανερῶς διεφερόμεθα, λῃ-
στὰς ἐξεπέμπετε, καὶ τοὺς πλέοντας ὡς ἡμᾶς ἐπω-
λεῖτε, τοῖς ἐναντίοις ἐβοηθεῖτε, τὴν χώραν μου κακῶς
ἐποιεῖτε.

6 Χωρὶς τοίνυν εἰς τοῦτο παρανομίας ἀφῖχθε καὶ
δυσμενείας ὥστε καὶ πρὸς τὸν Πέρσην πρέσβεις ἀπε-
στάλκατε πείσοντας αὐτὸν ἐμοὶ πολεμεῖν· ὃ μάλιστα
ἄν τις θαυμάσειεν. πρὸ μὲν γὰρ τοῦ λαβεῖν αὐτὸν Αἴ-
γυπτον καὶ Φοινίκην ἐψηφίσασθε, ἂν ἐκεῖνός τι νεω-
τερίζῃ, παρακαλεῖν ὁμοίως ἐμὲ καὶ τοὺς ἄλλους Ἕλλη-
7 νας ἅπαντας ἐπ' αὐτόν· νῦν δὲ τοσοῦτον ὑμῖν περίε-
στι τοῦ πρὸς ἐμὲ μίσους ὥστε πρὸς ἐκεῖνον διαλέγε-
σθε περὶ τῆς ἐπιμαχίας. καίτοι τὸ παλαιὸν οἱ πατέρες
ὑμῶν, ὡς ἐγὼ πυνθάνομαι, τοῖς Πεισιστρατίδαις ἐπε-
τίμων ὡς ἐπάγουσι τὸν Πέρσην ἐπὶ τοὺς Ἕλληνας·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμεῖς δ' οὐκ αἰσχύνεσθε ταῦτα ποιοῦντες, ἃ διετελεῖτε
τοῖς τυράννοις ἐγκαλοῦντες.
8 Ἀλλὰ πρὸς τοῖς ἄλλοις καὶ γράφετε ἐν τοῖς ψηφί-
σμασιν ἐμοὶ προστάττοντες Τήρην καὶ Κερσοβλέπτην
ἐᾶν Θρᾴκης ἄρχειν ὡς ὄντας Ἀθηναίους. ἐγὼ δὲ τού-
τους οὔτε τῶν περὶ τῆς εἰρήνης συνθηκῶν οἶδα μετα-
σχόντας ὑμῖν οὔτ' ἐν ταῖς στήλαις ἀναγεγραμμένους
οὔτ' Ἀθηναίους ὄντας, ἀλλὰ Τήρην μὲν μετ' ἐμοῦ
στρατευόμενον ἐφ' ὑμᾶς, Κερσοβλέπτην δὲ τοῖς παρ'
ἐμοῦ πρεσβευταῖς ἰδίᾳ μὲν τοὺς ὅρκους ὀμόσαι προ-
θυμούμενον, κωλυθέντα δ' ὑπὸ τῶν ὑμετέρων στρα-
9 τηγῶν ἀποφαινόντων αὐτὸν Ἀθηναίων ἐχθρόν. καίτοι
πῶς ἐστὶ τοῦτ' ἴσον ἢ δίκαιον, ὅταν μὲν ὑμῖν συμφέ-
ρῃ, πολέμιον εἶναι φάσκειν αὐτὸν τῆς πόλεως, ὅταν δ' 161
ἐμὲ συκοφαντεῖν βούλησθε, πολίτην ἀποδείκνυσθαι
τὸν αὐτὸν ὑφ' ὑμῶν· καὶ Σιτάλκου μὲν ἀποθανόντος,
ᾧ μετέδοτε τῆς πολιτείας, εὐθὺς ποιήσασθαι πρὸς τὸν
ἀποκτείναντα φιλίαν, ὑπὲρ δὲ Κερσοβλέπτου πόλεμον
αἱρεῖσθαι πρὸς ἡμᾶς; καὶ ταῦτα σαφῶς εἰδότας ὅτι
τῶν λαμβανόντων τὰς δωρεας τὰς τοιαύτας οὐδεὶς
οὔτε τῶν νόμων οὔτε τῶν ψηφισμάτων οὐδὲν φρον-
10 τίζει τῶν ὑμετέρων. οὐ μὴν ἀλλ' εἰ δεῖ πάντα τἄλλα
παραλιπόντα συντόμως εἰπεῖν, ὑμεῖς ἔδοτε πολιτείαν
Εὐαγόρᾳ τῷ Κυπρίῳ καὶ Διονυσίῳ τῷ Συρακοσίῳ
καὶ τοῖς ἐκγόνοις τοῖς ἐκείνων. ἐὰν οὖν πείσητε τοὺς
ἐκβαλόντας ἑκατέρους αὐτῶν ἀποδοῦναι πάλιν τὰς
ἀρχὰς τοῖς ἐκπεσοῦσι, κομίζεσθε καὶ παρ' ἐμοῦ τὴν
Θρᾴκην, ὅσης Τήρης καὶ Κερσοβλέπτης ἦρχεν. εἰ
δὲ τοῖς μὲν ἐκείνων κρατήσασι μηδ' ἐγκαλεῖν ἀξιοῦτε
μηδέν, ἐμὲ δ' ἐνοχλεῖτε, πῶς οὐ δικαίως ὑμᾶς ἀμυνοί-
μην ἄν;
11 Περὶ μὲν οὖν τούτων πολλα λέγειν ἔχων ἔτι δί

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καια παραλιπεῖν προαιροῦμαι· Καρδιανοῖς δέ φημι βοηθεῖν γεγονὼς αὐτοῖς πρὸ τῆς εἰρήνης σύμμαχος, οὐκ ἐθελόντων δ' ὑμῶν ἐλθεῖν εἰς κρίσιν, πολλάκις μὲν ἐμοῦ δεηθέντος, οὐκ ὀλιγάκις δ' ἐκείνων· ὥστε πῶς οὐκ ἂν εἴην πάντων φαυλότατος, εἰ καταλιπὼν τοὺς συμμάχους μᾶλλον ὑμῶν φροντίζοιμι τῶν πάντα μοι τρόπον ἐνοχλούντων ἢ τῶν βεβαίως μοι φίλων ἀεὶ μενόντων;

12 Εἰ τοίνυν δεῖ μηδὲ τοῦτο παραλιπεῖν, εἰς τοσοῦτον ἐληλύθατε πλεονεξίας ὥστε πρότερον μὲν ἐνεκαλεῖτέ μοι τὰ προειρημένα μόνον, τὰ δ' ὑπογυιότατα Πεπαρη- 162
θίων φασκόντων δεινὰ πεπονθέναι προσετάξατε τῷ στρατηγῷ δίκην παρ' ἐμοῦ λαβεῖν ὑπὲρ ἐκείνων, οὓς ἐγὼ μὲν ἐτιμωρησάμην ἐνδεεστέρως ἢ προσῆκεν, ἐκεῖνοι δὲ εἰρήνης οὔσης καταλαβόντες Ἀλόννησον οὔτε τὸ χωρίον οὔτε τοὺς φρουροὺς ἀπεδίδοσαν πέμψαντος
13 ὑπὲρ αὐτῶν ἐμοῦ πολλάκις. ὑμεῖς δ' ὧν μὲν ἠδίκησαν ἐμὲ Πεπαρήθιοι, τούτων μὲν οὐδὲν ἐπεσκέψασθε, τὴν δὲ τιμωρίαν, ἀκριβῶς εἰδότες ὅτι τὴν νῆσον οὔτ' ἐκείνους οὔτε ὑμᾶς ἀφειλόμην, ἀλλὰ τὸν λῃστὴν Σώστρατον. εἰ μὲν οὖν αὐτοί φατε παραδοῦναι Σωστράτῳ, λῃστὰς ὁμολογεῖτε καταπέμπειν· εἰ δὲ ἀκόντων ὑμῶν ἐκεῖνος κατεκράτει, τί δεινὸν πεπόνθατε λαβόντος ἐμοῦ καὶ τὸν τόπον τοῖς πλέουσιν ἀσφαλῆ παρέχοντος;
14 τοσαύτην δέ μου ποιουμένου πρόνοιαν τῆς ὑμετέρας πόλεως, καὶ διδόντος αὐτῇ τὴν νῆσον, οἱ ῥήτορες λαμβάνειν μὲν οὐκ εἴων, ἀπολαβεῖν δὲ συνεβούλευον. ὅπως ὑπομείνας μὲν τὸ προσταττόμενον τὴν ἀλλοτρίαν ἔχειν ὁμολογῶ, μὴ προειμένος δὲ τὸ χωρίον ὕποπτος γένωμαι τῷ πλήθει. γνοὺς ἐγὼ ταῦτα προὐκαλούμην κριθῆναι περὶ τούτων πρὸς ὑμᾶς, ἵν' ἐὰν μὲν ἐμὴ γνωσθῇ, παρ' ἐμοῦ δοθῇ τὸ χωρίον ὑμῖν, ἐὰν δὲ ὑμετέρα κριθῇ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

15 τότε ἀποδῶ τῷ δήμῳ. ταῦτα δ᾽ ἐμοῦ πολλάκις ἀξιοῦν-
τος ὑμεῖς μὲν οὐ προσείχετε, Πεπαρήθιοι δὲ τὴν νῆσον
κατέλαβον. τί οὖν ἐχρῆν με ποιεῖν; οὐ δίκην λαβεῖν
παρὰ τῶν ὑπερβεβηκότων τοὺς ὅρκους; οὐ τιμωρή-
σασθαι τοὺς οὕτως ὑπερηφάνως ἀσελγαίνοντας; καὶ
γὰρ εἰ Πεπαρηθίων ἦν ἡ νῆσος, τί προσῆκεν ἀπαιτεῖν
Ἀθηναίους; εἰ δὲ ὑμετέρα, πῶς οὐκ ἐκείνοις ὀργίζεσθε 165
καταλαβοῦσι τὴν ἀλλοτρίαν;

16 Εἰς τοῦτο δὲ προβεβήκαμεν ἔχθρας ὥστε βουλό-
μενος ταῖς ναυσὶν εἰς τὸν Ἑλλήσποντον παραβαλεῖν
ἠναγκάσθην αὐτὰς παραπέμψαι διὰ Χερρονήσου τῇ
στρατιᾷ, τῶν μὲν κληρούχων κατὰ τὸ Πολυκράτους
δόγμα πολεμούντων ἡμῖν, ὑμῶν δὲ τοιαῦτα ψηφιζομέ-
νων, τοῦ δὲ στρατηγοῦ Βυζαντίους τε παρακαλοῦντος
καὶ διαγγέλλοντος πρὸς ἅπαντας ὅτι πολεμεῖν αὐτῷ
προστάττετε, ἂν καιρὸν λάβῃ. τοιαῦτα δὲ πάσχων ὅμως
τῆς πόλεως καὶ τῶν τριήρων καὶ τῆς χώρας ἀπεσχόμην,
ἱκανὸς ὢν τὰ πλεῖστα λαβεῖν ἢ πάντα, καὶ διατετέλεκα
προκαλούμενος ὑμᾶς εἰς κρίσιν ἐλθεῖν ὑπὲρ ὧν αἰτιώ-
17 μεθα ἀλλήλους. καίτοι σκοπεῖσθε πότερον κάλλιόν
ἐστιν ὅπλοις ἢ λόγοις διακρίνεσθαι, καὶ πότερον αὐ-
τοὺς εἶναι βραβευτὰς ἢ πεῖσαί τινας ἑτέρους· καὶ λογί-
ζεσθ᾽ ὡς ἄλογόν ἐστιν Ἀθηναίους Θασίους μὲν καὶ Μα-
ρωνείτας ἀναγκάσαι περὶ Στρύμης διακριθῆναι λόγοις,
αὐτοὺς δὲ πρὸς ἐμὲ μὴ διαλύσασθαι περὶ ὧν ἀμφισβη-
τοῦμεν τὸν τρόπον τοῦτον, ἄλλως τε καὶ γιγνώσκον-
τας ὅτι νικηθέντες μὲν οὐδὲν ἀποβαλεῖτε, κρατήσαντες
δὲ λήψεσθε τὰ νῦν ὑφ᾽ ἡμῖν ὄντα.

18 Πάντων δέ μοι δοκεῖ παραλογώτατον εἶναι, διότι
πέμψαντος ἐμοῦ πρέσβεις ἀπὸ τῆς συμμαχίας πάσης,
ἵν᾽ ὦσι μάρτυρες, καὶ βουλομένου ποιήσασθαι πρὸς
ὑμᾶς δικαίας ὁμολογίας ὑπὲρ τῶν Ἑλλήνων, οὐδὲ τοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

περὶ τούτων λόγους ἐδέξασθε παρὰ τῶν πρεσβεύοντων,
ἐξὸν ὑμῖν ἢ τῶν κινδύνων ἀπαλλάξαι τοὺς δυσχερὲς
ὑποπτεύοντάς τι καθ' ἡμῶν, ἢ φανερῶς ἐξελέγξαι με 164
19 φαυλότατον ὄντα τῶν ἁπάντων. τῷ μὲν οὖν δήμῳ
ταῦτα συνέφερε, τοῖς δὲ λέγουσιν οὐκ ἐλυσιτέλει. φα-
σὶ γὰρ οἱ τῆς πολιτείας τῆς παρ' ὑμῖν ἔμπειροι τὴν μὲν
εἰρήνην πόλεμον αὐτοῖς εἶναι, τὸν δὲ πόλεμον εἰρήνην·
ἢ γὰρ συναγωνιζομένους τοῖς στρατηγοῖς ἢ συκοφαν-
τοῦντας ἀεί τι λαμβάνειν παρ' αὐτῶν, ἔτι δὲ τῶν πο-
λιτῶν τοῖς γνωριμωτάτοις καὶ τῶν ἔξωθεν τοῖς ἐνδο-
ξοτάτοις λοιδορουμένους ἐπὶ τοῦ βήματος περιποιεῖ-
σθαι παρὰ τοῦ πλήθους δόξαν ὡς εἰσὶ δημοτικοί.
20 Ῥᾴδιον μὲν οὖν ἐστί μοι παῦσαι τῆς βλασφημίας
αὐτοὺς μικρὰ πάνυ προεμένῳ, καὶ ποιῆσαι λέγειν ἐπαί-
νους ὑπὲρ ἡμῶν. ἀλλ' αἰσχυνοίμην ἄν, εἰ τὴν πρὸς
ἡμᾶς εὔνοιαν παρὰ τούτων φαινοίμην ὠνούμενος, οἳ
πρὸς τοῖς ἄλλοις εἰς τοῦτο τόλμης ἥκουσιν ὥστε καὶ
περὶ Ἀμφιπόλεως πρὸς ἡμᾶς ἀμφισβητεῖν ἐπιχειροῦ-
σιν, ὑπὲρ ἧς τῶν ἀντιποιουμένων αὐτῆς οἶμαι πολὺ
21 δικαιότερα λέγειν αὐτός. εἴτε γὰρ τῶν ἐξ ἀρχῆς κρα-
τησάντων γίγνεται, πῶς οὐ δικαίως ἡμεῖς αὐτὴν ἔχο-
μεν, Ἀλεξάνδρου τοῦ προγόνου πρώτου κατασχόντος
τὸν τόπον, ὅθεν καὶ τῶν αἰχμαλώτων Μήδων ἀπαρχὴν
ἀνδριάντα χρυσοῦν ἀνέστησεν εἰς Δελφούς; εἴτε τού-
των μὲν ἀμφισβητήσειέ τις, ἀξιοῖ δὲ γίγνεσθαι τῶν
ὕστερον γενομένων κυρίων, ὑπάρχει μοι καὶ τοῦτο τὸ
δίκαιον· ἐκπολιορκήσας γὰρ τοὺς ὑμᾶς μὲν ἐκβαλόν-
τας, ὑπὸ Λακεδαιμονίων δὲ κατοικισθέντας ἔλαβον τὸ
22 χωρίον. καίτοι πάντες οἰκοῦμεν τὰς πόλεις ἢ τῶν προ-
γόνων παραδόντων ἢ κατὰ πόλεμον κύριοι καταστάν-
τες. ὑμεῖς δὲ οὔτε πρῶτοι λαβόντες οὔτε νῦν ἔχοντες,
ἐλάχιστον δὲ χρόνον ἐν τοῖς τόποις ἐμμείναντες ἀντι- 165

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποιεῖσθε τῆς πόλεως, καὶ ταῦτα πίστιν ὑπὲρ ἡμῶν αὐτοὶ βεβαιοτάτην ἐπιθέντες· πολλάκις γὰρ ἐμοῦ γράφοντος ἐν ταῖς ἐπιστολαῖς ὑπὲρ αὐτῆς ἐγνώκατε δικαίως ἔχειν ἡμᾶς, τότε μὲν ποιησάμενοι τὴν εἰρήνην ἔχοντος ἐμοῦ τὴν πόλιν, κᾆτα συμμαχίαν ἐπὶ ταῖς αὐταῖς
23 ὁμολογίαις. καίτοι πῶς ἂν ἑτέρα γένοιτο βεβαιοτέρα ταύτης κτῆσις, τῆς τὸ μὲν ἐξ ἀρχῆς καταλειφθείσης ἡμῖν ὑπὸ τῶν προγόνων, πάλιν δὲ κατὰ πόλεμον ἐμῆς γεγενημένης, τρίτον δὲ συγχωρηθείσης ὑφ' ὑμῶν τῶν εἰθισμένων ἀμφισβητεῖν καὶ τῶν οὐδὲν ὑμῖν προσηκόντων;

Ἃ μὲν οὖν ἐγκαλῶ, ταῦτ' ἐστίν· ὡς δὲ προϋπαρχόντων καὶ διὰ τὴν ἐμὴν εὐλάβειαν μᾶλλον ἤδη τοῖς πράγμασιν ἐπιτιθεμένων καὶ καθ' ὅσον ἂν δύνησθε κακοποιούντων, ὑμᾶς ἀμυνοῦμαι μετὰ τοῦ δικαίου, καὶ μάρτυρας τοὺς θεοὺς ποιησάμενος διαλήψομαι περὶ τῶν καθ' ὑμᾶς.

---

## XIII.

# ΠΕΡΙ ΣΥΝΤΑΞΕΩΣ.

## ΥΠΟΘΕΣΙΣ.

Ὁ λόγος οὗτος οὐκέτι Φιλιππικός ἐστιν, ἀλλὰ ἁπλῶς συμβουλευτικός· ἐκκλησίαν γὰρ ἀγόντων τῶν Ἀθηναίων περὶ τῶν θεωρικῶν χρημάτων, παρελθὼν ὁ Δημοσθένης πείθει 166
συνταχθῆναί τε αὐτοὺς καὶ τὸ ἀρχαῖον ἀναλαβεῖν ἀξίωμα στρατευομένους καὶ τῶν Ἑλλήνων προκινδυνεύοντας, καὶ συγκρίνει τὰ νῦν τοῖς ἐπὶ τῶν προγόνων, πολὺ φαυλότερα καὶ ταπεινότερα τῶν παλαιῶν δεικνύς.

---

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Περὶ μὲν τοῦ παρόντος ἀργυρίου, καὶ ὧν ἕνεκα την ἐκκλησίαν ποιεῖσθε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδέτερόν μοι δοκεῖ τῶν χαλεπῶν εἶναι, οὔτ' ἐπιτιμήσαντα τοῖς νέμουσι καὶ διδοῦσι τὰ κοινὰ εὐδοκιμῆσαι παρὰ τοῖς βλάπτεσθαι διὰ τούτων ἡγουμένοις τὴν πόλιν, οὔτε συνειπόντα καὶ παραινέσαντα ὡς δεῖ λαμβάνειν χαρίσασθαι τοῖς σφόδρα ἐν χρείᾳ τοῦ λαβεῖν οὖσιν· οὐδέτεροι γὰρ πρὸς τὸ τῇ πόλει συμφέρον σκοποῦντες οὔτ' ἐπαινοῦσιν οὔτε δυσχεραίνουσι τὸ πρᾶγμα, ἀλλ'
2 ὡς ἑκάτεροι χρείας καὶ περιουσίας ἔχουσιν. ἐγὼ δὲ τοῦτο μὲν οὔτ' ἂν εἰσηγησαίμην, οὔτ' ἂν ἀντείποιμι ὡς οὐ δεῖ λαμβάνειν· παραινῶ μέντοι σκοπεῖν καὶ λογίζεσθαι πρὸς ὑμᾶς αὐτοὺς ὅτι τἀργύριον μέν ἐστι τοῦτο, ὑπὲρ οὗ βουλεύεσθε, μικρόν, τὸ δ' ἔθος μέγα, ὃ γίγνεται μετὰ τούτου. εἰ μὲν οὖν μετὰ τοῦ πράττειν ἃ προσήκει καὶ τὸ λαμβάνειν κατασκευάσεσθε, οὐ μόνον οὐ βλάψετε, ἀλλὰ καὶ τὰ μέγιστα ὠφελήσετε τὴν πόλιν καὶ ὑμᾶς αὐτούς· εἰ δὲ τοῦ μὲν λαμβάνειν καὶ ἑορτὴ καὶ πᾶσα ἀρκέσει πρόφασις, τοῦ δ' ἃ πρὸς τούτοις δεῖ ποι- 167
εῖν μηδὲ τοὺς λόγους ἀκούειν ἐθελήσετε, ὁρᾶτε μήποθ', ἃ νῦν ὀρθῶς ἡγεῖσθε πράττειν, σφόδρα ἡμαρτηκέναι
3 νομίσητε. ἐγὼ δέ φημι δεῖν (καί μοι μὴ θορυβήσητε ἐφ' ᾧ μέλλω λέγειν, ἀλλ' ἀκούσαντες κρίνατε·) ὥσπερ περὶ τοῦ λαβεῖν ἐκκλησίαν ἀπεδώκαμεν, οὕτω καὶ περὶ τοῦ συνταχθῆναι καὶ παρασκευασθῆναι τὰ πρὸς τὸν πόλεμον ἐκκλησίαν ἀποδοῦναι, καὶ παρασχεῖν ἕκαστον αὐτὸν μὴ μόνον ταῦτ' ἀκούειν ἐθέλοντα, ἀλλὰ καὶ πράττειν βουλόμενον, ἵν', ὦ ἄνδρες Ἀθηναῖοι, τῶν ἀγαθῶν τὰς ἐλπίδας δι' ὑμῶν αὐτῶν ἔχητε, καὶ μὴ τὸν
4 δεῖνα μηδὲ τὸν δεῖνα πυνθάνησθε τί πράττει. καὶ τὰ μὲν προσιόντα τῇ πόλει πάντα, καὶ ἃ νῦν ἐκ τῶν ἰδίων παραναλίσκετε εἰς οὐδὲν δέον καὶ ὅσ' ἐκ τῶν συμμά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χων ὑπάρχει, λαμβάνειν ὑμᾶς φημί, χρῆναι τὸ ἴσο
ἕκαστον, τοὺς μὲν ἐν ἡλικίᾳ στρατιωτικόν, τοὺς δ
ὑπὲρ τὸν κατάλογον ἐξεταστικὸν ἢ ὅπως ἄν τις ὀνομά
σαι τοῦτο, στρατεύεσθαι δ' αὐτοὺς καὶ μηδενὶ τούτο
5 παραχωρεῖν, ἀλλὰ τὴν δύναμιν τῆς πόλεως οἰκείαν εἶ
ναι καὶ κατεσκευασμένην ἀπὸ τούτων, ἵν' εὐπορῆτ
καὶ τὰ δέοντα ποιῆτε, καὶ τὸν στρατηγὸν ἡγεῖσθαι ταύ-
της, ἵν' ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τοιαῦτα οἷάπε
νυνὶ συμβαίνῃ. τοὺς στρατηγοὺς κρίνετε, καὶ πε-
ρίεσθ' ὑμῖν ἐκ τῶν πραγμάτων "ὁ δεῖνα τοῦ δεῖνος τὸ
6 "δεῖνα εἰσήγγειλεν," ἄλλο δ' οὐδέν. ἀλλὰ τί ὑμῖν γέ-
νηται; πρῶτον μὲν οἱ σύμμαχοι μὴ φρουραῖς, ἀλλὰ τῷ
ταὐτὰ συμφέρειν ὑμῖν κἀκείνοις ὦσιν οἰκεῖοι, ἐπειθ
οἱ στρατηγοὶ μὴ ξένους ἔχοντες τοὺς μὲν συμμάχους
ἄγωσι καὶ φέρωσι, τοὺς δὲ πολεμίους μηδ' ὁρῶσιν, ἀφ
ὧν αἱ μὲν ὠφέλειαι τούτων εἰσὶν ἴδιαι, τὰ δὲ μίση κα
τὰ ἐγκλήματα ἐφ' ὅλην ἔρχεται τὴν πόλιν, ἀλλὰ πολί-
τας τοὺς ἀκολουθοῦντας ἔχοντες τοὺς ἐχθρούς, ἃ νῦν
7 τοὺς φίλους, ποιῶσιν. χωρὶς δὲ τούτων πολλὰ τῶν πρα-
γμάτων τὴν ὑμετέραν ποθεῖ παρουσίαν, καὶ ἄνευ τοῦ
πρὸς τοὺς οἰκείους πολέμους οἰκείᾳ χρῆσθαι δυνάμει
συμφέρειν, καὶ πρὸς τἄλλα πράγματα ἀναγκαῖόν ἐστιν.
εἰ μὲν γὰρ ἡσυχίαν ἔχειν ὑμῖν ἀπέχρη καὶ μηδὲν τῶν
Ἑλληνικῶν περιεργάζεσθαι ὅπως ἔχει, ἄλλος ἂν ἦν λό-
8 γος· νῦν δὲ πρωτεύειν μὲν ὑμεῖς ἀξιοῦτε καὶ τὰ δί-
καια ὁρίζειν τοῖς ἄλλοις, τὴν δὲ ταῦτ' ἐποπτεύσουσαν
καὶ φυλάξουσαν δύναμιν οὔτε κατεσκευάσθε οὔτε κα-
τασκευάζεσθε, ἀλλ' ἐπὶ πολλῆς μὲν ἡσυχίας καὶ ἠρε-
μίας ὑμῶν ὁ Μυτιληναίων δῆμος καταλέλυται, ἐπὶ
πολλῆς δ' ἡσυχίας ὁ Ῥοδίων, ἐχθρός γ' ὢν ἡμῖν, φαίη
τις ἄν· ἀλλὰ μείζω χρὴ νομίζειν, ὦ ἄνδρες Ἀθηναῖοι,
τὴν πρὸς τὰς ὀλιγαρχίας ὑπὲρ αὐτῆς τῆς προαιρέσεως

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔχθραν ἢ τὴν πρὸς τοὺς δήμους ὑπὲρ ὧν ποτ' ἂν ᾖ. ἀλλ'
9 ἵν' ἐκεῖσ' ἐπανέλθω, φημὶ δεῖν ὑμᾶς συντετάχθαι, καὶ τὴν αὐτὴν τοῦ τε λαβεῖν καὶ τοῦ ποιεῖν ἃ προσήκει σύνταξιν εἶναι. διελέχθην δ' ὑμῖν περὶ τούτων καὶ πρότερον, καὶ διεξῆλθον ὡς ἂν συνταχθείητε, οἵ θ' ὁπλῖται καὶ οἱ ἱππεῖς καὶ ὅσοι τούτων ἐκτός ἐστε, καὶ εὐπορία
10 τις ἂν ἅπασι γένοιτο κοινή. ὃ δέ μοι πλείστην ἀθυμίαν παρέσχεν ἁπάντων, ἐρῶ πρὸς ὑμᾶς καὶ οὐκ ἀποκρύψομαι, ὅτι πολλῶν καὶ μεγάλων καὶ καλῶν ὄντων τούτων ἁπάντων τῶν μὲν ἄλλων οὐδενὸς οὐδεὶς μέμνηται, 169
τοῖν δυοῖν δ' ὀβολοῖν ἅπαντες. καίτοι τοὺς μὲν οὐκ ἔστι πλείονος ἢ δυοῖν ὀβολοῖν ἀξίους εἶναι, τἄλλα δὲ μετὰ τούτων ὧν εἶπον τῶν βασιλέως ἄξιά ἐστι χρημάτων, πόλιν τοσούτους ὁπλίτας ἔχουσαν καὶ τριήρεις καὶ ἱππέας καὶ χρημάτων πρόσοδον συντετάχθαι καὶ παρεσκευάσθαι.

11 Τί οὖν, φαίη τις ἄν, ταῦτα νῦν λέγω; ὅτι φημὶ δεῖν ὑμᾶς, ἐπειδὴ τὸ μὲν πάντας μισθοφορεῖν δυσχεραίνουσί τινες, τὸ δὲ συνταχθῆναι καὶ παρασκευασθῆναι παρὰ πάντων χρήσιμον εἶναι δοκιμάζεται, ἐντεῦθεν ἄρξασθαι τοῦ πράγματος, καὶ προθεῖναι περὶ τούτων τῷ βουλομένῳ γνώμην ἀποφήνασθαι. ὡς οὕτως ἔχει· ἂν μὲν ὑμεῖς νῦν πεισθῆτε τούτων καιρὸν εἶναι νομίσαντες, ὅταν αὐτῶν εἰς χρειαν ἔλθητε, ἕτοιμα ὑπάρξει· ἂν δ' ἀκαιριαν ἡγησάμενοι παρίδητε, ὅταν δέῃ χρῆσθαι, τότ' ἀναγκασθήσεσθε παρασκευάζεσθαι.

12 Ἤδη δέ τις εἶπεν ὦ ἄνδρες Ἀθηναῖοί που λέγων, οὐχ ὑμῶν τῶν πολλῶν, ἀλλὰ τῶν διαρρηγνυμένων εἰ ταῦτα γενήσεται, "τί δ' ἡμῖν ἀπὸ τῶν Δημοσθένους "λόγων ἀγαθὸν γέγονεν; παρελθὼν ἡμῶν, ὁπόταν "αὐτῷ δόξῃ, ἐνέπλησε τὰ ὦτα λόγων, καὶ διέσυρε τα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

"παρόντα, καὶ τοὺς προγόνους ἐπῄνεσε, καὶ μετεωρί-
13 "σας καὶ φυσήσας ἡμᾶς κατέβη." ἐγὼ δ' εἰ μὲν ὑμᾶς
δυναίμην ὧν λέγω τι πεῖσαι, τηλικαῦτ' ἂν οἶμαι τὴν
πόλιν πρᾶξαι ἀγαθὰ ὥστ', εἰ νῦν εἰπεῖν ἐπιχειρήσαιμι,
πολλοὺς ἂν ἀπιστῆσαι ὡς μείζοσιν ἢ δυνατοῖς· οὐ μὴν
οὐδὲ τοῦτο μικρὸν ὠφελεῖν οἶμαι, εἰ τὰ βέλτιστα ἀκού-
ειν ὑμᾶς συνεθίζω. δεῖ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸν
βουλόμενόν τι ποιῆσαι τὴν πόλιν ὑμῶν ἀγαθὸν τὰ 170
ὦτα πρῶτον ὑμῶν ἰάσασθαι· διέφθαρται γάρ· οὕτω
πολλὰ καὶ ψευδῆ καὶ πάντα μᾶλλον ἢ τὰ βέλτιστα ἀκού-
14 ειν συνείθισθε. οἷον (ὅπως δὲ μὴ θορυβήσει μοι μη-
δείς, πρὶν ἂν ἅπαντ' εἴπω) ἀνέῳξαν δήπου πρῴην τι-
νὲς τὸν ὀπισθόδομον. οὐκοῦν οἱ παριόντες ἅπαντες
τὸν δῆμον καταλελύσθαι, τοὺς νόμους οὐκέτ' εἶναι,
τοιαῦτ' ἔλεγον. καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, (καὶ σκο-
πεῖτε ἂν ἀληθῆ λέγω) οἱ μὲν ταῦτα ποιοῦντες ἄξια
ἐποίουν θανάτου, ὁ δῆμος δ' οὐ διὰ τούτων καταλύε-
ται. πάλιν κώπας τις ὑφείλετο· μαστιγοῦν, στρεβλοῦν
πάντες ἐβόων, λέγοντες τὸν δῆμον καταλύεσθαι. ἐγὼ
δὲ τί φημί; τὸν μὲν ὑφαιρούμενον θανάτου ποιεῖν
ἄξια ὥσπερ ἐκεῖνοι, τὸν δῆμον δ' οὐ διὰ τούτων κατα-
15 λύεσθαι. ἀλλὰ πῶς καταλύεται οὐδεὶς λέγει οὐδὲ παρ-
ρησιάζεται. ἐγὼ δὲ φράσω· ὅταν ὑμεῖς, ὦ ἄνδρες Ἀθη-
ναῖοι, φαύλως ἡγμένοι οἱ πολλοὶ καὶ ἄποροι καὶ ἄοπλοι
καὶ ἀσύντακτοι καὶ μὴ ταὐτὰ γιγνώσκοντες ἦτε, καὶ
μήτε στρατηγὸς μήτ' ἄλλος μηδεὶς ὧν ἂν ὑμεῖς ψηφί-
σησθε φροντίζῃ, καὶ ταῦτα μηδεὶς λέγειν ἐθέλῃ μηδ'
ἐπανορθοῖ, μηδ' ὅπως παύσεται τοιαῦτα ὄντα πράττῃ,
16 ὃ νῦν ἀεὶ συμβαίνει. καὶ νὴ Δία γε, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ἕτεροι λόγοι παρερρυήκασι πρὸς ὑμᾶς ψευδεῖς,
καὶ πολλὰ τὴν πολιτειαν βλάπτοντες, οἷον ἐν τοῖς δι-
καστηρίοις ὑμῖν ἐστιν ἡ σωτηρία, καὶ δεῖ τῇ ψήφῳ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πολιτείαν ὑμᾶς φυλάττειν. ἐγὼ δ' οἶδ' ὅτι ταῦτα μὲν
ὑμῖν τὰ δικαστήρια τῶν πρὸς ἀλλήλους δικαίων ἐστὶ 171
κοινά, ἐν δὲ τοῖς ὅπλοις δεῖ κρατεῖν τῶν ἐχθρῶν, καὶ
17 διὰ τούτων ἐστὶν ἡ σωτηρία τῆς πολιτείας· οὐ γὰρ τὸ
ψηφίσασθαι τοῖς ἐν τοῖς ὅπλοις ποιήσει τὸ νικᾶν, ἀλλ' οἱ
μετὰ τούτων κρατοῦντες τοὺς ἐχθροὺς καὶ ψηφίζεσθαι
καὶ ἄλλο ὅ τι ἂν βούλησθε ποιεῖν ὑμῖν ἐξουσίαν καὶ
ἄδειαν παρασκευάζουσι· δεῖ γὰρ ἐν μὲν τοῖς ὅπλοις
φοβερούς, ἐν δὲ τοῖς δικαστηρίοις φιλανθρώπους εἶναι.

18 Εἰ δέ τῳ δοκῶ μείζους ἢ κατ' ἐμαυτὸν λέγειν λό-
γους, αὐτὸ τοῦτο ὀρθῶς αὐτῶν ἔχει· τὸν γὰρ ὑπὲρ τη-
λικαύτης πόλεως ῥηθησόμενον λόγον καὶ τοιούτων
πραγμάτων παντὸς ἑνὸς τοῦ λέγοντος ἀεὶ μείζω φαίνε-
σθαι δεῖ, καὶ τῆς ἀξίας τῆς ὑμετέρας ἐγγὺς εἶναι, μὴ
τῆς τοῦ λέγοντος. ὅτι δ' οὐδεὶς τῶν ὑφ' ὑμῶν τιμωμέ-
19 νων ταῦτα λέγει, τὰς προφάσεις ἐγὼ διέξειμι ὑμῖν. οἱ
μὲν πρὸς ἀρχαιρεσίας καὶ ταύτην τὴν τάξιν προσιόντες
δοῦλοι τῆς ἐπὶ τῷ χειροτονεῖσθαι χάριτος περιέρχον-
ται, τελεσθῆναι στρατηγὸς ἕκαστος σπουδάζων, οὐκ
ἀνδρὸς ἔργον οὐδὲν πρᾶξαι. εἰ δέ τις καὶ τοιοῦτός ἐστιν
οἷος ἐγχειρεῖν ἔργῳ τῳ, νῦν μὲν ἡγεῖται τὴν τῆς πό-
λεως δόξαν ἀφορμὴν ἔχων καὶ τοὔνομα, τῆς τῶν ἐναν-
τιωσομένων ἐρημίας ἀπολαύων, τὰς ἐλπίδας ὑμῖν ὑπο-
τείνων, ἄλλο δ' οὐδέν, κληρονομήσειν αὐτὸς τῶν ὑμετέ-
ρων ἀγαθῶν, ὅπερ ἐστίν, ἂν δ' ὑμεῖς δι' ὑμῶν αὐτῶν
ἕκαστα πράττητε, τὸ ἴσον τοῖς ἄλλοις ὥσπερ τῶν ἔργων
20 αὐτῶν, οὕτω καὶ τῶν ἐκ τούτων ἕξειν. οἱ δὲ πολιτευ-
όμενοι καὶ περὶ ταῦτ' ὄντες, τὸ τὰ βέλτιστα σκοπεῖν
ὑμῖν ἀφέντες, προσκεχωρήκασι πρὸς τούτους· καὶ πρό- 17
τερον μὲν κατὰ συμμορίας εἰσεφέρετε, νυνὶ δὲ πολι-
τεύεσθε κατὰ συμμορίας. ῥήτωρ ἡγεμών, καὶ στρατη-
γὸς ὑπὸ τούτῳ, καὶ οἱ βοησόμενοι μεθ' ἑκατέρων τρια-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*κόσιοι· οἱ δ' ἄλλοι προσνενέμησθε οἱ μὲν ὡς τούτους,
οἱ δ' ὡς ἐκείνους. τοιγαροῦν ὑμῖν περίεστιν ἐκ τούτων
ὁ δεῖνα χαλκοῦς καὶ ὁ δεῖν' εὐδαίμων, εἷς ἢ δύο, ὑπὲρ
τὴν πόλιν· οἱ δ' ἄλλοι μάρτυρες τῆς τούτων εὐδαιμο-
νίας κάθησθε, τῆς καθ' ἡμέραν ῥᾳθυμίας πολλὴν καὶ
μεγάλην ὑπάρχουσαν ὑμῖν εὐδαιμονίαν τούτοις προϊέ-
μενοι.*

21 *Καίτοι σκέψασθε πῶς ἐπὶ τῶν προγόνων ταῦτ' εἶ-
χεν· οὐ γὰρ ἀλλοτρίοις ὑμῖν παραδείγμασι χρησαμέ-
νοις, ἀλλ' οἰκείοις ἔξεσθ' ἃ προσήκει πράττειν εἰδέναι.
ἐκεῖνοι Θεμιστοκλέα τὸν τὴν ἐν Σαλαμῖνι ναυμαχίαν
στρατηγοῦντα καὶ Μιλτιάδην τὸν ἡγούμενον Μαρα-
θῶνι καὶ πολλοὺς ἄλλους, οὐκ ἴσα τοῖς νῦν στρατηγοῖς
ἀγαθὰ εἰργασμένους, μὰ Δί' οὐ χαλκοῦς ἵστασαν οὐδ'
ὑπερηγάπων, ἀλλ' ὡς οὐδὲν αὑτῶν κρείττους ὄντας,*
22 *οὕτως ἐτίμων. καὶ γάρ τοι τῶν ἔργων οὐδενός, ὦ ἄν-
δρες Ἀθηναῖοι, τῶν τότ' ἀπεστέρησαν αὑτούς, οὐδ'
ἔστ' οὐδεὶς ὅστις ἂν εἴποι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν
Θεμιστοκλέους, ἀλλ' Ἀθηναίων, οὐδὲ τὴν ἐν Μαραθῶ-
νι μάχην Μιλτιάδου, ἀλλὰ τῆς πόλεως. νῦν δὲ πολλοὶ
τοῦτο λέγουσιν, ὡς Κέρκυραν εἷλε Τιμόθεος καὶ τὴν μό-
ραν κατέκοψεν Ἰφικράτης καὶ τὴν περὶ Νάξον ναυμα-
χίαν ἐνίκα Χαβρίας· δοκεῖτε γὰρ αὐτοὶ τῶν ἔργων τού-
των παραχωρεῖν τῶν τιμῶν ταῖς ὑπερβολαῖς αἷς δεδώ-*
23 *κατε ἐπ' αὐτοῖς ἑκάστῳ τούτων. τὰς μὲν δὴ πολιτικὰς* 173
*δωρεὰς οὕτως ἐκεῖνοί τε καλῶς ἔνεμον καὶ ὑμεῖς οὐκ
ὀρθῶς· τὰς δὲ τῶν ξένων πῶς; ἐκεῖνοι Μένωνι τῷ
Φαρσαλίῳ δώδεκα μὲν τάλαντα ἀργυρίου δόντι πρὸς
τὸν ἐπ' Ἠιόνι τῇ πρὸς Ἀμφιπόλει πόλεμον, διακοσίοις
δ' ἱππεῦσι πενέσταις ἰδίοις βοηθήσαντι, οὐκ ἐψηφί-*
24 *σαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδωκαν μόνον. καὶ
πρότερον τούτου Περδίκκα τῷ κατὰ τὴν τοῦ βαρβάρου*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ποτ' ἐπιστρατείαν βασιλεύοντι Μακεδονίας, τοὺς ἀνα-
χωροῦντας ἐκ Πλαταιῶν τῶν βαρβάρων ἀπὸ τῆς ἥττης
διαφθείραντι καὶ τέλειον τἀτύχημα ποιήσαντι τῷ βα-
σιλεῖ, οὐκ ἐψηφίσαντο πολιτείαν, ἀλλ' ἀτέλειαν ἔδω-
καν μόνον, μεγάλην καὶ τιμίαν, οἶμαι, καὶ σεμνὴν τὴν
αὑτῶν πατρίδα ἡγούμενοι καὶ πάσης μείζονα εὐεργε-
σίας. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, φθόρους ἀνθρώ-
πους οἰκοτρίβων οἰκότριβας, τιμὴν ὥσπερ ἄλλου του
25 τῶν ὠνίων λαμβάνοντες, ποιεῖσθε πολίτας. ταῦτα δ'
ὑμῖν ἐπελήλυθε πράττειν οὐχ ὅτι τὰς φύσεις χείρους
ἐστὲ τῶν προγόνων, ἀλλ' ὅτι τοῖς μὲν ἐφ' αὑτοῖς παρ-
ειστήκει μέγα φρονεῖν, ὑμῶν δ', ὦ ἄνδρες Ἀθηναῖοι,
περιῄρηται τοῦτο. ἔστι δ' οὐδέποτ', οἶμαι, δυνατὸν μι-
κρὰ καὶ φαῦλα πράττοντας μέγα καὶ νεανικὸν φρόνημα
λαβεῖν, ὥσπερ οὐδὲ λαμπρὰ καὶ καλὰ πράττοντας μι-
κρὸν καὶ ταπεινὸν φρονεῖν· ὁποῖ' ἄττα γὰρ ἂν τὰ ἐπι-
τηδεύματα τῶν ἀνθρώπων ᾖ, τοιοῦτον ἀνάγκη καὶ τὸ
φρόνημ' ἔχειν.

26 Σκέψασθε δὲ ἅ τις κεφαλαια ἂν ἔχοι τῶν πρα-
γμάτων εἰπεῖν, ἵν' ἀκούσαντες τῶν τ' ἐκείνοις πεπρα-
γμένων καὶ τῶν ὑμῖν, ἂν ἄρ' ὑμῶν αὐτῶν ἀλλ' ἐκ τού- 174
των γε δύνησθε γενέσθαι κρείττους. πέντε μὲν καὶ τετ-
ταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν ἑκόντων ἐκεῖνοι,
πλείω δ' ἢ μύρια τάλαντα εἰς τὴν ἀκρόπολιν ἀνήγαγον,
πολλὰ δὲ καὶ καλὰ καὶ πεζῇ καὶ ναυμαχοῦντες ἔστησαν
τρόπαια, ἐφ' οἷς ἔτι καὶ νῦν ἡμεῖς φιλοτιμούμεθα. καί-
τοι νομίζετε ταῦτα αὐτοὺς στῆσαι οὐχ ἵνα θαυμάζωμεν
ἡμεῖς θεωροῦντες αὐτά, ἀλλ' ἵνα καὶ μιμώμεθα τὰς
27 τῶν ἀναθέντων ἀρετάς. ἐκεῖνοι μὲν δὴ ταῦτα· ἡμεῖς δ',
ὅσης ἅπαντες ὁρᾶτε ἐρημίας ἐπειλημμένοι, σκέψασθε εἰ
παραπλήσια. οὐ πλείω μὲν ἢ χίλια καὶ πεντακόσια τά-
λαντα ἀνήλωται μάτην εἰς τοὺς τῶν ἄλλων Ἑλλήνων

Δημόσια Κεντρική Βιβλιοθήκη Βόλου

ἀπόρους, ἐξανήλωνται δὲ οἵ τ' ἴδιοι πάντες οἶκοι καὶ τὰ κοινὰ τῇ πόλει καὶ τὰ παρὰ τῶν συμμάχων, οὓς δ' ἐν τῷ πολέμῳ συμμάχους ἐκτησάμεθα, οὗτοι νῦν ἐν τῇ
28 εἰρήνῃ ἀπολώλασιν; ἀλλὰ νὴ Δία ταῦτα μόνον τότ' εἶχε βέλτιον ἢ νῦν, τὰ δ' ἄλλα χεῖρον. πολλοῦ γε καὶ δεῖ, ἀλλ' ὅ τι βούλεσθε ἐξετάσωμεν. οἰκοδομήματα μέν γε καὶ κόσμον τῆς πόλεως καὶ ἱερῶν καὶ λιμένων καὶ τῶν ἀκολούθων τούτοις τοιοῦτον καὶ τοσοῦτον κατέλιπον ἐκεῖνοι ὥστε μηδενὶ τῶν ἐπιγιγνομένων ὑπερβολὴν λελεῖφθαι, προπύλαια ταῦτα, νεώσοικοι, στοαί, τἆλλα, οἷς ἐκεῖνοι κοσμήσαντες τὴν πόλιν ἡμῖν παρέ-
29 δοσαν· τὰς δ' ἰδίας οἰκίας τῶν ἐν δυνάμει γενομένων οὕτω μετρίας καὶ τῷ τῆς πολιτείας ὀνόματι ἀκολούθους ὥστε τὴν Θεμιστοκλέους καὶ τὴν Κίμωνος καὶ τὴν Ἀριστείδου καὶ Μιλτιάδου καὶ τῶν τότε λαμπρῶν οἰκίαν, εἴ τις ἄρ' ὑμῶν οἶδεν ὁποία ποτ' ἐστίν, ὁρᾷ 17
30 τῆς τοῦ γείτονος οὐδὲν σεμνοτέραν οὖσαν. νῦν δ', ὦ ἄνδρες Ἀθηναῖοι, δημοσίᾳ μὲν ἡ πόλις ἡμῶν τὰς ὁδοὺς ἀγαπᾷ κατασκευάζουσα καὶ κρήνας καὶ κονιάματα καὶ λήρους (καὶ οὐ τοῖς εἰσηγησαμένοις ταῦτ' ἐπιτιμῶ, πολλοῦ γε καὶ δέω, ἀλλ' ὑμῖν, εἰ ταῦθ' ἱκανὰ ὑμῖν αὐτοῖς ὑπολαμβάνετε εἶναι διοικεῖν), ἰδίᾳ δ' οἱ τῶν κοινῶν ἐπὶ τῷ γεγενημένοι οἱ μὲν τῶν δημοσίων οἰκοδομημάτων σεμνοτέρας τὰς ἰδίας οἰκίας κατεσκευάκασιν, οὐ μόνον τῶν πολλῶν ὑπερηφανωτέρας, οἱ δὲ γῆν συνεωνημένοι γεωργοῦσιν ὅσην οὐδ' ὄναρ ἤλπισαν πώ-
31 ποτε. τούτων δ' αἴτιον ἁπάντων ὅτι τότε μὲν ὁ δῆμος δεσπότης ἦν καὶ κύριος ἁπάντων, καὶ ἀγαπητὸν ἦν παρ' ἐκείνου τῶν ἄλλων ἑκάστῳ καὶ τιμῆς καὶ ἀρχῆς καὶ ἀγαθοῦ τινὸς μεταλαμβάνειν, νῦν δὲ τοὐναντίον κύριοι μὲν τῶν ἀγαθῶν οὗτοι, καὶ διὰ τούτων ἅπαντα πράττεται, ὁ δὲ δῆμος ἐν ὑπηρέτου καὶ προσθήκης μέ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρει, καὶ ὑμεῖς ἀγαπᾶτε ἃ ἂν οὗτοι μεταδιδῶσι λαμβά-
νοντες.

32 Τοιγαροῦν ἐκ τούτων τοιαῦτα τὰ πράγματα τῆς
πόλεώς ἐστιν ὥστε, εἴ τις ἀναγνοίη τὰ ψηφίσματα ὑμῶν
καὶ τὰς πράξεις ἐφεξῆς διέλθοι, οὐδ᾽ ἂν εἷς πιστεῦσαι
τῶν αὐτῶν εἶναι ταῦτα κἀκεῖνα. οἷον ἃ πρὸς τοὺς κα-
ταράτους Μεγαρέας ἐψηφίσασθε ἀποτεμνομένους τὴν
ὀργάδα, ἐξιέναι, κωλύειν, μὴ ἐπιτρέπειν· ἃ πρὸς Φλια-
σίους, ὅτε ἐξέπεσον τὸ ἔναγχος, βοηθεῖν, μὴ ἐπιτρέ-
πειν τοῖς σφαγεῦσι, τῶν ἐν Πελοποννήσῳ τοὺς βουλο-
33 μένους παρακαλεῖν. ἅπαντα καλά, ὦ ἄνδρες Ἀθη-
ναῖοι, ταῦτα καὶ δίκαια καὶ τῆς πόλεως ἄξια· τὰ ἔργα 176
δὲ τὰ ἀπὸ τούτων οὐδαμοῦ. οὐκοῦν τὴν μὲν ἀπέχθειαν
διὰ τῶν ψηφισμάτων ἐκφέρεσθε, τῶν δ᾽ ἔργων οὐδε-
νὸς κύριοι γίγνεσθε· τὰ μὲν γὰρ ψηφίσματα πρὸς τὸ
τῆς πόλεως ἀξίωμα ψηφίζεσθε, τὴν δύναμιν δ᾽ οὐκ ἀκό-
34 λουθον ὧν ψηφίζεσθε ἔχετε. ἐγὼ δὲ παραινέσαιμ᾽ ἂν
ὑμῖν (καί μοι μηδὲν ὀργισθῆτε) ἢ ἔλαττον φρονεῖν καὶ
τὰ ὑμέτερ᾽ αὐτῶν ἀγαπᾶν πράττοντας, ἢ μείζω δύνα-
μιν παρασκευάζεσθαι. εἰ μὲν οὖν Σιφνίοις ἢ Κυθνί-
οις ἤ τισιν ἄλλοις τοιούτοις οὖσι συνῄδειν ὑμῖν, ἔλατ-
τον φρονεῖν συνεβούλευον ἄν, ἐπειδὴ δ᾽ ἔστ᾽ Ἀθηναῖ-
οι, τὸ τὴν δύναμιν παρασκευάσασθαι παραινῶ· αἰσ-
χρὸν γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, αἰσχρὸν λιπεῖν τὴν τοῦ
φρονήματος τάξιν, ἣν ὑμῖν οἱ πρόγονοι παρέδωκαν.
35 πρὸς δὲ τούτοις οὐδ᾽ ἐστὶν ἐφ᾽ ὑμῖν, οὐδ᾽ ἂν ἀποστῆ-
ναι τῶν Ἑλληνικῶν βούλησθε· πολλὰ γὰρ ὑμῖν ἐκ
παντὸς τοῦ χρόνου πέπρακται, καὶ τοὺς μὲν φίλους
τοὺς ὑπάρχοντας αἰσχρὸν προέσθαι, τοῖς δ᾽ οὖσιν ἐχ-
θροῖς οὐκ ἔνι πιστεῦσαι καὶ μεγάλους ἐᾶσαι γενέσθαι.
ὅλως δ᾽ ὅπερ οἱ πολιτευόμενοι πεπόνθασι πρὸς ὑμᾶς,
ουκ ἔνεστιν αὐτοῖς, ὅταν βούλωνται, παύσασθαι, τοῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

το καὶ ὑμῖν περιέστηκε· πεπολίτευσθε γὰρ ἐν τοῖς Ἕλλησιν.

36 Ἔστι δ', ὦ ἄνδρες Ἀθηναῖοι, κεφάλαιον ἁπάντων τῶν εἰρημένων· οὐδέποθ' ὑμᾶς οἱ λέγοντες οὔτε πονηροὺς οὔτε χρηστοὺς ποιοῦσιν, ἀλλ' ὑμεῖς τούτους, ὁπότερ' ἂν βούλησθε· οὐ γὰρ ὑμεῖς ὧν οὗτοι βούλονται στοχάζεσθε, ἀλλ' οὗτοι ὧν ἂν ὑμᾶς ἐπιθυμεῖν οἴωνται. ὑμᾶς οὖν ὑπάρξαι δεῖ χρηστὰ βουλομένους, καὶ πάνθ' ἕξει καλῶς· ἢ γὰρ οὐδεὶς ἐρεῖ φλαῦρον οὐδέν, 177
ἢ οὐδὲν αὐτῷ πλέον ἔσται μὴ ἔχοντι τοὺς πεισομένους.

---

## XIV.

## ΠΕΡΙ ΤΩΝ ΣΥΜΜΟΡΙΩΝ.

### ΥΠΟΘΕΣΙΣ.

Φήμης γενομένης τὸν Περσῶν βασιλέα παρασκευάζεσθαι στρατεύειν ἐπὶ τοὺς Ἕλληνας, ὁ μὲν τῶν Ἀθηναίων δῆμος κεκίνηται καὶ συγκαλεῖν ὥρμηται τοὺς Ἕλληνας καὶ τὸν πόλεμον ἐκφέρειν ἤδη, ὁ δὲ Δημοσθένης συμβουλεύει μὴ προεξανίστασθαι, ἀλλὰ ἀναμένειν τὸν βασιλέα νεωτερίσαι. νῦν μὲν γάρ, φησίν, οὐ πείσομεν τοὺς Ἕλληνας συμμαχεῖν ἡμῖν, ἐπ' ἀδείας εἶναι δοκοῦντας· τότε δὲ αὐτοὺς ὁ κίνδυνος αὐτὸς συστήσεται. παραινεῖ τοίνυν ἡσυχάζοντας συντάξασθαι καὶ πρὸς τὸν πόλεμον παρασκευάσασθαι, καὶ δὴ καὶ διέξεισιν ὃν τρόπον ἂν συνταχθεῖεν. ὅθεν καὶ περὶ συμμοριῶν ὁ λόγος ἐπιγράφεται· συμμορία γὰρ παρὰ τοῖς Ἀττικοῖς τὸ τῶν λειτουργούντων σύνταγμα.

---

Οἱ μὲν ἐπαινοῦντες, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς 178
προγόνους ὑμῶν λόγον εἰπεῖν μοι δοκοῦσι προαιρεῖσθαι κεχαρισμένον, οὐ μὴν συμφέροντά γ' ἐκείνοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὺς ἐγκωμιάζουσι ποιεῖν· περὶ γὰρ πραγμάτων ἐγχει-
ροῦντες λέγειν ὧν οὐδ' ἂν εἷς ἀξίως ἐφικέσθαι τῷ λό-
γῳ δύναιτο, αὐτοὶ μὲν τοῦ δύνασθαι λέγειν δόξαν ἐκ-
φέρονται, τὴν δ' ἐκείνων ἀρετὴν ἐλάττω τῆς ὑπειλημ-
μένης παρὰ τοῖς ἀκούουσι φαίνεσθαι ποιοῦσιν. ἐγὼ δ'
ἐκείνων μὲν ἔπαινον τὸν χρόνον ἡγοῦμαι μέγιστον, οὗ
πολλοῦ γεγενημένου μείζω τῶν ὑπ' ἐκείνων πραχθέν-
των οὐδένες ἄλλοι παραδείξασθαι δεδύνηνται. αὐτὸς
δὲ πειράσομαι τὸν τρόπον εἰπεῖν ὃν ἄν μοι δοκεῖτε μά-
λιστα δύνασθαι παρασκευάσασθαι. καὶ γὰρ οὕτως
ἔχει· εἰ μὲν ἡμεῖς ἅπαντες οἱ μέλλοντες λέγειν δεινοὶ
φανείημεν ὄντες, οὐδὲν ἂν τὰ ὑμέτερα εὖ οἶδ' ὅτι βέλ-
τιον σχοίη· εἰ δὲ παρελθὼν εἷς ὁστισοῦν δύναιτο δι-
δάξαι καὶ πεῖσαι τίς παρασκευὴ καὶ πόση καὶ πόθεν
πορισθεῖσα χρήσιμος ἔσται τῇ πόλει, πᾶς ὁ παρὼν φό-
βος λελύσεται. ἐγὼ δὲ τοῦτ', ἂν ἄρ' οἷός τε ὦ, πειρά-
σομαι ποιῆσαι, μικρὰ προειπὼν ὑμῖν ὡς ἔχω γνώμης
περὶ τῶν πρὸς τὸν βασιλέα.

Ἐγὼ νομίζω κοινὸν ἐχθρὸν ἁπάντων τῶν Ἑλλή-
νων εἶναι βασιλέα, οὐ μὴν διὰ τοῦτο παραινέσαιμ' ἂν
μόνοις τῶν ἄλλων ὑμῖν πόλεμον πρὸς αὐτὸν ἄρασθαι·
οὐδὲ γὰρ αὐτοὺς τοὺς Ἕλληνας ὁρῶ κοινοὺς ἀλλήλοις 179
ὄντας φίλους, ἀλλ' ἐνίους μᾶλλον ἐκείνῳ πιστεύοντας
ἢ τισιν αὐτῶν. ἐκ δὴ τούτων τοιούτων ὄντων νομίζω
συμφέρειν ὑμῖν τὴν μὲν ἀρχὴν τοῦ πολέμου ζητεῖν,
ὅπως ἴση καὶ δικαία γενήσεται, παρασκευάζεσθαι δ' ἃ
προσήκει πάντα, καὶ τοῦθ' ὑποκεῖσθαι τῇ γνώμῃ.
ἡγοῦμαι γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοὺς Ἕλληνας, εἰ
μὲν ἐναργές τι γένοιτο καὶ σαφὲς ὡς βασιλεὺς αὐτοῖς
ἐπιχειρεῖ, καὶ συμμαχήσειν καὶ χάριν μεγάλην ἕξειν
τοῖς πρὸ αὐτῶν καὶ μετ' αὐτῶν ἐκεῖνον ἀμυνομένοις·
εἰ δ' ἔτι ἀδήλου τούτου καθεστηκότος προαπεχθησό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μεθα ἡμεῖς, δέδια, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ τούτοις
μετ' ἐκείνου πολεμεῖν ἀναγκασθῶμεν, ὑπὲρ ὧν προ-
5 νοούμεθα. ὁ μὲν γὰρ ἐπισχὼν ὧν ὥρμηκεν, εἰ ἄρ'
ἐγχειρεῖν ἔγνωκε τοῖς Ἕλλησι, χρήματα δώσει τισὶν αὐ-
τῶν καὶ φιλίαν προτενεῖται, οἱ δὲ τοὺς ἰδίους πολέμους
ἐπανορθῶσαι βουλόμενοι καὶ τοῦτον τὸν νοῦν ἔχοντες
τὴν κοινὴν ἁπάντων σωτηρίαν παρόψονται. εἰς δὲ τὴν
ταραχὴν ταύτην καὶ τὴν ἀγνωμοσύνην παραινῶ μὴ
6 προκαθεῖναι τὴν πόλιν ἡμῶν. οὐδὲ γὰρ οὐδ' ἀπ' ἴσης
ὁρῶ τοῖς τ' ἄλλοις Ἕλλησι καὶ ὑμῖν περὶ τῶν πρὸς τὸν
βασιλέα τὴν βουλὴν οὖσαν, ἀλλ' ἐκείνων μὲν πολλοῖς
ἐνδέχεσθαί μοι δοκεῖ τῶν ἰδίᾳ τι συμφερόντων διοι-
κουμένοις τῶν ἄλλων Ἑλλήνων ἀμελῆσαι, ὑμῖν δ' οὐδ'
ἀδικουμένοις παρὰ τῶν ἀδικούντων καλόν ἐστι λαβεῖν
ταύτην τὴν δίκην, ἐᾶσαί τινας αὐτῶν ὑπὸ τῷ βαρβάρῳ
7 γενέσθαι. ὅτε δ' οὕτω ταῦτ' ἔχει, σκεπτέον ὅπως μήθ'
ἡμεῖς ἐν τῷ πολέμῳ γενησόμεθα οὐκ ἴσοι, μήτ' ἐκεῖνος,
ὃν ἡμεῖς ἐπιβουλεύειν ἡγούμεθα τοῖς Ἕλλησι, τὴν τοῦ 180
φίλος αὐτοῖς δοκεῖν εἶναι πίστιν λήψεται. πῶς οὖν
ταῦτ' ἔσται; ἂν ἡ μὲν δύναμις τῆς πόλεως ἐξητασμένη
καὶ παρεσκευασμένη πᾶσιν ᾖ φανερά, φαίνηται δὲ δί-
8 καια φρονεῖν ἐπὶ ταύτῃ τῇ προαιρέσει. τοῖς δὲ θρασυ-
νομένοις καὶ σφόδρα ἑτοίμως πολεμεῖν κελεύουσιν
ἐκεῖνο λέγω, ὅτι οὐκ ἔστι χαλεπὸν οὔθ' ὅταν βουλεύ-
εσθαι δέῃ, δόξαν ἀνδρείας λαβεῖν, οὔθ' ὅταν κίνδυνός
τις ἐγγὺς ᾖ, δεινὸν εἰπεῖν φανῆναι, ἀλλ' ἐκεῖνο καὶ
χαλεπὸν καὶ προσῆκον, ἐπὶ μὲν τῶν κινδύνων τὴν ἀν-
δρείαν ἐνδείκνυσθαι, ἐν δὲ τῷ συμβουλεύειν φρονιμώ-
9 τερα τῶν ἄλλων εἰπεῖν ἔχειν. ἐγὼ δ', ὦ ἄνδρες Ἀθη-
ναῖοι, νομίζω τὸν μὲν πόλεμον τὸν πρὸς βασιλέα χαλε-
πὸν τῇ πόλει, τὸν δ' ἀγῶνα τὸν ἐκ τοῦ πολέμου ῥᾴδιον
ἂν συμβάντα. διὰ τί; ὅτι τους μὲν πολέμους ἅπαντας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναγκαίως ἡγοῦμαι τριήρων καὶ χρημάτων καὶ τόπων
δεῖσθαι, ταῦτα δὲ πάντα ἀφθονώτερα ἐκεῖνον ἔχοντα
ἡμῶν εὑρίσκω· τοὺς δ' ἀγῶνας οὐδενὸς οὕτω τῶν ἄλλων
ὁρῶ δεομένους ὡς ἀνδρῶν ἀγαθῶν, τούτους δ' ἡμῖν
καὶ τοῖς μεθ' ἡμῶν κινδυνεύουσι πλείους ὑπάρχειν νο-
10 μίζω. τὸν μὲν δὴ πόλεμον διὰ ταῦτα παραινῶ μηδ' ἐξ
ἑνὸς τρόπου προτέρους ἀνελέσθαι, ἐπὶ δὲ τὸν ἀγῶν'
ὀρθῶς φημι παρεσκευασμένους ὑπάρχειν χρῆναι. εἰ
μὲν οὖν ἕτερός τις τρόπος ἦν δυνάμεως ᾧ τοὺς βαρβά-
ρους οἷόν τε ἦν ἀμύνασθαι, ἕτερος δέ τις ᾧ τοὺς Ἕλλη-
νας, εἰκότως ἂν ἴσως φανεροὶ πρὸς ἐκεῖνον ἐγιγνόμεθ'
11 ἀντιταττόμενοι· ἐπεὶ δὲ πάσης ἐστὶ παρασκευῆς ὁ αὐ-
τὸς τρόπος καὶ δεῖ ταὐτὰ εἶναι κεφάλαια τῆς δυνάμεως,
τοὺς ἐχθροὺς ἀμύνασθαι δύνασθαι, τοῖς οὖσι συμμά- 181
χοις βοηθεῖν, τὰ ὑπάρχοντ' ἀγαθὰ σῴζειν, τί τοὺς
ὁμολογουμένους ἐχθροὺς ἔχοντες ἑτέρους ζητοῦμεν,
ἀλλ' οὐ παρασκευαζόμεθα μὲν πρὸς τούτους, ἀμυνό-
12 μεθα δὲ κἀκεῖνον, ἂν ἡμᾶς ἀδικεῖν ἐπιχειρῇ; καὶ νῦν
μὲν καλεῖτε πρὸς ὑμᾶς αὐτοὺς τοὺς Ἕλληνας· ἂν δὲ
ἃ κελεύουσιν οὗτοι μὴ ποιῆτε, οὐχ ἡδέως ἐνίων ὑμῖν
ἐχόντων, πῶς χρὴ προσδοκᾶν τινὰ ὑπακούσεσθαι; ὅτι
νὴ Δί' ἀκούσονται παρ' ὑμῶν ὡς ἐπιβουλεύει βασι-
λεὺς αὐτοῖς. αὐτοὺς δ' οὐ προορᾶν ὦ πρὸς τοῦ Διὸς
οἴεσθε τοῦτο; ἐγὼ μὲν γὰρ οἶμαι. ἀλλ' οὔπω μείζων
οὗτός ἐσθ' ὁ φόβος τῶν πρὸς ὑμᾶς καὶ πρὸς ἀλλήλους
ἐνίοις διαφορῶν. οὐδὲν οὖν ἀλλ' ἢ ῥαψῳδήσουσιν οἱ
13 πρέσβεις περιιόντες. τότε δ', ἂν ἄρα ἃ νῦν οἰόμεθ'
ἡμεῖς πράττηται, οὐδεὶς δήπου τῶν πάντων Ἑλλήνων
τηλικοῦτον ἐφ' αὑτῷ φρονεῖ, ὅστις ὁρῶν ὑμῖν χιλίους
μὲν ἱππέας, ὁπλίτας δὲ ὅσους ἂν ἐθέλῃ τις, ναῦς δὲ
τριακοσίας, οὐχ ἥξει καὶ δεήσεται, μετὰ τούτων ἀσφα-
λέστατ' ἂν ἡγούμενος σωθῆναι. οὐκοῦν ἐκ μὲν τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καλεῖν ἤδη τὸ δεῖσθαι κἂν μὴ τύχητε ἀφαμαρτεῖν, ἐκ
δὲ τοῦ μετὰ τοῦ παρεσκευάσθαι τὰ ὑμέτερ' αὐτῶν ἐπι-
σχεῖν δεομένους σώζειν καὶ εὖ εἰδέναι πάντας ἥξοντάς
ἐστιν.

14 Ἐγὼ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτά τε καὶ
παραπλήσια τούτοις λογιζόμενος λόγον μὲν οὐδένα
ἐβουλόμην θρασὺν οὐδ' ἔχοντα μάταιον μῆκος εὑρεῖν·
τὴν μέντοι παρασκευήν, ὅπως ὡς ἄριστα καὶ τάχιστα
γενήσεται, πάνυ πολλὰ πράγματα ἔσχον σκοπῶν. οἶ-
μαι δὴ δεῖν ἀκούσαντας ὑμᾶς αὐτήν, ἂν ἀρέσκῃ, ψηφί- 183
σασθαι. ἔστι τοίνυν πρῶτον μὲν τῆς παρασκευῆς, ὦ
ἄνδρες Ἀθηναῖοι, καὶ μέγιστον οὕτω διακεῖσθαι τὰς
γνώμας ὑμᾶς ὡς ἕκαστον ἑκόντα προθύμως ὅ τι ἂν
15 δέῃ ποιήσοντα. ὁρᾶτε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι,
ὅσα μὲν πώποθ' ἅπαντες ἐβουλήθητε καὶ μετὰ ταῦτα
τὸ πράττειν αὐτὸς ἕκαστος ἑαυτῷ προσήκειν ἡγήσατο,
οὐδὲν πώποθ' ὑμᾶς ἐξέφυγεν, ὅσα δ' ἐβουλήθητε μέν,
μετὰ ταῦτα δ' ἀπεβλέψατε πρὸς ἀλλήλους ὡς αὐτὸς
μὲν ἕκαστος οὐ ποιήσων, τὸν δὲ πλησίον πράξοντα,
16 οὐδὲν πώποθ' ὑμῖν ἐγένετο. ἐχόντων δ' ὑμῶν οὕτω
καὶ παρωξυμμένων, τοὺς διακοσίους καὶ χιλίους ἀνα-
πληρῶσαί φημι χρῆναι καὶ ποιῆσαι δισχιλίους, ὀκτα-
κοσίους αὐτοῖς προσνείμαντας· ἐὰν γὰρ τοῦτ' ἀποδεί-
ξητε τὸ πλῆθος, ἡγοῦμαι, τῶν ἐπικλήρων καὶ τῶν ὀρ-
φανῶν καὶ τῶν κληρουχικῶν καὶ τῶν κοινωνικῶν καὶ
εἴ τις ἀδύνατος ἀφαιρεθέντων, ἔσεσθαι χίλια καὶ δια-
17 κόσια ταῦτα ὑμῖν σώματα. ἐκ τοίνυν τούτων οἶμαι
δεῖν ποιῆσαι συμμορίας εἴκοσιν, ὥσπερ νῦν εἰσιν,
ἑξήκοντα σώματ' ἔχουσαν ἑκάστην. τούτων δὲ τῶν
συμμοριῶν ἑκάστην διελεῖν κελεύω πέντε μέρη κατὰ
δώδεκα ἄνδρας, ἀνταναπληροῦντας πρὸς τὸν εὐπο-
ρώτατον ἀεὶ τοὺς ἀπορωτάτους. καὶ τὰ μὲν σώματα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα οὕτω συντετάχθαι φημὶ δεῖν· δι' ὃ δ', εἴσεσθε,
ἐπειδὰν ὅλον τὸν τρόπον τῆς συντάξεως ἀκούσητε· τὰς
18 δὲ τριήρεις πῶς; τὸν ἅπαντα ἀριθμὸν κελεύω τριακο-
σίας ἀποδείξαντας, κατὰ πεντεκαιδεκαναΐαν εἴκοσι ποι-
ῆσαι μέρη, τῶν πρώτων ἑκατὸν πέντε καὶ τῶν δευτέρων
ἑκατὸν πέντε καὶ τῶν τρίτων ἑκατὸν πέντε ἑκάστῳ μέ- 183
ρει διδόντας, εἶτα συγκληρῶσαι συμμορίᾳ σωμάτων
ἑκάστῃ τὴν πεντεκαιδεκαναΐαν, τὴν δὲ συμμορίαν ἑκά-
στῳ τῷ μέρει σφῶν αὐτῶν τρεῖς ἀποδοῦναι τριήρεις.
19 ἐπειδὰν δὲ ταῦθ' οὕτως ἔχοντα ὑπάρχῃ, κελεύω, ἐπειδὴ
τὸ τίμημά ἐστι τὸ τῆς χώρας ἑξακισχιλίων ταλάντων, ἵν'
ὑμῖν καὶ τὰ χρήματα ᾖ συντεταγμένα, διελεῖν τοῦτο καὶ
ποιῆσαι καθ' ἑξήκοντα τάλαντα ἑκατὸν μέρη, εἶτα
πέντε ἑξηκονταταλαντίας εἰς ἑκάστην τῶν μεγάλων
τῶν εἴκοσι συμμοριῶν ἐπικληρῶσαι, τὴν δὲ συμμορίαν
ἑκάστῳ τῶν μερῶν μίαν ἑξηκονταταλαντίαν ἀποδοῦ-
20 ναι, ὅπως ἂν μὲν ὑμῖν ἑκατὸν δέῃ τριήρων, τὴν μὲν
δαπάνην ἑξήκοντα τάλαντα συντελῇ, τριήραρχοι δ'
ὦσι δώδεκα, ἂν δὲ διακοσίων, τριάκοντα μὲν ᾖ τάλαν-
τα τὴν δαπάνην συντελοῦντα, ἓξ δὲ σώματα τριηραρ-
χοῦντα, ἐὰν δὲ τριακοσίων, εἴκοσι μὲν ᾖ τάλαντα τὴν
δαπάνην διαλύοντα, τέτταρα δὲ σώματα τριηραρχοῦν-
21 τα. τὸν αὐτὸν δὲ τρόπον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὰ
νῦν ὀφειλόμενα τῶν σκευῶν ἐπὶ τὰς τριήρεις τιμή-
σαντας ἅπαντα ἐκ τοῦ διαγράμματος νεῖμαι κελεύω
μέρη εἴκοσιν, ἔπειτα ταῖς μεγάλαις ἐπικληρῶσαι συμ-
μορίαις μέρος ἓν χρήστων ἑκάστῃ, τὴν δὲ συμμορίαν
ἑκάστην διανεῖμαι τῶν αὑτῆς μερῶν ἑκάστῳ τὸ ἴσον,
τοὺς δὲ δώδεκα τοὺς ἐν ἑκάστῳ τῷ μέρει ταῦτ' εἰσπρά-
ξαντας τὰς τριήρεις, ἃς ἂν ἕκαστοι λάχωσι, παρεσκευ-
22 ασμένας παρέχειν. τὴν μὲν δαπάνην καὶ τὰ σκάφη καὶ
τοὺς τριηράρχους καὶ τὴν τῶν σκευῶν εἴσπραξιν οὕ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τως ἂν ἄρισθ' ἡγοῦμαι καὶ πορισθῆναι καὶ παρασκευ-
ασθῆναι· πλήρωσιν δέ, ἣ καὶ σαφὴς ἔσται καὶ ῥᾳδία,
μετὰ ταῦτα λέγω. φημὶ τοὺς στρατηγοὺς δεῖν διανεῖ- 184
μαι τόπους δέκα τῶν νεωρίων, σκεψαμένους ὅπως ὡς
ἐγγύτατ' ἀλλήλων κατὰ τριάκοντ' ὦσι νεώσοικοι, ἐπει-
δὰν δὲ τοῦτο ποιήσωσι, δύο συμμορίας καὶ τριάκοντα
23 τριήρεις τούτων ἑκάστῳ προσνεῖμαι τῶν τόπων, εἶτ'
ἐπικληρῶσαι τὰς φυλάς, τὸν δὲ ταξίαρχον ἕκαστον ὃν
ἂν ἡ φυλὴ τόπον λάχῃ, διελεῖν τρίχα καὶ τὰς ναῦς
ὡσαύτως, εἶτ' ἐπικληρῶσαι τὰς τριττῦς, ὅπως ἂν τῶν
μὲν ὅλων νεωρίων ἓν ἑκάστη μέρος ᾖ τῶν φυλῶν, τοῦ δὲ
μέρους ἑκάστου τὸ τρίτον μέρος ἡ τριττὺς ἔχῃ, εἰδῆτε
δ', ἄν τι δέῃ, πρῶτον μὲν τὴν φυλήν, ὅπου τέτακται,
μετὰ ταῦτα δὲ τὴν τριττύν, εἶτα τριήραρχοι τίνες καὶ
τριήρεις ποῖαι, καὶ τριάκοντα μὲν ἡ φυλή, δέκα δ' ἡ
τριττὺς ἑκάστη τριήρεις ἔχῃ. ἐὰν γὰρ ταῦθ' οὕτως εἰς
ὁδὸν καταστῇ, εἴ τι καὶ παραλείπομεν νῦν (πάντα γὰρ
ἴσως εὑρεῖν οὐ ῥᾴδιον), αὐτὸ τὸ πρᾶγμα ἑαυτῷ εὑρήσει,
καὶ μία σύνταξις καὶ πασῶν τῶν νεῶν καὶ μέρους ἔσται.
24 Ὑπὲρ δὲ χρημάτων καὶ πόρου φανεροῦ τινὸς ἤδη
παράδοξον μὲν οἶδα λόγον μέλλων λέγειν, ὅμως δ' εἰ-
ρήσεται· πιστεύω γάρ, ἐάν τις ὀρθῶς σκοπῇ, μόνος
τἀληθῆ καὶ τὰ γενησόμενα εἰρηκὼς φανεῖσθαι. ἐγὼ
φημι χρῆναι μὴ λέγειν νυνὶ περὶ χρημάτων· εἶναι γὰρ
πόρον, ἂν δέῃ, μέγαν καὶ καλὸν καὶ δίκαιον, ὃν ἂν μὲν
ἤδη ζητῶμεν, οὐδ' εἰς τόθ' ὑπάρχειν ἡγησόμεθ' ἡμῖν·
οὕτω πολὺ τοῦ πορίσαι νῦν ἀποσχήσομεν· ἐὰν δ' ἐῶ-
μεν, ἔσται. τίς οὖν ἔσθ' οὗτος ὁ νῦν μὲν οὐκ ὤν,
ὑπάρξων δ' εἰς τότε; αἰνίγματι γὰρ ὅμοιον τοῦτό γε. 185
25 ἐγὼ φράσω. ὁρᾶτε τὴν πόλιν, ὦ ἄνδρες Ἀθηναῖοι, πᾶ-
σαν ταυτηνί. ἐν ταύτῃ χρήματ' ἔνεστιν ὀλίγου δέω
πρὸς ἁπάσας τὰς ἄλλας εἰπεῖν πόλεις. ταῦτα δ' οἱ κε-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κτημένοι τοιοῦτον ἔχουσι νοῦν ὥστ', εἰ πάντες οἱ ἐν-
ταυθὶ λέγοντες φοβοῖεν ὡς ἥξει βασιλεύς, ὡς πάρεστιν,
ὡς οὐχ οἷόν τε ταῦτ' ἄλλως ἔχειν, καὶ μετὰ τῶν λεγόν-
των ἴσοι τὸ πλῆθος τούτοις χρησμῳδοῖεν, οὐ μόνον
οὐκ ἂν εἰσενέγκαιεν, ἀλλ' οὐδ' ἂν δείξαιεν οὐδ' ἂν
26 ὁμολογήσαιεν κεκτῆσθαι. εἰ μέντοι τὰ νῦν διὰ τῶν λό-
γων φοβερὰ ἔργῳ πραττόμενα αἴσθοιντο, οὐδεὶς οὕ-
τως ἠλίθιός ἐστιν ὅστις οὐχ ἑκὼν ἂν δοίη καὶ πρῶτος
εἰσενέγκαι· τίς γὰρ αἱρήσεται μᾶλλον αὐτὸς καὶ τὰ ὄντ'
ἀπολωλέναι ἢ μέρος τῶν ὄντων ὑπὲρ αὑτοῦ καὶ τῶν
λοιπῶν εἰσενεγκεῖν; χρήματα μὲν δή φημι εἶναι τότε,
ἂν ὡς ἀληθῶς δέῃ, πρότερον δ' οὔ. διὸ μηδὲ ζητεῖν
27 παραινῶ· ὅσα γὰρ νυνὶ πορίσαιτ' ἄν, εἰ προέλοισθε
πορίζειν, πλείων ἐστὶ γέλως τοῦ μηδενός. φέρε γάρ,
ἑκατοστήν τις εἰσφέρειν ἐρεῖ νῦν; οὐκοῦν ἑξήκοντα τά-
λαντα. ἀλλὰ πεντηκοστήν τις ἐρεῖ, τὸ διπλοῦν; οὐκοῦν
ἑκατὸν καὶ εἴκοσι· καὶ τί τοῦτ' ἔστι πρὸς διακοσίας καὶ
χιλίας καμήλους, ἃς βασιλεῖ τὰ χρήματ' ἄγειν φασὶν
οὗτοι; ἀλλὰ θῶ βούλεσθε δωδεκάτην ἡμᾶς εἰσοίσειν,
πεντακόσια τάλαντα; ἀλλ' οὔτ' ἂν ἀνάσχοισθε οὔτ',
28 εἰ καταθεῖτε, ἄξια τοῦ πολέμου τὰ χρήματα. δεῖ τοίνυν
ὑμᾶς τὰ μὲν ἄλλα παρασκευάσασθαι, τὰ δὲ χρήματα
νῦν μὲν ἐᾶν τοὺς κεκτημένους ἔχειν (οὐδαμοῦ γὰρ ἂν
ἐν καλλίονι σῴζοιτο τῇ πόλει), ἐὰν δέ ποθ' οὗτος ὁ
καιρὸς ἔλθῃ, τότε ἑκόντων εἰσφερόντων αὐτῶν λαμβά- 186
νειν. ταῦτα δὲ καὶ δυνατά ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι,
καὶ πράττειν καλὰ καὶ συμφέροντα καὶ βασιλεῖ περὶ
ὑμῶν ἐπιτήδεια ἀπαγγελθῆναι, καὶ φόβος οὐκ ὀλίγος
29 γένοιτ' ἂν ἐκείνῳ διὰ τούτων. οἶδε μέν γε διακοσίαις
τριήρεσιν, ὧν ἑκατὸν παρεσχόμεθ' ἡμεῖς, τοὺς προγό-
νους αὐτοῦ χιλίας ἀπολέσαντας ναῦς, ἀκούσεται δὲ
τριακοσίας αὐτοὺς ἡμᾶς νῦν παρεσκευασμένους· ὥστε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μὴ κομιδῇ, μηδ' εἰ πάνυ μαίνοιτο, νομίσαι ῥᾴδιόν τι
τὸ τὴν ἡμετέραν πόλιν ἐχθρὰν ποιήσασθαι. ἀλλὰ μὴν
εἴ γ' ἐπὶ χρήμασιν αὐτῷ μέγ' ἐπέρχεται φρονεῖν, καὶ
ταύτην ἀσθενεστέραν ἀφορμὴν τῆς ὑμετέρας εὑρήσει.
30 ὁ μέν γε χρυσίον, ὥς φασιν, ἄγει πολυ. τοῦτο δὲ ἂν
διαδῷ ζητήσει· καὶ γὰρ τὰς κρήνας καὶ τὰ φρέατα ἐπι-
λείπειν πέφυκεν, ἐάν τις ἀπ' αὐτῶν ἀθρόα πολλὰ λαμ-
βάνῃ· ἡμῖν δὲ τὸ τῆς χώρας τίμημα ὑπάρχον ἀφορμὴν
[ἑξακισχίλια τάλαντα] ἀκούσεται, ὑπὲρ ἧς ὡς μὲν τοὺς
ἐπιόντας ἐκείνων ἀμυνούμεθα, οἱ Μαραθῶνι τῶν προ-
γόνων αὐτοῦ μάλιστ' ἂν εἰδεῖεν, ἕως δ' ἂν κρατῶμεν,
οὐκ ἔνι δήπου χρήμαθ' ἡμᾶς ἐπιλείπειν.
31 Καὶ μὴν οὐδ' ὅ τινες δεδίασι, μὴ ξενικὸν πολὺ συ-
στήσηται χρήματ' ἔχων, ἀληθὲς εἶναί μοι δοκεῖ. ἐγὼ
γὰρ ἡγοῦμαι ἐπὶ μὲν Αἴγυπτον καὶ Ὀρόνταν καί τινας
τῶν ἄλλων βαρβάρων πολλοὺς ἂν ἐθελῆσαι τῶν Ἑλλή-
νων μισθοφορεῖν παρ' ἐκείνῳ, οὐχ ἵν' ἐκεῖνος ἕλῃ τινὰ
τούτων, ἀλλ' ἵν' εὐπορίαν τινὰ ἕκαστος ἑαυτῷ κτησά-
μενος ἀπαλλαγῇ τῆς ὑπαρχούσης πενίας· ἐπὶ δὲ τὴν
Ἑλλάδα Ἕλληνα οὐδένα ἂν ἐλθεῖν ἡγοῦμαι· ποῖ γὰρ 187
αὐτὸς τρέψεται μετὰ ταῦτα; εἰς Φρυγίαν ἐλθὼν δου-
32 λεύσει; οὐ γὰρ ὑπὲρ ἄλλου τινός ἐστιν ὁ πρὸς τὸν βάρ-
βαρον πόλεμος ἢ περὶ χώρας καὶ βίου καὶ ἐθῶν καὶ
ἐλευθερίας καὶ πάντων τῶν τοιούτων. τίς οὖν οὕτως
δυστυχής ἐστιν ὅστις ἑαυτόν, γονέας, τάφους, πατρίδα
ἕνεκα κέρδους βραχέος προέσθαι βουλήσεται; ἐγὼ μὲν
οὐδένα ἡγοῦμαι. οὐ μὴν οὐδ' ἐκείνῳ συμφέρει ξένους
κρατῆσαι τῶν Ἑλλήνων· οἱ γὰρ ἡμῶν κρατήσαντες
ἐκείνου γε πάλαι κρείττους ὑπάρχουσι, βούλεται δ'
ἐκεῖνος οὐκ ἀνελὼν ἡμᾶς ἐπ' ἄλλοις εἶναι, ἀλλὰ μά-
λιστα μὲν πάντων, εἰ δὲ μή, τῶν γ' ὑπαρχόντων δού-
λων ἑαυτῷ νῦν ἄρχειν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰ τοίνυν τις οἴεται Θηβαίους ἔσεσθαι μετ' ἐκεί- ἔστι μὲν χαλεπὸς πρὸς ὑμᾶς ὁ περὶ τούτων λόγος· γὰρ τὸ μισεῖν αὐτοὺς οὐδ' ἂν ἀληθὲς οὐδὲν ἡδέως θὸν περὶ αὐτῶν ἀκούσαιτε· οὐ μὴν ἀλλὰ δεῖ τοὺς πραγμάτων μεγάλων σκοποῦντας μηδένα συμφέ- α λογισμὸν παραλιπεῖν διὰ μηδεμίαν πρόφασιν. τοίνυν οἶμαι τοσοῦτον ἀπέχειν Θηβαίους τοῦ μετ' ου ποτ' ἂν ἐλθεῖν ἐπὶ τοὺς Ἕλληνας ὥστε πολ- ἂν χρημάτων, εἰ ἔχοιεν δοῦναι, πρίασθαι γενέσθαι αὐτοῖς καιρὸν δι' οὗ τὰς προτέρας ἀναλύσονται τοὺς Ἕλληνας ἁμαρτίας. εἰ δ' ἄρα παντάπασί τις ος οἴεται φύσει δυστυχεῖς Θηβαίους εἶναι, ἐκεῖνό ήπουθεν ἅπαντες ἐπίστασθε, ὅτι Θηβαίων τἀκεί- φρονούντων ἀνάγκη τοὺς τούτων ἐχθροὺς τὰ τῶν ήνων φρονεῖν.

Ἡγοῦμαι τοίνυν ἐγὼ ταύτην τὴν τάξιν τοῦ δικαίου 185
τοὺς μετ' αὐτῆς ὄντας κρείττους τῶν προδοτῶν καὶ βαρβάρου ἔσεσθαι πρὸς ἅπαντας. ὥστ' οὔτε φο- θαί φημι δεῖν πέρα τοῦ μετρίου οὔθ' ὑπαχθῆναι τέρους ἐκφέρειν τὸν πόλεμον. καὶ μὴν οὐδὲ τῶν ον οὐδέν' ἂν εἰκότως Ἑλλήνων φοβηθέντα τὸν μον τοῦτον ὁρῶ· τίς γὰρ οὐκ οἶδεν αὐτῶν ὅτι ἕως κοινὸν ἐχθρὸν ἐκεῖνον ὑπειληφότες ὡμονόουν ἀλ- ις, πολλῶν ἀγαθῶν ἦσαν κύριοι, ἐπειδὴ δὲ φίλον ν νομίσαντες αὐτοῖς ὑπάρχειν περὶ τῶν πρὸς ἑαυ- διηνέχθησαν διαφόρων, ὅσ' ἂν οὐδὲ καταρώμε- εὗρέ τις αὐτοῖς, τοσαῦτα πεπόνθασι κακά; εἶθ' ὃν χη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέ- α δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς φοβώμεθα; αμῶς· ἀλλὰ μηδ' ἀδικῶμεν, αὐτῶν ἡμῶν ἕνεκα τῆς τῶν ἄλλων Ἑλλήνων ταραχῆς καὶ ἀπιστίας. εἴ γ' ὁμοθυμαδὸν ἦν μετὰ πάντων ἐπιθέσθαι μόνῳ,



Δημοτική Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' ἀδικεῖν ἡμᾶς ἐκεῖνον ἀδίκημ' ἂν ἔθηκα. ἐ
δὲ τοῦτ' οὐχ οὕτως ἔχει, φυλάττεσθαί φημι δεῖ
πρόφασιν δῶμεν βασιλεῖ τοῦ τὰ δίκαια ὑπὲρ τῶ
λων Ἑλλήνων ζητεῖν· ἡσυχίαν μὲν γὰρ ἐχόντων
ὕποπτος ἂν εἴη τοιοῦτό τι πράττων, πόλεμον δὲ
σαμένων προτέρων εἰκότως ἂν δοκοίη διὰ τὴν
38 ὑμᾶς ἔχθραν τοῖς ἄλλοις φίλος εἶναι βούλεσθαι
οὖν ἐξελέγξητε ὡς κακῶς ἔχει τὰ Ἑλληνικά, συ
λοῦντες ὅτ' οὐ πείσετε, καὶ πολεμοῦντες ὅτ' οὐ δ
σεσθε· ἀλλ' ἔχετε ἡσυχίαν θαρροῦντες καὶ παρα
αξόμενοι, καὶ βούλεσθε ἀπαγγέλλεσθαι περὶ ὑμῶν
βασιλέα μὴ μὰ Δία ὡς ἀποροῦσιν ἢ φοβοῦνται ἢ θ
39 βοῦνται πάντες οἱ Ἕλληνες καὶ Ἀθηναῖοι, πολλ
καὶ δεῖ, ἀλλ' ὅτι, εἰ μὲν μὴ τοῖς Ἕλλησιν ὁμοίως αἰσ
ἦν τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν ὥσπερ ἐκείνῳ κ
πάλαι ἂν ὑμεῖς ἐπ' αὐτὸν ἐπορεύεσθε, νῦν δὲ τ
μὲν οὐκ ἂν ποιήσαιτε ὑμῶν ἕνεκ' αὐτῶν, εὔχεσθε δ
σι τοῖς θεοῖς τὴν αὐτὴν λαβεῖν παράνοιαν ἐκεῖνο
περ ποτὲ τοὺς προγόνους αὐτοῦ. καὶ ταῦτ' ἂν ἐπίη
πεῖν αὐτῷ, οὐκ ὀλιγώρως ὑμᾶς βουλευομένους ε
40 σει. ἐκ μέν γε τῶν πρὸς τοὺς ἑαυτοῦ προγόνους π
μων σύνοιδε τὴν πόλιν εὐδαίμονα καὶ μεγάλην γ
νημένην, ἐκ δὲ τῆς ἡσυχίας ἧς ἦγε ποτέ, οὐδεμιᾶς
ἄλλων Ἑλληνίδων πόλεων τοσοῦτον ὅσον νῦν ὑπε
ρουσαν. καὶ μὴν καὶ τοὺς Ἕλληνας ὁρᾷ δεομένους
τινὸς ἑκουσίου ἢ ἀκουσίου διαλλακτοῦ, τοῦτον δ'
τὸν ἂν οἶδε φανέντ' αὐτοῖς, εἰ πόλεμον κινοίη.
καὶ γνώριμα καὶ πιστὰ αὐτῷ τῶν ἀπαγγελλό
ἀκούειν ἔσται.

41 Ἵνα δ', ὦ ἄνδρες Ἀθηναῖοι, μὴ μακρὰ λίαν λ
ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας ἄπ
παρασκευάζεσθαι μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθ

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

κελεύω, ἀμύνεσθαι δὲ βασιλέα καὶ πάντας, ἐὰν ἀδικεῖν ἐπιχειρῶσι, ταύτῃ τῇ αὐτῇ δυνάμει φημὶ δεῖν, ἄρχειν δὲ μηδενὸς μήτε λόγου μήτ' ἔργου ἀδίκου, τὰ δ' ἔργα ἡμῶν ὅπως ἄξια τῶν προγόνων ἔσται σκοπεῖν, μὴ τοὺς ἐπὶ τοῦ βήματος λόγους. κἂν ταῦτα ποιῆτε, καὶ ὑμῖν αὐτοῖς καὶ τοῖς τἀναντία πείθουσι συμφέροντα πράξετε· οὐ γὰρ ὀργιεῖσθε αὐτοῖς ὕστερον, νῦν ἁμαρτόντες.

---

## XV.

## ΥΠΕΡ ΤΗΣ ΡΟΔΙΩΝ ΕΛΕΥΘΕΡΙΑΣ. 190

### ΥΠΟΘΕΣΙΣ.

Τὸν συμμαχικὸν κληθέντα πόλεμον ἤραντο πρὸς Ἀθηναίους Χῖοι καὶ Ῥόδιοι καὶ Βυζάντιοι, πρότερον μὲν αὐτῶν ὑπήκοοι γεγονότες, τότε δὲ ἀλλήλοις συμμαχίαν πεποιημένοι κατὰ τῶν Ἀθηναίων. γείτονες δὲ ὄντες οἱ Ῥόδιοι τῇ Καρίᾳ πρὸς τὸν ταύτης ὕπαρχον Μαύσωλον οἰκείως ἔχειν ἐδόκουν. ὁ δὲ κατ' ὀλίγον πιστευόμενος ὑπ' αὐτῶν ἐπιβουλὴν κατὰ τοῦ δήμου συνεστήσατο, καὶ τὴν δημοκρατίαν τῶν Ῥοδίων ἀφελόμενος ὀλίγοις τοῖς δυνατωτέροις τὴν πόλιν κατεδούλωσε. συμβουλεύει τοίνυν ὁ Δημοσθένης μὴ περιορᾶν ταῦτα, ἀλλὰ βοηθεῖν τῷ δήμῳ τῶν Ῥοδίων, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ δημοκρατεῖσθαι τὰς πόλεις. εἰ δὲ ἠδικήκασιν ἡμᾶς, φησίν, Ῥόδιοι, ἀλλὰ πρέπον ἐστὶν ἡμῖν καὶ σύνηθες τὸ καὶ τοὺς λυπήσαντάς τι τῶν Ἑλλήνων ἐλευθεροῦν καὶ μὴ μνησικακεῖν ἁμαρτάνουσιν εἰς τὴν πόλιν.

---

Οἶμαι δεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τηλικούτων βουλευομένους διδόναι παρρησίαν ἑκάστῳ τῶν συμβουλευόντων. ἐγὼ δ' οὐδεπώποτε ἡγησάμην



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαλεπὸν τὸ διδάξαι τὰ βέλτιστα ὑμᾶς (ὡς γὰρ εἰπεῖ
ἁπλῶς, ἅπαντες ὑπάρχειν ἐγνωκότες μοι δοκεῖτε,) ἀλ-
λὰ τὸ πεῖσαι πράττειν ταῦτα· ἐπειδὰν γάρ τι δόξῃ κα
ψηφισθῇ, τότε ἴσον τοῦ πραχθῆναι ἀπέχει ὅσονπε
2 πρὶν δόξαι. ἔστι μὲν οὖν ἓν ὧν ἐγὼ νομίζω χάριν ὑμᾶ
τοῖς θεοῖς ὀφείλειν, τὸ τοὺς διὰ τὴν αὑτῶν ὕβριν ὑμῖ
πολεμήσαντας οὐ πάλαι, νῦν ἐν ὑμῖν μόνοις τῆς αὑ-
τῶν σωτηρίας ἔχειν τὰς ἐλπίδας. ἄξιον δ' ἡσθῆναι τ
παρόντι καιρῷ· συμβήσεται γὰρ ὑμῖν, ἐὰν ἃ χρὴ βου-
λεύσησθε περὶ αὐτοῦ, τὰς παρὰ τῶν διαβαλλόντω
τὴν πόλιν ἡμῶν βλασφημίας ἔργῳ μετὰ δόξης καλῆ
3 ἀπολύσασθαι. ᾐτιάσαντο μὲν γὰρ ἡμᾶς ἐπιβουλεύει
αὐτοῖς Χῖοι καὶ Βυζάντιοι καὶ Ῥόδιοι, καὶ διὰ ταῦτ
συνέστησαν ἐφ' ἡμᾶς τὸν τελευταῖον τουτονὶ πόλεμον
φανήσεται δ' ὁ μὲν πρυτανεύσας ταῦτα καὶ πείσα
Μαύσωλος, φίλος εἶναι φάσκων Ῥοδίων, τὴν ἐλευθε-
ρίαν αὐτῶν ἀφῃρημένος, οἱ δ' ἀποδείξαντες ἑαυτοὺ
συμμάχους Χῖοι καὶ Βυζάντιοι τοῖς ἀτυχήμασιν αὐτῶ
4 οὐ βεβοηθηκότες, ὑμεῖς δ', οὓς ἐφοβοῦντο, μόνοι τῶ
πάντων τῆς σωτηρίας αὐτοῖς αἴτιοι. ἐκ δὲ τοῦ ταῦθ
ὑφ' ἁπάντων ὀφθῆναι ποιήσετε τοὺς πολλοὺς ἐν ἁπά-
σαις ταῖς πόλεσι τοῦτο ποιεῖσθαι σύμβολον τῆς αὐτῶ
σωτηρίας, ἐὰν ὑμῖν ὦσι φίλοι· οὗ μεῖζον οὐδὲν ἂν ὑμῖ
γένοιτο ἀγαθὸν ἢ παρὰ πάντων ἑκόντων ἀνυπόπτο
τυχεῖν εὐνοίας.

5 Θαυμάζω δ' ὅτι τοὺς αὐτοὺς ὁρῶ ὑπὲρ μὲν Αἰγυ-
πτίων τἀναντία πράττειν βασιλεῖ τὴν πόλιν πείθοντας
ὑπερ δὲ τοῦ Ῥοδίων δήμου φοβουμένους τὸν ἄνδρ
τοῦτον. καίτοι τοὺς μὲν Ἕλληνας ὄντας ἅπαντες ἴσασ
6 τοὺς δ' ἐν τῇ ἀρχῇ τῇ ἐκείνου μεμερισμένους. οἶμαι δ
ὑμῶν μνημονεύειν ἐνίους ὅτι, ἡνίκ' ἐβουλεύεσθε ὑπὲ
τῶν βασιλικῶν, παρελθὼν πρῶτος ἐγὼ παρῄνεσα, οἶμα

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καὶ μόνος ἢ δεύτερος εἰπεῖν, ὅτι μοι σωφρονεῖν ἂν δοκοῖτε, εἰ τὴν πρόφασιν τῆς παρασκευῆς μὴ τὴν πρὸς ἐκεῖνον ἔχθραν ποιοῖσθε, ἀλλὰ παρασκευάζοισθε μὲν πρὸς τοὺς ὑπάρχοντας ἐχθρούς, ἀμύνοισθε δὲ κἀκεῖνον, ἐὰν ὑμᾶς ἀδικεῖν ἐπιχειρῇ. καὶ οὐκ ἐγὼ μὲν εἶπον ταῦθ', ὑμῖν δ' οὐκ ἐδόκουν ὀρθῶς λέγειν, ἀλλὰ καὶ ὑμῖν ἤρεσκε ταῦτα. ἀκόλουθος τοίνυν ὁ νῦν λόγος ἐστί μοι τῷ τότε ῥηθέντι. ἐγὼ γάρ, εἰ βασιλεὺς παρ' αὑτὸν ὄντα με σύμβουλον ποιοῖτο, ταῦτ' ἂν αὐτῷ παραινέσαιμι ἅπερ ὑμῖν, ὑπὲρ μὲν τῶν αὑτοῦ πολεμεῖν, ἐάν τις ἐναντιῶται τῶν Ἑλλήνων, ὧν δὲ μηδὲν αὐτῷ προσήκει, τούτων μηδ' ἀντιποιεῖσθαι τὴν ἀρχήν. εἰ μὲν οὖν ὅλως ἐγνώκατε, ὦ ἄνδρες Ἀθηναῖοι, ὅσων ἂν βασιλεὺς ἐγκρατὴς γένηται φθάσας ἢ παρακρουσάμενός τινας τῶν ἐν ταῖς πόλεσι, παραχωρεῖν, οὐ καλῶς ἐγνώκατε, ὡς ἐγὼ κρίνω· εἰ δ' ὑπὲρ τῶν δικαίων καὶ πολεμεῖν, ἂν τούτου δέῃ, καὶ πάσχειν ὁτιοῦν οἴεσθε χρῆναι, πρῶτον μὲν ὑμῖν ἧττον δεήσει τούτων, ὅσῳ ἂν μᾶλλον ἐγνωκότες ἦτε ταῦτα, ἔπειθ' ἃ προσήκει φρονεῖν δόξετε.

Ὅτι δ' οὐδὲν καινὸν οὔτ' ἐγὼ λέγω νῦν κελεύων Ῥοδίους ἐλευθεροῦν, οὔθ' ὑμεῖς, ἂν πεισθῆτέ μοι, ποιήσετε, τῶν γεγενημένων ὑμᾶς τι καὶ συνενηνοχότων ὑπομνήσω. ὑμεῖς ἐξεπέμψατε Τιμόθεόν ποτε, ὦ ἄνδρες Ἀθηναῖοι, βοηθήσοντα Ἀριοβαρζάνῃ, προσγράψαντες τῷ ψηφίσματι "μὴ λύοντα τὰς σπονδὰς τὰς
"πρὸς τὸν βασιλέα." ἰδὼν δ' ἐκεῖνος τὸν μὲν Ἀριοβαρ- 193
ζάνην φανερῶς ἀφεστῶτα βασιλέως, Σάμον δὲ φρουρουμένην ὑπὸ Κυπροθέμιδος, ὃν κατέστησε Τιγράνης ὁ βασιλέως ὕπαρχος, τῷ μὲν ἀπέγνω μὴ βοηθεῖν, τὴν δὲ προσκαθεζόμενος καὶ βοηθήσας ἠλευθέρωσε· καὶ μέχρι τῆς τήμερον ἡμέρας οὐ γέγονε πόλεμος διὰ ταῦθ'

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὑμῖν. οὐ γὰρ ὁμοίως οὐδεὶς ὑπέρ τε τοῦ πλεονεκτεῖν πολεμήσειεν ἂν καὶ τῶν ἑαυτοῦ, ἀλλ' ὑπὲρ μὲν ὧν ἐλαττοῦνται μέχρι τοῦ δυνατοῦ πάντες πολεμοῦσιν, ὑπὲρ δὲ τοῦ πλεονεκτεῖν οὐχ οὕτως, ἀλλ' ἐφίενται μέν, ἐάν τις ἐᾷ, ἐὰν δὲ κωλυθῶσιν, οὐδὲν ἠδικηκέναι τοὺς ἐναντιωθέντας αὐτοῖς ἡγοῦνται.

11 Ὅτι δ' οὐδ' ἂν ἐναντιωθῆναί μοι δοκεῖ τῇ πράξει ταύτῃ νῦν Ἀρτεμισία τῆς πόλεως οὔσης ἐπὶ τῶν πραγμάτων, μικρὰ ἀκούσαντες σκοπεῖτε, εἴτ' ὀρθῶς λογίζομαι ταῦτ' εἴτε μή. ἐγὼ νομίζω πράττοντος μὲν ἐν Αἰγύπτῳ πάνθ', ὡς ὥρμηκε, βασιλέως σφόδρα ἂν Ἀρτεμισίαν πειραθῆναι περιποιῆσαι Ῥόδον αὐτῷ, οὐ τῇ βασιλέως εὐνοίᾳ, ἀλλὰ τῷ βούλεσθαι πλησίον αὐτῆς διατρίβοντος ἐκείνου μεγάλην εὐεργεσίαν καταθέσθαι
12 πρὸς αὐτόν, ἵν' ὡς οἰκειότατ' αὐτὴν ἀποδέχηται· πράττοντος δ' ὡς λέγεται, καὶ διημαρτηκότος οἷς ἐπεχείρησεν, ἡγεῖσθαι τὴν νῆσον ταύτην, ὅπερ ἔστιν, ἄλλο μὲν οὐδὲν ἂν εἶναι βασιλεῖ χρησίμην ἐν τῷ παρόντι, τῆς δ' αὐτῆς ἀρχῆς ἐπιτείχισμα πρὸς τὸ μηδ' ὁτιοῦν παρακινεῖν. ὥστε μοι δοκεῖ μᾶλλον ἂν ὑμᾶς ἔχειν μὴ φανερῶς αὐτῆς ἐνδούσης ἢ 'κεῖνον λαβεῖν βούλεσθαι. οἶμαι 194
μὲν οὖν οὐδὲ βοηθήσειν αὐτήν, ἂν δ' ἄρα τοῦτο ποιῇ,
13 φαύλως καὶ κακῶς· ἐπεὶ καὶ βασιλέα γ' ὅ τι μὲν ποιήσει μὰ Δί' οὐκ ἂν εἴποιμι ἔγωγ' ὡς οἶδα, ὅτι μέντοι συμφέρει τῇ πόλει δῆλον ἤδη γενέσθαι πότερα ἀντιποιήσεται τῆς πόλεως τῆς Ῥοδίων ἢ οὔ, τοῦτ' ἂν ἰσχυρισαίμην· οὐ γὰρ ὑπὲρ Ῥοδίων βουλευτέον, ὅταν ἀντιποιῆται, μόνον, ἀλλ' ὑπὲρ ὑμῶν αὐτῶν καὶ τῶν πάντων Ἑλλήνων.

14 Οὐ μὴν οὐδ' ἂν εἰ δι' αὐτῶν εἶχον τὴν πόλιν οἱ νυν ὄντες ἐν αὐτῇ Ῥόδιοι, παρῄνεσα ἂν ὑμῖν τούτους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐλέσθαι, οὐδ' εἰ πάνθ' ὑπισχνοῦντο ὑμῖν ποιήσειν. ὁρῶ γὰρ αὐτοὺς τὸ μὲν πρῶτον, ὅπως καταλύσωσι τὸν δῆμον, προσλαβόντας τινὰς τῶν πολιτῶν, ἐπειδὴ δὲ τοῦτ' ἔπραξαν, πάλιν ἐκβαλόντας τούτους· τοὺς οὖν μηδετέροις πιστῶς κεχρημένους οὐδ' ἂν ὑμῖν βεβαίους
15 ἡγοῦμαι γενέσθαι συμμάχους. καὶ ταῦτ' οὐδέποτ' εἶπον ἄν, εἰ τῷ Ῥοδίων δήμῳ μόνον ἡγούμην συμφέρειν· οὔτε γὰρ προξενῶ τῶν ἀνδρῶν οὔτ' ἰδίᾳ ξένος αὐτῶν οὐδείς ἐστί μοι. οὐ μὴν οὐδ' εἰ ταῦτ' ἀμφότερ' ἦν, εἰ μὴ συμφέρειν ὑμῖν ἡγούμην, εἶπον ἄν, ἐπεὶ Ῥοδίοις γ', εἰ οἷόν τε τοῦτ' εἰπεῖν τῷ συναγορεύοντι τῇ σωτηρίᾳ αὐτῶν, συγχαίρω τῶν γεγενημένων. τοῦ κομίσασθαι γὰρ τὰ ὑμέτερ' ὑμῖν φθονήσαντες τὴν ἑαυτῶν ἐλευθερίαν ἀπολωλέκασι, καὶ παρὸν αὐτοῖς Ἕλλησι καὶ βελτίοσιν αὐτῶν ὑμῖν ἐξ ἴσου συμμαχεῖν, βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δου-
16 λεύουσιν. ὀλίγου δὲ δέω λέγειν, ἐὰν αὐτοῖς ὑμεῖς ἐθε-
λήσητε βοηθῆσαι, ὡς καὶ συνενήνοχε ταῦτ' αὐτοῖς· εὖ 195
μὲν γὰρ πράττοντες οὐκ οἶδ' εἴποτ' ἂν εὖ φρονῆσαι ἠθέλησαν, ὄντες Ῥόδιοι, ἔργῳ δὲ πειραθέντες καὶ διδαχθέντες ὅτι πολλῶν κακῶν ἡ ἄνοια αἰτία τοῖς πολλοῖς γίγνεται, τάχ' ἄν, εἰ τύχοιεν, σωφρονέστεροι πρὸς τὸν λοιπὸν τοῦ χρόνου γένοιντο. τοῦτο δ' οὐχὶ μικρὰν ὠφέλειαν αὐτοῖς ἡγοῦμαι. φημὶ δὴ χρῆναι πειρᾶσθαι σῴζειν τοὺς ἄνδρας καὶ μὴ μνησικακεῖν, ἐνθυμουμένους ὅτι πολλὰ καὶ ὑμεῖς ὑπὸ τῶν ἐπιβουλευσάντων ἐξηπάτησθε, ὧν οὐδενὸς αὐτοὶ δοῦναι δίκην δίκαιοι ἂν εἶναι φήσαιτε.

17 Ὁρᾶτε δὲ κἀκεῖνο, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι πολλοὺς ὑμεῖς πολέμους πεπολεμήκατε καὶ πρὸς δημοκρατίας καὶ πρὸς ὀλιγαρχίας. καὶ τοῦτο μὲν ἴστε καὶ αὐτοί· ἀλλ' ὑπὲρ ὧν πρὸς ἑκατέρους ἔσθ' ὑμῖν ὁ πόλεμος,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦτ' ἴσως ὑμῶν οὐδεὶς λογίζεται. ὑπὲρ τίνων
ἐστίν; πρὸς μὲν τοὺς δήμους ἢ περὶ τῶν ἰδίων ἐγ
μάτων, οὐ δυνηθέντων δημοσίᾳ διαλύσασθαι τ
ἢ περὶ γῆς μέρους ἢ ὅρων ἢ φιλονεικίας ἢ τῆς ἡγ
νίας· πρὸς δὲ τὰς ὀλιγαρχίας ὑπὲρ μὲν τούτων
18 νός, ὑπὲρ δὲ τῆς πολιτείας καὶ τῆς ἐλευθερίας·
ἔγωγ' οὐκ ἂν ὀκνήσαιμι εἰπεῖν μᾶλλον ἡγεῖσθαι
φέρειν δημοκρατουμένους τοὺς Ἕλληνας ἅπαντα
λεμεῖν ὑμῖν ἢ ὀλιγαρχουμένους φίλους εἶναι. πρ
γὰρ ἐλευθέρους ὄντας οὐ χαλεπῶς ἂν εἰρήνην
ποιήσασθαι νομίζω, ὁπότε βουληθείητε, πρὸς δ
γαρχουμένους οὐδὲ τὴν φιλίαν ἀσφαλῆ νομίζω· ο
ἔσθ' ὅπως ὀλίγοι πολλοῖς καὶ ζητοῦντες ἄρχειν
μετ' ἰσηγορίας ζῆν ᾑρημένοις εὖνοι γένοιντ' ἄν.
19 Θαυμάζω δ' εἰ μηδεὶς ὑμῶν ἡγεῖται Χίων ὀλ
χουμένων καὶ Μυτιληναίων, καὶ νυνὶ Ῥοδίων καὶ
των ἀνθρώπων ὀλίγου δέω λέγειν εἰς ταύτην τὴν
λείαν ὑπαγομένων, συγκινδυνεύειν τὴν παρ' ἡμῖ
λιτείαν, μηδὲ λογίζεται τοῦθ', ὅτι οὐκ ἔστιν ὅπ
δι' ὀλιγαρχίας ἅπαντα συστήσεται, τὸν παρ' ὑμῖ
μον ἐάσουσιν. ἴσασι γὰρ οὐδένας ἄλλους πάλ
ἐλευθερίαν τὰ πράγματ' ἐπανάξοντας· ὅθεν δὴ
αὐτοῖς ἄν τι γενέσθαι προσδοκῶσι, τούτους ἀ
20 βουλήσονται. τοὺς μὲν οὖν ἄλλους τοὺς ἀδικοῦ
τινας αὐτῶν τῶν κακῶς πεπονθότων ἐχθροὺς
σθαι χρή· τοὺς δὲ τὰς πολιτείας καταλύοντας καὶ
ιστάντας εἰς ὀλιγαρχίαν κοινοὺς ἐχθροὺς πα
νομίζειν ἁπάντων τῶν ἐλευθερίας ἐπιθυμού
21 ἔπειτα καὶ δίκαιον, ὦ ἄνδρες Ἀθηναῖοι, δημοκρ
μένους αὐτοὺς τοιαῦτα φρονοῦντας φαίνεσθαι
τῶν ἀτυχούντων δήμων, οἷάπερ ἂν τοὺς ἄλλους
σαιτε φρονεῖν περὶ ὑμῶν, εἴ ποθ', ὃ μὴ γένοιτο, τ

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

συμβαίη. καὶ γὰρ εἰ δίκαιά τις φήσει Ῥοδίους πε-
νθέναι, οὐκ ἐπιτήδειος ὁ καιρὸς ἐφησθῆναι· δεῖ γὰρ
ὺς εὐτυχοῦντας περὶ τῶν ἀτυχούντων ἀεὶ φαίνεσθαι
βέλτιστα βουλευομένους, ἐπειδήπερ ἄδηλον τὸ μέλ-
ν ἅπασιν ἀνθρώποις.

Ἀκούω δ' ἐγὼ πολλάκις ἐνταυθὶ παρ' ὑμῖν τινῶν
γόντων ὡς, ὅτε ἠτύχησεν ὁ δῆμος ἡμῶν, συνεβου-
θησάν τινες αὐτὸν σωθῆναι· ὧν ἐγὼ μόνων Ἀργεί-
ν ἐν τῷ παρόντι μνησθήσομαι βραχύ τι. οὐ γὰρ ἂν
μᾶς βουλοίμην, δόξαν ἔχοντας τοῦ σώζειν τοὺς ἀτυ-
οῦντας ἀεί, χείρους Ἀργείων ἐν ταύτῃ τῇ πράξει φα- 197
ῆναι, οἳ χώραν ὅμορον τῇ Λακεδαιμονίων οἰκοῦντες,
ρῶντες ἐκείνους γῆς καὶ θαλάττης ἄρχοντας, οὐκ
ώκνησαν οὐδ' ἐφοβήθησαν εὐνοϊκῶς ὑμῖν ἔχοντες
ανῆναι, ἀλλὰ καὶ πρέσβεις ἐλθόντας ἐκ Λακεδαίμο-
ος, ὥς φασιν, ἐξαιτήσοντάς τινας τῶν φυγάδων τῶν
μετέρων ἐψηφίσαντο, ἐὰν μὴ πρὸ ἡλίου δύντος ἀπαλ-
άττωνται, πολεμίους κρίνειν. εἶτ' οὐκ αἰσχρόν, ὦ
νδρες Ἀθηναῖοι, εἰ τὸ μὲν Ἀργείων πλῆθος οὐκ ἐφο-
ήθη τὴν Λακεδαιμονίων ἀρχὴν ἐν ἐκείνοις τοῖς και-
οῖς οὐδὲ τὴν ῥώμην, ὑμεῖς δ' ὄντες Ἀθηναῖοι βάρβα-
ον ἄνθρωπον, καὶ ταῦτα γυναῖκα, φοβήσεσθε; καὶ
ὴν οἱ μὲν ἔχοιεν ἂν εἰπεῖν ὅτι πολλάκις ἥττηνται ὑπὸ
ακεδαιμονίων, ὑμεῖς δὲ νενικήκατε μὲν πολλάκις βα-
λέα, ἥττησθε δ' οὐδ' ἅπαξ οὔθ' ὑπὸ τῶν δούλων τῶν
ασιλέως οὔτ' αὐτοῦ ἐκείνου· εἰ γάρ τί που κεκράτηκε
ῆς πόλεως βασιλεύς, ἢ τοὺς πονηροτάτους τῶν Ἑλλή-
ων καὶ προδότας αὐτῶν χρήμασι πείσας ἢ οὐδαμῶς
λλως κεκράτηκεν. καὶ οὐδὲ τοῦτ' αὐτῷ συνενήνοχεν·
λλ' ἅμα εὑρήσετε αὐτὸν τήν τε πόλιν διὰ Λακεδαιμο-
ίων ἀσθενῆ ποιήσαντα καὶ περὶ τῆς αὐτοῦ βασιλείας
ινδυνεύσαντα πρὸς Κλέαρχον καὶ Κῦρον. οὔτ' οὖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐκ φανεροῦ κεκράτηκεν οὔτ' ἐπιβουλεῦσαι συνενήνο-
χεν αὐτῷ. ὁρῶ δ' ὑμῶν ἐνίους Φιλίππου μὲν ὡς ἄρ'
οὐδενὸς ἀξίου πολλάκις ὀλιγωροῦντας, βασιλέα δ' ὡς
ἰσχυρὸν ἐχθρὸν οἷς ἂν προέληται φοβουμένους. εἰ δὲ
τὸν μὲν ὡς φαῦλον οὐκ ἀμυνούμεθα, τῷ δὲ ὡς φοβε-
ρῷ πάνθ' ὑπείξομεν, πρὸς τίνας, ὦ ἄνδρες Ἀθηναῖοι,
παραταξόμεθα;

25 Εἰσὶ δέ τινες, ὦ ἄνδρες Ἀθηναῖοι, παρ' ὑμῖν δει-
νότατοι τὰ δίκαια λέγειν ὑπὲρ τῶν ἄλλων πρὸς ὑμᾶς,
οἷς παραινέσαιμ' ἂν ἔγωγε τοσοῦτον μόνον, ὑπὲρ ὑμῶν
πρὸς τοὺς ἄλλους ζητεῖν τὰ δίκαια λέγειν, ἵν' αὐτοὶ τὰ
προσήκοντα πρῶτοι φαίνωνται ποιοῦντες· ὡς ἔστιν
ἄτοπον περὶ τῶν δικαίων ὑμᾶς διδάσκειν αὐτὸν οὐ δί-
καια ποιοῦντα· οὐ γάρ ἐστι δίκαιον ὄντα πολίτην τοὺς
καθ' ὑμῶν λόγους, ἀλλὰ μὴ τοὺς ὑπὲρ ὑμῶν ἐσκέφθαι.
26 φέρε γὰρ πρὸς θεῶν σκοπεῖτε, τί δήποτ' ἐν Βυζαντίῳ
οὐδείς ἐσθ' ὁ διδάξων ἐκείνους μὴ καταλαμβάνειν Χαλ-
κηδόνα, ἣ βασιλέως μέν ἐστιν, εἴχετε δ' αὐτὴν ὑμεῖς,
ἐκείνοις δ' οὐδαμόθεν προσῆκε· μηδὲ Σηλυβρίαν, πό-
λιν ὑμετέραν ποτὲ σύμμαχον οὖσαν, ὡς αὐτοὺς συντε-
λῆ ποιεῖν καὶ Βυζάντιον ὁρίζειν τὴν τούτων χώραν πα-
ρὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας, ἐν αἷς αὐτονόμους
27 τὰς πόλεις εἶναι γέγραπται; οὐδὲ Μαύσωλον ζῶντα,
οὐδὲ τελευτήσαντος ἐκείνου τὴν Ἀρτεμισίαν οὐδείς
ἐσθ' ὁ διδάξων μὴ καταλαμβάνειν Κῶν καὶ Ῥόδον καὶ
ἄλλας πόλεις ἑτέρας Ἑλληνίδας, ὧν βασιλεὺς ὁ ἐκείνων
δεσπότης ἐν ταῖς συνθήκαις ἀπέστη τοῖς Ἕλλησι, καὶ
περὶ ὧν πολλοὺς κινδύνους καὶ καλοὺς ἀγῶνας οἱ κατ'
ἐκείνους τοὺς χρόνους Ἕλληνες ἐποιήσαντο. εἰ δ' ἄρα
καὶ λέγει τις ἀμφοτέροις αὐτοῖς, ἀλλ' οἵ γε πεισόμενοι
28 τούτοις, ὡς ἔοικεν, οὐκ εἰσίν. ἐγὼ δὲ δίκαιον μὲν εἶναι
νομίζω κατάγειν τὸν Ῥοδίων δῆμον· οὐ μὴν ἀλλὰ καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰ μὴ δίκαιον ἦν, ὅταν εἰς ἃ ποιοῦσιν οὗτοι βλέψω,
προσήκειν οἶμαι παραινέσαι κατάγειν. διὰ τί; ὅτι πάν- 199
των μὲν, ὦ ἄνδρες Ἀθηναῖοι, τὰ δίκαια ποιεῖν ὡρμη-
κότων αἰσχρὸν ἡμᾶς μόνους μὴ ἐθέλειν, ἁπάντων δὲ
τῶν ἄλλων ὅπως ἀδικεῖν δυνήσονται παρασκευαζομέ-
νων μόνους ἡμᾶς τὰ δίκαια προτείνεσθαι, μηδενὸς
ἀντιλαμβανομένους, οὐ δικαιοσύνην, ἀλλ᾽ ἀνανδρίαν
ἡγοῦμαι· ὁρῶ γὰρ ἅπαντας πρὸς τὴν παροῦσαν δύνα-
μιν τῶν δικαίων ἀξιουμένους. καὶ παράδειγμα λέγειν
ἔχω τούτου πᾶσιν ὑμῖν γνώριμον. εἰσὶ συνθῆκαι τοῖς
Ἕλλησι διτταὶ πρὸς βασιλέα, ἃς ἐποιήσατο ἡ πόλις ἡ
ἡμετέρα, ἃς ἅπαντες ἐγκωμιάζουσι, καὶ μετὰ ταῦθ᾽
ὕστερον Λακεδαιμόνιοι ταύτας ὧν δὴ κατηγοροῦσι·
κἂν ταύταις οὐχὶ ταὐτὰ δίκαια ἀμφοτέραις ὥρισται.
τῶν μὲν γὰρ ἰδίων δικαίων τῶν ἐν ταῖς πολιτείαις
οἱ νόμοι κοινὴν τὴν μετουσίαν ἔδοσαν καὶ ἴσην καὶ τοῖς
ἀσθενέσι καὶ τοῖς ἰσχυροῖς· τῶν δ᾽ Ἑλληνικῶν δικαίων
οἱ κρατοῦντες ὁρισταὶ τοῖς ἥττοσι γίγνονται.

Ἐπειδὴ τοίνυν ὑμῖν ἐγνωκέναι τὰ δίκαια ποιεῖν
ὑπάρχει, ὅπως καὶ πρᾶξαι ταῦτ᾽ ἐφ᾽ ὑμῖν ἔσται δεῖ
σκοπεῖν. ἔσται δὲ ταῦτ᾽, ἐὰν ὑποληφθῆτε κοινοὶ προ-
στάται τῆς πάντων ἐλευθερίας εἶναι. εἰκότως δέ μοι δο-
κεῖ χαλεπώτατον ὑμῖν εἶναι πρᾶξαι τὰ δέοντα. τοῖς
μὲν γὰρ ἄλλοις ἅπασιν ἀνθρώποις εἷς ἀγών ἐστιν ὁ
πρὸς τοὺς προδήλους ἐχθρούς, ὧν ἂν κρατήσωσιν, οὐ-
δὲν ἐμποδὼν αὐτοῖς κυρίους τῶν ἀγαθῶν εἶναι· ὑμῖν
δ᾽, ὦ ἄνδρες Ἀθηναῖοι, δύο, οὗτός θ᾽ ὁ καὶ τοῖς ἄλλοις
καὶ προσέθ᾽ ἕτερος τούτου πρότερος καὶ μείζων· δεῖ
γὰρ ὑμᾶς βουλευομένους κρατῆσαι τῶν τἀναντία τῇ
πόλει παρ᾽ ὑμῖν πράττειν προῃρημένων. ὅταν οὖν μη- 200
δὲν ᾖ διὰ τούτους ἀκονιτὶ τῶν δεόντων γενέσθαι, πολ-

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

32 λῶν διαμαρτάνειν ὑμῖν εἰκότως συμβαίνει. τοῦ μέν
τοι πολλοὺς ἀδεῶς ταύτην τὴν τάξιν αἱρεῖσθαι τῆς πο
λιτείας, ἴσως μὲν αἱ παρὰ τῶν μισθοδοτούντων αὐτοῖ
ὠφέλειαι μάλιστ᾽ αἴτιαι, οὐ μὴν ἀλλὰ καὶ ὑμᾶς ἄν τ
ἔχοι δικαίως αἰτιᾶσθαι. ἐχρῆν γάρ, ὦ ἄνδρες Ἀθηναῖ
οι, τὴν αὐτὴν ἔχειν διάνοιαν ὑμᾶς περὶ τῆς ἐν τῇ πο
λιτείᾳ τάξεως ἥνπερ περὶ τῆς ἐν ταῖς στρατεία
ἔχετε. τίς οὖν ἐστιν αὕτη; ὑμεῖς τὸν λείποντα τὴν ὑπ
τοῦ στρατηγοῦ τάξιν ταχθεῖσαν ἄτιμον οἴεσθε προση
33 κειν εἶναι καὶ μηδενὸς τῶν κοινῶν μετέχειν. χρὴ τοί
νυν καὶ τοὺς τὴν ὑπὸ τῶν προγόνων τάξιν ἐν τῇ πολι
τείᾳ παραδεδομένην λείποντας καὶ πολιτευομένου
ὀλιγαρχικῶς ἀτίμους τοῦ συμβουλεύειν ὑμῖν αὐτοὶ
ποιεῖσθαι· νῦν δὲ τῶν μὲν συμμάχων τοὺς τὸν αὐ
τὸν ἐχθρὸν καὶ φίλον ὑμῖν ὀμωμοκότας νομίζετε εὐ
νουστάτους, τῶν δὲ πολιτευομένων οὓς ἴστε σαφῶ
τοὺς τῆς πόλεως ἐχθροὺς ᾑρημένους, τούτους πιστο
τάτους ἡγεῖσθε.
34 Ἀλλὰ γὰρ οὐχ ὅ τι τις κατηγορήσει τούτων ἢ τοῖ
ἄλλοις ὑμῖν ἐπιπλήξει χαλεπὸν εὑρεῖν, ἀλλ᾽ ἀφ᾽ ὁποί
ων λόγων ἢ πράξεως ποίας ἐπανορθώσεταί τις ἃ νῦ
οὐκ ὀρθῶς ἔχει, τοῦτ᾽ ἔργον εὑρεῖν. ἴσως μὲν οὖν οὐδ
τοῦ παρόντος καιροῦ περὶ πάντων λέγειν· ἀλλ᾽ ἐὰν
προῃρῆσθε δυνηθῆτε ἐπικυρῶσαι συμφερούσῃ τιν
35 πράξει, καὶ τἄλλ᾽ ἂν ἴσως καθ᾽ ἓν ἀεὶ βέλτιον ἔχοι. ἐγ
μὲν οὖν οἶμαι δεῖν ὑμᾶς ἀντιλαμβάνεσθαι τῶν πρα
γμάτων τούτων ἐρρωμένως, καὶ πράττειν ἄξια τῆς πό
λεως, ἐνθυμουμένους ὅτι χαίρετ᾽ ἀκούοντες, ὅταν τι
ἐπαινῇ τοὺς προγόνους ὑμῶν καὶ τὰ πεπραγμένα ἐκεί
νοις διεξίῃ καὶ τὰ τρόπαια λέγῃ. νομίζετε τοίνυν ταῦτ
ἀναθεῖναι τοὺς προγόνους ὑμῶν οὐχ ἵνα θαυμάζη

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτὰ θεωροῦντες, ἀλλ' ἵνα καὶ μιμῆσθε τὰς τῶν ἀναθέντων ἀρετάς.

---

XVI.

# ΥΠΕΡ ΜΕΓΑΛΟΠΟΛΙΤΩΝ.

## ΥΠΟΘΕΣΙΣ.

Ὅτε Λακεδαιμόνιοι νικηθέντες ὑπὸ Θηβαίων ἐν Λεύκτροις τῆς Βοιωτίας εἰς κίνδυνον μέγαν κατέστησαν, ἀποστάντων Ἀρκάδων καὶ προσθεμένων τοῖς Θηβαίοις, Ἀθηναῖοι σύμμαχοι Λακεδαιμονίοις γενόμενοι διέσωσαν αὐτούς· ὕστερον δὲ Λακεδαιμόνιοι τῶν κινδύνων ἀπαλλαγέντες καὶ προϊόντες πάλιν εἰς δύναμιν ἐπὶ Μεγάλην πόλιν τῆς Ἀρκαδίας ἤρχοντο, καὶ τοὺς Ἀθηναίους παρεκάλουν διὰ πρεσβείας κοινωνεῖν αὐτοῖς τοῦ πολέμου. πεπόμφασι δὲ καὶ οἱ Μεγαλοπολῖται πρέσβεις Ἀθήναζε παρακαλοῦντες ὑπὲρ ἑαυτῶν. ὁ τοίνυν Δημοσθένης συμβουλεύει μὴ περιορᾶν ἀναιρεθεῖσαν Μεγάλην πόλιν μηδὲ εἰς ἰσχὺν προελθόντας Λακεδαιμονίους, συμφέρειν λέγων τοῖς Ἀθηναίοις τὸ μὴ φοβερὰν εἶναι τὴν Λακεδαίμονα.

---

Ἀμφότεροί μοι δοκοῦσιν ἁμαρτάνειν, ὦ ἄνδρες 202
Ἀθηναῖοι, καὶ οἱ τοῖς Ἀρκάσι καὶ οἱ τοῖς Λακεδαιμονίοις συνειρηκότες· ὥσπερ γὰρ ἀφ' ἑκατέρων ἥκοντες, οὐχ ὑμῶν ὄντες πολῖται, πρὸς οὓς ἀμφότεροι πρεσβεύουσι, κατηγοροῦσι καὶ διαβάλλουσιν ἀλλήλους. ἦν δὲ τοῦτο μὲν τῶν ἀφιγμένων ἔργον, τὸ δὲ κοινῶς ὑπὲρ τῶν πραγμάτων λέγειν καὶ τὰ βέλτιστα ὑπὲρ ὑμῶν σκοπεῖν ἄνευ φιλονεικίας τῶν ἐνθάδε συμβουλεύειν
2 ἀξιούντων. νῦν δ' ἔγωγε, εἴ τις αὐτῶν ἀφέλοι τὸ γιγνώσκεσθαι καὶ τὸ τῇ φωνῇ λέγειν Ἀττικῶς, πολλοὺς ἂν οἶμαι τοὺς μὲν Ἀρκάδας, τοὺς δὲ Λάκωνας αὐτῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἶναι νομίσαι. ἐγὼ δ' ὁρῶ μὲν ὡς χαλεπὸν τὰ βέλτιστα
λέγειν ἐστί· συνεξηπατημένων γὰρ ὑμῶν, καὶ τῶν μὲν
ταυτί, τῶν δὲ ταυτὶ βουλομένων, ἂν τὰ μεταξύ τις ἐγ-
χειρῇ λέγειν καὶ ὑμεῖς μὴ περιμένητε μαθεῖν, χαριεῖται
3 μὲν οὐδετέροις, διαβεβλήσεται δὲ πρὸς ἀμφοτέρους· οὐ
μὴν ἀλλ' αἱρήσομαι μᾶλλον αὐτὸς, ἂν ἄρα τοῦτο πά-
θω, δοκεῖν φλυαρεῖν, ἢ παρ' ἃ βέλτιστα νομίζω τῇ πό-
λει, προέσθαι τισὶν ὑμᾶς ἐξαπατῆσαι. τὰ μὲν οὖν ἄλλ'
ὕστερον, ἂν ὑμῖν βουλομένοις ᾖ, λέξω· ἀπὸ δὲ τῶν
ὁμολογουμένων ὑφ' ἁπάντων ἄρξομαι ἃ κράτιστα νο-
μίζω διδάσκειν.

4 Οὐκοῦν οὐδ' ἂν εἷς ἀντείποι ὡς οὐ συμφέρει τῇ
πόλει καὶ Λακεδαιμονίους ἀσθενεῖς εἶναι καὶ Θηβαίους 203
τουτουσί. ἔστι τοίνυν ἔν τινι τοιούτῳ καιρῷ τὰ πρά-
γματα νῦν, εἴ τι δεῖ τοῖς εἰρημένοις πολλάκις παρ' ὑμῖν
λόγοις τεκμήρασθαι, ὥστε Θηβαίους μὲν Ὀρχομενοῦ
καὶ Θεσπιῶν καὶ Πλαταιῶν οἰκισθεισῶν ἀσθενεῖς γε-
νέσθαι, Λακεδαιμονίους δ', εἰ ποιήσονται τὴν Ἀρκα-
δίαν ὑφ' ἑαυτοῖς καὶ Μεγάλην πόλιν ἀναιρήσουσι, πά-
5 λιν ἰσχυροὺς γενήσεσθαι. σκεπτέον τοίνυν μὴ πρότε-
ρον τούσδε γενέσθαι φοβεροὺς καὶ μεγάλους ἐάσωμεν
ἢ 'κεῖνοι μικροὶ γενήσονται, καὶ λάθωσιν ἡμᾶς πλείονι
μείζους οἱ Λακεδαιμόνιοι γενόμενοι ἢ ὅσῳ τοὺς Θη-
βαίους ἐλάττους συμφέρει γενέσθαι. οὐ γὰρ ἐκεῖνό γ'
ἂν εἴποιμεν, ὡς ἀνταλλάξασθαι βουλοίμεθ' ἀντιπάλους
Λακεδαιμονίους ἀντὶ Θηβαίων, οὐδὲ τοῦτ' ἔσθ' ὃ
σπουδάζομεν, ἀλλ' ὅπως μηδέτεροι δυνήσονται μηδὲν
ἡμᾶς ἀδικεῖν· οὕτω γὰρ ἂν ἡμεῖς μετὰ πλείστης ἀδείας
εἴημεν.

6 Ἀλλὰ νὴ Δία ταῦτα μὲν οὕτω δεῖν ἔχειν φήσομεν,
δεινὸν δ' εἰ, πρὸς οὓς παρεταττόμεθα ἐν Μαντινείᾳ,
τούτους συμμάχους αἱρησόμεθα· εἶτα βοηθήσομεν

Δημόσια Κεντρική Βιβλιοθήκη Σέρρων

τούτοις ἐναντία ἐκείνων, μεθ' ὧν τότ' ἐκινδυνεύομεν. κἀμοὶ ταῦτα δοκεῖ, προσδεῖσθαι δ' ἔτι τοῦ τὰ δίκαια ποιεῖν ἐθελόντων τῶν ἑτέρων. εἰ μὲν τοίνυν ἐθελήσουσιν εἰρήνην ἅπαντες ἄγειν, οὐ βοηθήσομεν τοῖς Μεγαλοπολίταις· οὐδὲν γὰρ δεήσει· ὥστ' οὐδ' ὁτιοῦν ὑπεναντίον ἡμῖν ἔσται πρὸς τοὺς συμπαραταξαμένους, σύμμαχοι δ' ἡμῖν οἱ μὲν ὑπάρχουσιν, ὥς φασιν, οἱ δὲ προσγενήσονται νυνί. καὶ τί ἂν ἄλλο βουλοίμεθα; ἐὰν δ' ἀδικῶσι καὶ πολεμεῖν οἴωνται δεῖν, εἰ μὲν ὑπὲρ τούτου μόνου βουλευτέον, εἰ χρὴ Μεγάλην πόλιν ἡμᾶς προέσθαι Λακεδαιμονίοις ἢ μή, δίκαιον μὲν οὔ, συγ- 204
χωρῶ δ' ἔγωγ' ἐᾶσαι καὶ μηδὲν ἐναντιωθῆναι τοῖς γε τῶν αὐτῶν μετασχοῦσι κινδύνων· εἰ δ' ἅπαντες ἐπίστασθε ὅτι, ταύτην ἂν ἕλωσιν, ἴασιν ἐπὶ Μεσσήνην, φρασάτω τις ἐμοὶ τῶν νῦν χαλεπῶν τοῖς Μεγαλοπολίταις, τί τόθ' ἡμῖν συμβουλεύσει ποιεῖν. ἀλλ' οὐδεὶς ἐρεῖ. καὶ μὴν πάντες ἐπίστασθε ὡς καὶ παραινούντων τούτων καὶ μὴ βοηθητέον, καὶ διὰ τοὺς ὅρκους, οὓς ὀμωμόκαμεν Μεσσηνίοις, καὶ διὰ τὸ συμφέρον εἶναι κατοικεῖσθαι ταύτην τὴν πόλιν. σκοπεῖσθε δὴ πρὸς ὑμᾶς αὐτοὺς ποτέραν τὴν ἀρχὴν καλλίονα καὶ φιλανθρωποτέραν ποιήσεσθε τοῦ μὴ ἐπιτρέπειν ἀδικεῖν Λακεδαιμονίοις, τὴν ὑπὲρ Μεγάλης πόλεως ἢ τὴν ὑπὲρ Μεσσήνης. νῦν μέν γε βοηθεῖν δόξετε Ἀρκάσι, καὶ τὴν εἰρήνην σπουδάζειν εἶναι βεβαίαν, ὑπὲρ ἧς ἐκινδυνεύσατε καὶ παρετάξασθε· τότε δ' εὔδηλοι πᾶσιν ἔσεσθε οὐ τοῦ δικαίου μᾶλλον ἕνεκα Μεσσήνην εἶναι βουλόμενοι ἢ τοῦ πρὸς Λακεδαιμονίους φόβου. δεῖ δὲ σκοπεῖν μὲν καὶ πράττειν ἀεὶ τὰ δίκαια, συμπαρατηρεῖν δ' ὅπως ἅμα καὶ συμφέροντα ἔσται ταῦτα.

Ἔστι τοίνυν τοιοῦτός τις λόγος παρὰ τῶν ἀντιλεγόντων, ὡς κομίσασθαι τὸν Ὠρωπὸν ἡμᾶς ἐγχειρεῖν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δεῖ, εἰ δὲ τοὺς βοηθήσαντας ἂν ἡμῖν νῦν ἐπ' αὐτο
ἐχθροὺς κτησόμεθα, οὐχ ἕξομεν συμμάχους. ἐγὼ δὲ τ
μὲν κομίσασθαι Ὠρωπὸν πειρᾶσθαι δεῖν φημι καὶ αυ
τός· τὸ δ' ἐχθροὺς ἡμῖν Λακεδαιμονίους ἔσεσθαι, νὐ
ἐὰν ποιώμεθα συμμάχους Ἀρκάδων τοὺς βουλομένου
ἡμῖν εἶναι φίλους, μόνοις οὐδ' εἰπεῖν ἐξεῖναι νομίζ
τοῖς πείσασιν ὑμᾶς, ὅτ' ἐκινδύνευον Λακεδαιμόνιο
12 βοηθεῖν αὐτοῖς. οἱ γὰρ ταῦτα λέγοντες ἔπεισαν ὑμᾶ
πάντων Πελοποννησίων ἐλθόντων ὡς ὑμᾶς καὶ με
ὑμῶν ἀξιούντων ἐπὶ τοὺς Λακεδαιμονίους ἰέναι, του
μὲν μὴ προσδέξασθαι (καὶ διὰ τοῦθ', ὅπερ ἦν ὑπόλοι
πον αὐτοῖς, ἐπὶ Θηβαίους ἦλθον), ὑπὲρ δὲ τῆς Λακε
δαιμονίων σωτηρίας καὶ χρήματ' εἰσφέρειν καὶ τοῖ
σώμασι κινδυνεύειν. καίτοι οὐδ' ἂν ὑμεῖς ἠθελήσατ
δήπου σώζειν αὐτούς, εἰ τοῦτο προὔλεγον ὑμῖν, ὅτ
σωθέντες, ἐὰν μὴ ποιεῖν ὅ τι βούλονται πάλιν αὐτοὺ
ἐᾶτε καὶ ἀδικεῖν, οὐδεμίαν ὑμῖν χάριν ἕξουσι τῆς σωτη
13 ρίας. καὶ μὴν εἰ καὶ σφόδρα ἐναντίον ἐστὶ τοῖς Λακε
δαιμονίων ἐπιχειρήμασι τὸ τοὺς Ἀρκάδας ἡμᾶς συμ
μάχους ποιήσασθαι, προσήκει δήπου πλείω χάριν αὐ
τοὺς ἔχειν ὧν ἐσώθησαν ὑφ' ἡμῶν εἰς τοὺς ἐσχάτου
ἐλθόντες κινδύνους ἢ ὧν ἀδικεῖν κωλύονται νῦν ὀργί
ζεσθαι. ὥστε πῶς οὐ βοηθήσουσιν ἡμῖν ἐπ' Ὠρωπὸν
ἢ κάκιστοι πάντων ἀνθρώπων δόξουσιν εἶναι; μὰ τοὺ
θεοὺς ἔγωγε οὐχ ὁρῶ.

14 Θαυμάζω τοίνυν καὶ τῶν λεγόντων τοῦτον τὸν λό
γον, ὡς εἰ συμμάχους ποιησόμεθα Ἀρκάδας καὶ ταῦτ
πράξομεν, μεταβάλλεσθαι δόξει καὶ οὐδὲν ἔχειν πιστὸ
ἡ πόλις. ἐμοὶ μὲν γὰρ δοκεῖ τοὐναντίον, ὦ ἄνδρε
Ἀθηναῖοι. διὰ τί; ὅτι τῶν πάντων οὐδένα ἂν ἀντει
πεῖν οἶμαι ὡς οὐ καὶ Λακεδαιμονίους καὶ πρότερο
Θηβαίους καὶ τὸ τελευταῖον Εὐβοέας ἔσωσεν ἡ πόλις

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

καὶ μετὰ ταῦτα συμμάχους ἐποιήσατο, ἕν τι καὶ τὸ αὐ-
15 τὸ βουλομένη ἀεὶ πράττειν. ἔστι δὲ τοῦτο τί; τοὺς ἀδι-
κουμένους σώζειν. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, οὐκέτ'
ἂν ἡμεῖς εἴημεν οἱ μεταβαλλόμενοι, ἀλλ' οἱ μὴ ἐθέλοντες
τοῖς δικαίοις ἐμμένειν, καὶ φανήσεται τὰ πράγματα ἀεὶ 206
διὰ τοὺς πλεονεκτεῖν βουλομένους μεταβαλλόμενα,
οὐχ ἡ πόλις ἡμῶν.

16 Δοκοῦσι δέ μοι Λακεδαιμόνιοι μάλα δεινῶν ἀν-
θρώπων ἔργον ποιεῖν. νῦν γάρ φασιν ἐκεῖνοι δεῖν
Ἠλείους μὲν τῆς Τριφυλίας τινὰ κομίσασθαι, Φλιασί-
ους δὲ τὸ Τρικάρανον, ἄλλους δέ τινας τῶν Ἀρκάδων
τὴν αὑτῶν καὶ τὸν Ὠρωπὸν ἡμᾶς, οὐχ ἵν' ἑκάστους
ἡμῶν ἴδωσιν ἔχοντας τὰ αὑτῶν, οὐδ' ὀλίγου δεῖ· ὀψὲ
17 γὰρ ἂν φιλάνθρωποι γένοιντο· ἀλλ' ἵνα πᾶσι δοκῶσι
συμπράττειν ὅπως ἂν ἕκαστοι κομίσωνται ταῦθ' ἅ φα-
σιν αὑτῶν εἶναι, ἵν', ἐπειδὰν ἴωσιν ἐπὶ Μεσσήνην αὐτοί,
συστρατεύωνται πάντες αὐτοῖς οὗτοι καὶ βοηθῶσι προ-
θύμως, ἢ δοκῶσιν ἀδικεῖν, περὶ ὧν ἔφασαν ἕκαστοι
σφῶν αὐτῶν εἶναι συμψήφους λαβόντες ἐκείνους, μὴ
18 τὴν ὁμοίαν αὐτοῖς χάριν ἀποδιδόντες. ἐγὼ δὲ νομίζω
τὴν πόλιν πρῶτον μὲν καὶ χωρὶς τοῦ καθυφεῖναί τινας
Λακεδαιμονίοις Ἀρκάδων Ὠρωπον ἂν κομίσασθαι καὶ
μετ' ἐκείνων, ἂν τὰ δίκαια ποιεῖν ἐθέλωσι, καὶ μετὰ τῶν
ἄλλων τῶν οὐκ οἰομένων δεῖν Θηβαίους ἐᾶν ἔχειν τὰ
ἀλλότρια. εἰ δ' ἄρα τοῦτ' εὔδηλον ἡμῖν γένοιτο, ὅτι
μὴ Λακεδαιμονίους ἐῶντες τὴν Πελοπόννησον κατα-
στρέψασθαι οὐχ οἷοί τε ἐσόμεθα Ὠρωπὸν λαβεῖν, αἱ-
ρετώτερον, εἰ οἷόν τ' εἰπεῖν, ἡγοῦμαι τὸν Ὠρωπὸν ἐᾶν
ἢ Λακεδαιμονίοις Μεσσήνην προέσθαι καὶ Πελοπόννη-
σον. οὐ γὰρ ἂν ἡγοῦμαι περὶ τούτου μόνον ἡμῖν εἶναι
τὸν λόγον πρὸς ἐκείνους. ἀλλ' ἐάσω τό γ' ἐπελθόν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰπεῖν μοι· περὶ πολλῶν δ' ἂν οἶμαι κινδύνων ἡμῖν
γενέσθαι.
19 Ἀλλὰ μὴν ἅ γέ φασι πεπρᾶχθαι διὰ Θηβαίους τοῖς 207
Μεγαλοπολίταις ὑπεναντία πρὸς ἡμᾶς, ἄτοπον νῦν
μὲν ἐν κατηγορίας μέρει ποιεῖσθαι, βουλομένων δὲ γε-
νέσθαι φίλων αὐτῶν, ἵνα τοὐναντίον εὖ ποιῶσιν
ἡμᾶς, βασκαίνειν καὶ σκοπεῖν ἐξ ὅτου τρόπου μὴ γενή-
σονται, καὶ μὴ γιγνώσκειν ὅτι ὅσῳ ἂν σπουδαιοτέρους
τούτους περὶ Θηβαίους γεγενημένους ἀποδείξωσι, το-
σούτῳ πλείονος ὀργῆς αὐτοὶ δικαίως ἂν τυγχάνοιεν,
εἰ τοιούτων συμμάχων τὴν πόλιν, ὅτ' ἐφ' ὑμᾶς προτέ-
20 ρους ἦλθον ἢ Θηβαίους, ἀπεστέρησαν. ἀλλ', οἶμαι,
ταῦτα μέν ἐστι δεύτερον ἀνθρώπων βουλομένων ἑτέ-
ρων ποιῆσαι τούτους συμμάχους. ἐγὼ δὲ οἶδα, ὅσα ἂν
ἐκ λογισμοῦ σκοπῶν τις εἰκάσαι, καὶ τοὺς πολλοὺς οἴ-
μαι ὑμῶν ταὐτὰ φήσειν, ὅτι, εἰ λήψονται Μεγάλην πό-
λιν Λακεδαιμόνιοι, κινδυνεύσει Μεσσήνη· εἰ δὲ καὶ
ταύτην λήψονται, φημὶ ἡμᾶς ἔσεσθαι συμμάχους Θη-
21 βαίων. πολὺ δὴ κάλλιον καὶ ἄμεινον τὴν μὲν Θηβαίων
συμμαχίαν αὐτοὺς παραλαβεῖν, τῇ δὲ Λακεδαιμονίων
πλεονεξίᾳ μὴ ἐπιτρέψαι, ἢ νῦν ὀκνοῦντας μὴ τοὺς Θη-
βαίων σώσωμεν συμμάχους, τούτους μὲν προέσθαι,
πάλιν δὲ σώζειν αὐτοὺς τοὺς Θηβαίους, καὶ προσέτι ἐν
22 φόβῳ καθεστάναι περὶ ἡμῶν αὐτῶν. οὐ γὰρ ἔγωγ'
ἀδεὲς τοῦθ' ὑπολαμβάνω τῇ πόλει, τὸ λαβεῖν Μεγάλην
πόλιν Λακεδαιμονίους καὶ πάλιν γενέσθαι μεγάλους·
ὁρῶ γὰρ αὐτοὺς καὶ νῦν οὐχ ὑπὲρ τοῦ μὴ παθεῖν τι κα-
κὸν πόλεμον ἀραμένους, ἀλλ' ὑπὲρ τοῦ κομίσασθαι τὴν
πρότερον οὖσαν αὐτοῖς δύναμιν· ὧν δ', ὅτ' ἐκείνην εἶ-
χον, ὠρέγοντο, ταῦθ' ὑμεῖς μᾶλλον ἴσως εἰδότες ἢ ἐγὼ
φοβοῖσθ' ἂν εἰκότως.
23 Ἡδέως δ' ἂν πυθοίμην τῶν λεγόντων καὶ τοὺς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θηβαίους μισεῖν φασκόντων καὶ τοὺς Λακεδαιμονίους, 208 πότερα ἑκάτεροι μισοῦσιν, οὓς δὴ μισοῦσιν, ὑπὲρ ὑμῶν καὶ τοῦ συμφέροντος ὑμῖν, ἢ ὑπὲρ μὲν Λακεδαιμονίων Θηβαίους, ὑπὲρ δὲ Θηβαίων Λακεδαιμονίους ἑκάτεροι· εἰ μὲν γὰρ ὑπὲρ ἐκείνων, οὐδετέροις ὡς μαινομένοις πείθεσθαι προσήκει· εἰ δ' ὑπὲρ ὑμῶν φήσουσι, τί πέρα τοῦ καιροῦ τοὺς ἑτέρους ἐπαίρουσιν; ἔστι γάρ, ἔστι Θηβαίους ταπεινοὺς ποιεῖν ἄνευ τοῦ Λακεδαιμονίους ἰσχυροὺς καθιστάναι, καὶ πολύ γε ῥᾷον· ὡς δ', ἐγὼ πειράσομαι πρὸς ὑμᾶς εἰπεῖν. ἴσμεν ἅπαντες τοῦθ', ὅτι τὰ μὲν δίκαια πάντες, ἐὰν καὶ μὴ βούλωνται, μέχρι τού γε αἰσχύνονται μὴ πράττειν, τοῖς δ' ἀδίκοις ἐναντιοῦνται φανερῶς, ἄλλως τε κἄν τινες βλάπτωνται· καὶ τοῦτο λυμαινόμενον πάνθ' εὑρήσομεν, καὶ ταύτην ἀρχὴν οὖσαν πάντων τῶν κακῶν, τὸ μὴ ἐθέλειν τὰ δίκαια πράττειν ἁπλῶς. ἵνα τοίνυν μὴ τοῦτ' ἐμποδὼν γένηται τῷ Θηβαίους γενέσθαι μικρούς, τὰς μὲν Θεσπιὰς καὶ τὸν Ὀρχομενὸν καὶ τὰς Πλαταιὰς κατοικίζεσθαι φῶμεν δεῖν καὶ συμπράττωμεν αὐτοῖς καὶ τοὺς ἄλλους ἀξιῶμεν (ταῦτα γὰρ καὶ καλὰ καὶ δίκαια, μὴ περιορᾶν πόλεις ἀρχαίας ἐξανεστώσας), τὴν δὲ Μεγάλην πόλιν καὶ τὴν Μεσσήνην μὴ προώμεθα τοῖς ἀδικοῦσι, μηδ' ἐπὶ τῇ προφάσει τῇ Πλαταιῶν καὶ Θεσπιῶν τὰς οὔσας καὶ κατοικουμένας πόλεις ἀναιρεθείσας περιίδωμεν. κἂν ᾖ ταῦτα πρόδηλα, οὐδεὶς ὅστις οὐ βουλήσεται παύσασθαι Θηβαίους ἔχοντας τὴν ἀλλοτρίαν· εἰ δὲ μή, πρῶτον μὲν ἐναντίους ἕξομεν πρὸς ἐκεῖνα τούτους εἰκότως, ὅταν ἡγῶνται τὴν ἐκείνων κατοίκισιν αὑτοῖς ὄλεθρον φέρειν, εἶτ' ἀνήνυτα πράγματα ἕξομεν αὐ- 209
τοί· τί γὰρ ὡς ἀληθῶς ἔσται πέρας, ὅταν ἀεὶ τὰς μὲν οὔσας πόλεις ἐῶμεν ἀναιρεῖν, τὰς δ' ἀνῃρημένας ἀξιῶμεν οἰκίζειν;



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

27 Λέγουσι τοίνυν οἱ μάλιστα δοκοῦντες δίκαια λέ-
γειν ὡς δεῖ τὰς στήλας καθελεῖν αὐτοὺς τὰς πρὸς Θη-
βαίους, εἴπερ ἡμέτεροι βεβαίως ἔσονται σύμμαχοι. οἱ
δὲ φασὶ μὲν αὐτοῖς οὐκ εἶναι στήλας, ἀλλὰ τὸ συμφέ-
ρον εἶναι τὸ ποιοῦν τὴν φιλίαν, τοὺς δὲ βοηθοῦντας
ἑαυτοῖς, τούτους νομίζειν εἶναι συμμάχους. ἐγὼ δ', εἰ
τὰ μάλιστ' εἰσὶ τοιοῦτοι, ὡδί πως ἔχω. φημὶ δεῖν ἅμα
τούτους ἀξιοῦν καθαιρεῖν τὰς στήλας καὶ Λακεδαιμο
νίους ἄγειν εἰρήνην, ἐὰν δὲ μὴ ἐθέλωσι ποιεῖν ὁπότε
ροι ταῦτα, τότ' ἤδη μετὰ τῶν ἐθελόντων ἡμᾶς γίγνε-
28 σθαι. εἴτε γὰρ εἰρήνης γιγνομένης αὐτοῖς οἱ Μεγαλο-
πολῖται ἔτι τῆς Θηβαίων συμμαχίας ἕξονται, φανεροὶ
πᾶσιν ἔσονται τὴν πλεονεξίαν τὴν Θηβαίων, οὐ τὸ δί-
καιον αἱρούμενοι· εἴτε συμμάχους ἡμᾶς ἁδόλως τῶν
Μεγαλοπολιτῶν ποιουμένων μὴ ἐθελήσουσιν ἄγειν
εἰρήνην οἱ Λακεδαιμόνιοι, δῆλοι δήπου πᾶσιν ἔσονται
οὐχ ἵνα Θεσπιαὶ κατοικισθῶσι μόνον ποιούμενοι τὴν
σπουδήν, ἀλλ' ἵνα τοῦ πολέμου περιεστηκότος Θηβαί-
29 οις τὴν Πελοπόννησον ὑφ' αὐτοῖς ποιήσωνται. θαυμά-
ζω δ' ἐνίων, εἰ τὸ μὲν Θηβαίων συμμάχους εἶναι τοὺς
Λακεδαιμονίων ἐχθροὺς φοβοῦνται, εἰ δὲ καταστρέ-
ψονται Λακεδαιμόνιοι τούτους, μηδὲν ἡγοῦνται φοβε-
ρόν, καὶ ταῦτ' ἔργῳ πεῖραν ἡμῖν δεδωκότος τοῦ χρόνου
ὅτι Θηβαῖοι μὲν τούτοις συμμάχοις ἐπὶ Λακεδαιμονί-
ους ἀεὶ χρῶνται, Λακεδαιμόνιοι δ' ὅτ' εἶχον αὐτούς, 210
ἐφ' ἡμᾶς ἐχρῶντο.

30 Οἶμαι τοίνυν ἔγωγε κἀκεῖνο ἐνθυμεῖσθαι δεῖν,
ὅτι μὴ προσδεξαμένων μὲν ὑμῶν τοὺς Μεγαλοπολίτας,
ἐὰν μὲν ἀναιρεθῶσι καὶ διοικισθῶσιν, ἰσχυροῖς Λακε-
δαιμονίοις ἔστιν εὐθὺς εἶναι, ἐὰν δὲ σωθῶσιν ἄρα, ὡς
ἤδη τι καὶ παρ' ἐλπίδας ἐξέβη, βέβαιοι σύμμαχοι Θη-
βαίων δικαίως ἔσονται· ἂν δὲ προσδέξησθε, τούτοις

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

*μὲν ὑπάρξει ἤδη σωθῆναι δι' ὑμᾶς, τὸ δὲ συμβησόμε-*
*νον καὶ τὸν τοῦ κινδύνου λογισμὸν μετενεγκόντες σκο-*
31 *πῶμεν ἐπὶ Θηβαίων καὶ Λακεδαιμονίων. ἂν μὲν τοί-*
*νυν καταπολεμηθῶσιν οἱ Θηβαῖοι, ὥσπερ αὐτοὺς δεῖ,*
*οὐκ ἔσονται μείζους τοῦ δέοντος οἱ Λακεδαιμόνιοι τού-*
*τους ἔχοντες ἀντιπάλους τοὺς Ἀρκάδας, ἐγγὺς οἰκοῦν-*
*τας· ἂν δ' ἀνενέγκωσιν ἄρ' οἱ Θηβαῖοι καὶ σωθῶσιν,*
*ἀλλ' οὖν ἀσθενέστεροί γ' ἔσονται ἡμῖν συμμάχων γε-*
*γενημένων τῶνδε καὶ δι' ἡμᾶς σεσωσμένων· ὥστε*
*πανταχῇ συμφέρει μήτε προέσθαι τοὺς Ἀρκάδας μήτε*
*δι' αὐτούς, ἂν ἄρα σωθῶσι, περιγεγονέναι δοκεῖν, μήτε*
*δι' ἄλλους τινάς, ἀλλὰ δι' ὑμᾶς.*

32 *Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεοὺς*
*οὔτε φιλῶν οὐδετέρους οὔτε μισῶν ἰδίᾳ εἴρηκα, ἀλλ' ἃ*
*νομίζω συμφέρειν ὑμῖν· καὶ παραινῶ μὴ προέσθαι Με-*
*γαλοπολίτας, μηδ' ἄλλον ἁπλῶς μηδένα τῶν ἐλαττό-*
*νων τῷ μείζονι.*

---

XVII.

## *ΠΕΡΙ ΤΩΝ ΠΡΟΣ ΑΛΕΞΑΝΔΡΟΝ ΣΥΝΘΗΚΩΝ.* 211

### *ΥΠΟΘΕΣΙΣ.*

Ἀλεξάνδρου τοῦ Μακεδόνος καταγαγόντος εἰς Μεσσήνην τοὺς Φιλιάδου τοῦ τυράννου παῖδας, αἰτιᾶται παρὰ τὰς συνθήκας εἶναι τοῦτο τὰς Ἀθηναίοις καὶ Ἕλλησι γενομένας· παραβεβηκέναι δὲ καὶ ἐν ἄλλοις πολλοῖς τὰς συνθήκας φησὶ τοὺς Μακεδόνας, καὶ μὴ περιορᾶν ταῦτα παραινεῖ. ὁ δὲ λόγος ψευδεπίγραφος εἶναι δοκεῖ· οὐ γὰρ ἔοικε κατὰ τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἰδέαν τοῖς ἄλλοις τοῖς τοῦ Δημοσθένους, ἀλλὰ τῷ Ὑπερείδου χαρακτῆρι μᾶλλον προσχωρεῖ, τά τε ἄλλα καὶ λέξεις τινὰς ἔχει κατ' ἐκεῖνον μᾶλλον εἰρημένας ἢ τὸν Δημοσθένην, οἷον νεόπλουτοι καὶ βδελυρεύσεται.

---

Ἄξιον ἀποδέχεσθαι, ὦ ἄνδρες Ἀθηναῖοι, σφόδρα τῶν τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις διακελευομένων ἐμμένειν, εἴπερ αὐτὸ πεπεισμένοι ποιοῦσιν· οἶμαι γὰρ οὐδὲν οὕτω τοῖς δημοκρατουμένοις πρέπειν ὡς περὶ τὸ ἴσον καὶ τὸ δίκαιον σπουδάζειν. δεῖ τοίνυν τοὺς λίαν ἐπ' αὐτὸ παρακαλοῦντας μὴ τῷ μὲν λόγῳ καταχρωμέ- 21
νους ἐνοχλεῖν, πάντα δὲ μᾶλλον πράττειν, ἀλλ' ὑπομείναντας νυνὶ τὸν ἐξετασμὸν ἢ καὶ τὸ λοιπὸν πειθομένους ὑμᾶς ἔχειν περὶ αὐτῶν, ἢ παραχωρήσαντας ἐᾶν συμβουλεύειν τοὺς ἀληθέστερα περὶ τῶν δικαίων ἀπο-
2 φαινομένους, ἵν' ἢ ἑκόντες ἀδικούμενοι ἀνέχησθε καὶ αὐτὸ τοῦτο χαρίζησθε τῷ ἀδικοῦντι, ἢ προελόμενοι περὶ πλείστου ποιήσασθαι τὸ δίκαιον ἀνεγκλήτως πρὸς ἅπαντας χρῆσθε τῷ συμφέροντι, μηκέτι μέλλοντες. ἐξ αὐτῶν δὲ τῶν συνθηκῶν καὶ τῶν ὅρκων σκεψαμένους τῶν περὶ τῆς κοινῆς εἰρήνης ἔξεστιν ἰδεῖν ἤδη τίνες εἰσὶν οἱ παραβεβηκότες. ὡς δὲ περὶ μεγάλων συντόμως διδάξω.

3 Εἰ δή τις ἐρωτήσειεν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τίνι ἂν μάλιστ' ἀγανακτήσαιτε, εἴποιτ' ἂν πάντες εἴ τις ἀναγκάζοι. οἶμαι δ', εἰ ἦσαν κατὰ τὸν νυνὶ χρόνον οἱ Πεισιστρατίδαι καί τις ἐβιάζετο κατάγειν αὐτοὺς δευρί, ἁρπάσαντας ἂν ὑμᾶς τὰ ὅπλα πάντα κίνδυνον ὑπομεῖναι ἀντὶ τοῦ παραδέξασθαι ἢ πεισθέντας γε δουλεύειν ἀντὶ τῶν ἀργυρωνήτων, καὶ τοσούτῳ μᾶλλον ὅσῳ τὸν μὲν οἰκέτην οὐδεὶς ἂν ἑκὼν ἀποκτείνειε, τοὺς δὲ τυραννουμένους ἀκρίτους ἔστιν ὁρᾶν ἀπολλυμένους

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αμα καὶ ὑβριζομένους εἰς παῖδας καὶ γυναῖκας. παρὰ τοὺς ὅρκους τοίνυν καὶ τὰς συνθήκας τὰς ἐν τῇ κοινῇ εἰρήνῃ γεγραμμένας Ἀλέξανδρος εἰς Μεσσήνην καταγαγὼν τοὺς Φιλιάδου παῖδας, ὄντας τυράννους, ἆρ' ἐφρόντισε τοῦ δικαίου, ἀλλ' οὐκ ἐχρήσατο τῷ αὑτοῦ ἔθει τῷ τυραννικῷ, βραχὺ φροντίσας ὑμῶν καὶ τῆς κοινῆς ὁμολογίας; οὐ δὴ δεῖ, εἰ μέν τις ὑμᾶς ταῦτα 213 βιάζοιτο, μάλιστ' ἀγανακτῆσαι, εἰ δ' ἑτέρωθί που γέγονε παρὰ τοὺς πρὸς ὑμᾶς ὅρκους, μὴ φυλάξασθαι, καὶ ἡμῖν μὲν διακελεύεσθαί τινας ἐνταυθὶ ἐμμένειν τοῖς ὅρκοις, τοῖς δ' αὐτοὺς οὕτω περιβοήτως ἀνῃρηκόσι καταλείπειν ταύτην τὴν ἐξουσίαν. ἀλλ' οὐχ οἷόν τε ταῦθ' οὕτως ἔχειν, ἐὰν βούλησθε τῷ δικαίῳ χρῆσθαι· καὶ γὰρ ἔτι προσγέγραπται ἐν ταῖς συνθήκαις πολέμιον εἶναι τὸν ἐκεῖνα ἅπερ Ἀλέξανδρος ποιοῦντα ἅπασι τοῖς τῆς εἰρήνης κοινωνοῦσι, καὶ τὴν χώραν αὐτοῦ, καὶ στρατεύεσθαι ἐπ' αὐτὸν ἅπαντας. οὐκοῦν ἐὰν ποιῶμεν τὰ συγκείμενα, πολεμίῳ χρησόμεθα τῷ καταγαγόντι. ἀλλὰ γὰρ εἴποιεν ἂν οἱ τυραννίζοντες οὗτοι ὅτι πρὶν τὰς συνθήκας γενέσθαι ἐτυράννουν Μεσσηνίων οἱ Φιλιάδου παῖδες· διὸ καὶ κατάγειν τὸν Ἀλέξανδρον αὐτούς. ἀλλὰ καταγέλαστος ὁ λόγος, τοὺς μὲν ἐκ Λέσβου τυράννους, οἷον ἐξ Ἀντίσσης καὶ Ἐρέσου, ἐκβαλεῖν ὡς ἀδικήματος ὄντος τοῦ πολιτεύματος τους πρὸ τῶν ὁμολογιῶν τυραννήσαντας, ἐν δὲ Μεσσήνῃ μηδὲν οἴεσθαι διαφέρειν, τῆς αὐτῆς δυσχερείας ὑπαρχούσης. ἔπειτα καὶ ἐπιτάττει ἡ συνθήκη εὐθὺς ἐν ἀρχῇ ἐλευθέρους εἶναι καὶ αὐτονόμους τοὺς Ἕλληνας. διὸ καὶ πῶς οὐχ ὑπεράτοπον ἡγεῖσθαι μὲν τῶν συνθηκῶν τὸ αὐτονόμους εἶναι καὶ ἐλευθέρους, τὸν δ' εἰς δουλείαν ἀγαγόντα μὴ οἴεσθαι τἀναντία ταῖς κοιναῖς ὁμολογίαις διαπεπρᾶχθαι; οὐκοῦν ἀναγκαῖόν ἐστιν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, εἴπερ τοῖς ὅρκοις καὶ ταῖς 214
συνθήκαις ἐμμενοῦμεν καὶ τὰ δίκαια ποιήσομεν, ἐφ' ἃ
ὑμᾶς παρακαλοῦσι, καθάπερ ἄρτι εἶπον, λαβοῦσι τὰ
ὅπλα στρατεύεσθαι ἐπὶ τοὺς παραβεβηκότας μετὰ τῶν
9 βουλομένων. ἢ νομίζετε τὸν μὲν καιρόν ποτ' ἰσχύειν
καὶ ἄνευ τοῦ δικαίου τὸ συμφέρον πράττειν· νυνὶ δ',
ὅτ' εἰς ταὐτὸ δίκαιον ἅμα καὶ ὁ καιρὸς καὶ τὸ συμφέρον
συνδεδράμηκεν, ἄλλον ἄρα τινὰ χρόνον ἀναμενεῖτε
τῆς ἰδίας ἐλευθερίας ἅμα καὶ τῆς τῶν ἄλλων Ἑλλήνων
ἀντιλαβέσθαι;

10 Ἐπ' ἄλλο δὲ δίκαιον ἔρχομαι τῶν κατὰ τὰς συνθήκας. ἔστι γὰρ γεγραμμένον, ἐάν τινες τὰς πολιτείας τὰς παρ' ἑκάστοις οὔσας, ὅτε τοὺς ὅρκους τοὺς περὶ τῆς εἰρήνης ὤμνυσαν, καταλύσωσι, πολεμίους εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσιν. σκέψασθε δ', ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀχαιοὶ μὲν οἱ ἐν Πελοποννήσῳ ἐδημοκρατοῦντο, τούτων δ' ἐν Πελλήνῃ νῦν καταλέλυκε τὸν δῆμον ὁ Μακεδὼν ἐκβαλὼν τῶν πολιτῶν τοὺς πλείστους, τὰ δ' ἐκείνων τοῖς οἰκέταις δέδωκε, Χαίρωνα δὲ τὸν παλαιστὴν τύραννον ἐγκατέστησεν.
11 ἡμεῖς δὲ τῆς εἰρήνης μετέχομεν τῆς προσταττούσης πολεμίους ἡγεῖσθαι τοὺς ταῦτα πράττοντας. ἐκ δὴ τούτων πότερον πειθώμεθα τοῖς κοινοῖς προστάγμασι, πολεμίοις αὐτοῖς χρώμενοι, ἢ βδελυρεύσεταί τις οὐ φάσκων, τούτων τῶν μισθοφορούντων παρὰ τοῦ
12 Μακεδόνος, τῶν καθ' ὑμῶν πεπλουτηκότων; οὐ γὰρ δὴ λέληθέ γε αὐτοὺς οὐδὲν τούτων· ἀλλ' εἰς τοῦθ' ὕβρεως ἥκουσιν ὥστε δορυφορούμενοι τοῖς τοῦ τυράννου στρατοπέδοις ἐν μὲν τοῖς παραβεβασμένοις
ὅρκοις ἐμμένειν ὑμῖν διακελεύονται, ὡς καὶ τῆς ἐπιορ- 215
κίας αὐτοκράτορος ὄντος ἐκείνου, τοὺς δ' ἰδίους ὑμᾶς νόμους ἀναγκάζουσι λύειν, τοὺς μὲν κεκριμένους ἐν

Δημοτική Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς δικαστηρίοις ἀφιέντες, ἕτερα δὲ παμπληθῆ τοιαῦτα βιαζόμενοι παρανομεῖν. εἰκότως· τοῖς γὰρ πεπρακόσιν ἑαυτοὺς εἰς τἀναντία τοῖς τῇ πατρίδι συμφέρουσιν οὐκ ἔνι μέλειν νόμων οὐδ' ὅρκων· τοῖς δ' ὀνόμασι μόνον αὐτῶν ἀποχρώμενοι παρακρούονται τοὺς παρέργως ἐνταυθί, ἀλλ' οὐκ ἐξεταστικῶς ἐκκλησιάζοντας, καὶ νομίζοντας τὴν παραυτίκα ἡσυχίαν οὐκ ἔσεσθαί ποτ' αἰτίαν ταραχῆς ἀτόπου. κελεύω δ' ἔγωγε, καθάπερ ἐν ἀρχῇ προεῖπον, πείθεσθαι τούτοις τοῖς φάσκουσι δεῖν ἐν ταῖς κοιναῖς ὁμολογίαις ἐμμένειν, εἰ μὴ ἐκεῖνο νομίζουσιν, ὅταν μὲν λέγωσιν ὡς ἐμμενετέον τοῖς ὅρκοις, οὐ λέγειν αὐτοὺς τὸ μηδὲν ἀδικεῖσθαι, οὐδένα δ' οἴονται αἰσθήσεσθαι τυραννίδων ἀντὶ δημοκρατιῶν καθισταμένων καὶ τῶν πολιτειῶν καταλυομένων.

Τὸ δὲ καταγελαστότατον· ἔστι γὰρ ἐν ταῖς συνθήκαις ἐπιμελεῖσθαι τοὺς συνεδρεύοντας καὶ τοὺς ἐπὶ τῇ κοινῇ φυλακῇ τεταγμένους ὅπως ἐν ταῖς κοινωνούσαις πόλεσι τῆς εἰρήνης μὴ γίγνωνται θάνατοι καὶ φυγαὶ παρὰ τοὺς κειμένους ταῖς πόλεσι νόμους, μηδὲ χρημάτων δημεύσεις, μηδὲ γῆς ἀναδασμοί, μηδὲ χρεῶν ἀποκοπαί, μηδὲ δούλων ἀπελευθερώσεις ἐπὶ νεωτερισμῷ. οἱ δὲ τοσούτου δέουσι τούτων τι κωλύειν ὥστε καὶ συγκατασκευάζουσιν, οὓς πῶς οὐ προσήκει ἀπολωλέναι; οἳ τηλικαύτας συμφορὰς παρασκευάζουσιν ἐν ταῖς
πόλεσιν, ἃς διὰ τὸ μέγεθος αὐτοῖς τοσούτοις οὖσι μὴ 216
περιορᾶν ἐπέταξαν.

Ἔτι δ' ἕτερον δείξω τὸ λελυκὸς τὰς συνθήκας. ἔστι γὰρ γεγραμμένον ἐκ τῶν πόλεων τῶν κοινωνουσῶν τῆς εἰρήνης μὴ ἐξεῖναι φυγάδας ὁρμήσαντας ὅπλα ἐπιφέρειν ἐπὶ πολέμῳ μηδεμιᾷ πόλει τῶν μετεχουσῶν τῆς εἰρήνης· εἰ δὲ μή, ἔκσπονδον εἶναι τὴν πόλιν, ἐξ ἧς ἂν ὁρμηθῶσιν. οὕτω τοίνυν ῥᾳδίως τὰ ὅπλα ἐπήνεγκεν ὁ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μακεδὼν ὥστ' οὐδὲ κατέθετο πώποτε, ἀλλ' ἔτι καὶ νῦν ἔχων περιέρχεται καθ' ὅσον δύναται, τοσούτῳ καὶ νῦν μᾶλλον ἢ πρότερον, ὅσῳ ἐκ προστάγματος ἄλλους τε ἑτέρωθι καὶ τὸν παιδοτρίβην εἰς Σικυῶνα κατήγαγεν.

17 οὐκοῦν εἰ δεῖ πείθεσθαι ταῖς κοιναῖς ὁμολογίαις, καθάπερ οὗτοί φασιν, ἔκσπονδοι ἡμῖν εἰσιν αὗται αἱ πόλεις αἱ ταῦτα διαπεπραγμέναι. εἰ μὲν οὖν δεῖ ἐπικρύπτεσθαι τἀληθῆ, οὐδὲν δεῖ λέγειν ὅτι εἰσὶν αἱ Μακεδονικαί· εἰ δ' οὐκ ἀνιᾶσιν οἱ καθ' ὑμῶν τῷ Μακεδόνι ὑπηρέται προστάττοντες πράττειν τὰ ἐν ταῖς κοιναῖς ὁμολογίαις, πεισθῶμεν αὐτοῖς, ἐπειδὴ τὰ δίκαια λέγουσι, καὶ καθάπερ κελεύει ὁ ὅρκος, ἐκσπόνδους αὐτοὺς ποιήσαντες βουλευσώμεθα πῶς δεῖ χρῆσθαι τοῖς δεσποτικῶς καὶ ἀσελγῶς διακειμένοις καὶ διὰ τέλους τὰ μὲν ἐπιβουλεύουσι, τὰ δὲ πράττουσι, καὶ καταγελῶσι
18 τῆς κοινῆς εἰρήνης. διὰ τί γὰρ οὐ φήσουσιν οὗτοι δεῖν ταῦθ' οὕτως ἔχειν; ἢ ὁμολογίαν τὴν μὲν κατὰ τῆς πόλεως οὖσαν βεβαίαν ἀξιοῦσιν εἶναι, τὴν δὲ σῴζουσαν οὐ συγχωρήσουσιν; ἆρά γε δοκεῖ δίκαιον ταῦτα γίγνεσθαι; κἂν μέν τι ᾖ πρὸς τῶν ἐχθρῶν κατὰ τῆς πόλεως ἐν τοῖς ὅρκοις, τοῦτο μὲν ἰσχυρὸν ἀεὶ ποιήσου- 217
σιν· ἐὰν δέ τι ἡμέτερον ᾖ κατ' ἐκείνων ἅμα δίκαιον καὶ συμφέρον, πρὸς τοῦτο δὲ διαμαχομένους οὐδέποτε παύσασθαι οἰήσονται δεῖν ἑαυτούς;

19 Ἵνα δ' εἰδῆτε ἔτι σαφέστερον ὅτι οὐδεὶς ὑμῖν ἐγκαλέσει ποτὲ τῶν Ἑλλήνων ὡς ἄρα παρέβητέ τι τῶν κοινῇ ὁμολογηθέντων, ἀλλὰ καὶ χάριν ἕξουσιν ὅτι μόνοι ἐξηλέγξατε τοὺς ταῦτα ποιοῦντας, μικρὰ ἐπιδραμοῦμαι περὶ αὐτῶν πολλῶν ὄντων. ἔστι γὰρ δήπου ἐν ταῖς συνθήκαις τὴν θάλατταν πλεῖν τοὺς μετέχοντας τῆς εἰρήνης, καὶ μηδένα κωλύειν αὐτοὺς μηδὲ κατάγειν πλοῖον μηδενὸς τούτων· ἐὰν δέ τις παρὰ ταῦτα ποιῇ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ον εἶναι πᾶσι τοῖς τῆς εἰρήνης μετέχουσιν. οὐ-
ὦ ἄνδρες Ἀθηναῖοι, ἐναργέστατα ἑοράκατε τοῦθ'
ῶν Μακεδόνων γεγενημένων· εἰς τοῦτο γὰρ
ρίας ἦλθον ὥστε εἰς Τένεδον ἅπαντα τὰ ἐκ τοῦ
υ πλοῖα κατήγαγον, καὶ σκευωρούμενοι περὶ αὐ-
ρότερον ἀφεῖσαν, πρὶν ὑμεῖς ἐψηφίσασθε τριή-
ατὸν πληροῦν καὶ καθέλκειν εὐθὺς τότε, καὶ
γὸν ἐπ' αὐταῖς ἐτάξατε Μενεσθέα. πῶς οὖν οὐκ
τοσαῦτα μὲν εἶναι καὶ τηλικαῦτα τὰ ἡμαρτη-
τέροις, τοὺς δ' ἐνταῦθα φίλους αὐτῶν μὴ ἐκεί-
ποτρέπειν τοὺς παραβαίνοντας, ἀλλ' ἡμῖν συμ-
ειν ἐμμένειν τοῖς οὕτως ὠλιγωρημένοις; ὥσπερ
ύτου προσγεγραμμένου, τοῖς μὲν ἐξεῖναι πλημ-
, τοῖς δὲ μηδ' ἀμύνεσθαι. πῶς δ' οὐχ ἅμα τε παρ-
ον ἐκεῖνοι καὶ ἀναίσθητοι ἦσαν, οἵ γε τηλικοῦ-
ρέβησαν τῶν ὅρκων, ὃ παρ' ἐλάχιστον ἐποίησεν
ς ἀφαιρεθῆναι δικαίως τὴν κατὰ θάλατταν ἡγε-
; καὶ νῦν ἔτι παραδεδώκασι τοῦτο τὸ δίκαιον ἀν-
ως ἡμῖν, ὅταν βουληθῶμεν πράττειν· οὐ γὰρ ὅτι 218
αντο ἐξαμαρτάνοντες, ἧττόν τι δήπου παραβεβή-
ὰς κοινὰς ὁμολογίας. ἀλλ' εὐτυχοῦσιν, ὅτι ἐνα-
νται τῇ ὑμετέρᾳ ῥᾳθυμίᾳ τῇ οὐδὲ τῶν δικαίων
ύειν προαιρουμένῃ. ὃ δὲ ὑβριστικώτατον συμ-
ν, εἰ οἱ μὲν ἄλλοι Ἕλληνες καὶ βάρβαροι ἅπαντες
ὸς ὑμᾶς ἔχθραν φοβοῦνται, οὗτοι δ' οἱ νεόπλου-
νοι καταφρονεῖν ὑμᾶς ὑμῶν αὐτῶν ἀναγκάζου-
μὲν πείθοντες, τὰ δὲ βιαζόμενοι, ὥσπερ ἐν Ἀβ-
ις ἢ Μαρωνείταις, ἀλλ' οὐκ ἐν Ἀθηναίοις πολι-
νοι. καὶ ἅμα μικρὰ μὲν τὰ ἡμέτερα [πράγματα]
ι, τὰ δὲ τῶν ἐχθρῶν ἰσχυρά, ἅμα δὲ λανθάνου-
τοὺς ἀνυπόστατον τὴν πόλιν ὁμολογοῦντες εἶ-
ακελευόμενοι τὸ δίκαιον οὐ δικαίως διαφυλάτ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τειν, ὡς τῷ συμφέροντί γε προελομένην χρῆσθ
25 τεῖν ἂν τῶν πολεμίων ῥᾳδίως δυνηθεῖσαν. εἰκ
αὐτὸ πεπόνθασιν· ἕως γὰρ ἂν ἐξῇ τῶν κατὰ θά
καὶ μόνοις ἀναμφισβητήτως εἶναι κυρίοις, τοῖς
τὰ γῆν πρὸς τῇ ὑπαρχούσῃ δυνάμει ἔστι προβολ
ρας ἰσχυροτέρας εὑρέσθαι, ἄλλως τε καὶ πεπα
ὑπὸ τῆς τύχης τῶν δορυφορουμένων ὑπὸ τῶν
νικῶν στρατοπέδων, καὶ τῶν μὲν ἐφθαρμένων,
ἐξεληλεγμένων οὐδενὸς ἀξίων ὄντων.

26 Τὸ μὲν οὖν περὶ τὰ πλοῖα πρὸς τοῖς ἄλλο
προειρημένοις ὁ Μακεδὼν τηλικοῦτον παρέβη
ὑβριστικώτατον καὶ ὑπεροπτικώτατον τῶν Μακ
τὸ πρώην γεγενημένον ἐστί, τὸ τολμῆσαι εἰσπ
εἰς τὸν Πειραιᾶ παρὰ τὰς κοινὰς ἡμῖν πρὸς αὐτο
θήκας. καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι, οὐχ
τριήρης ἦν, μικρὸν ὑποληπτέον, ἀλλ' ὅτι ἀπόπει
νετο, εἰ περιοψόμεθα, ἵνα μετὰ πλειόνων αὐτοῖ
νηται τοῦτο πράττειν, καὶ ὅτι οὐκ ἐφρόντισαν τ
νῶν δογμάτων, καθάπερ οὐδὲ τῶν προειρη
27 ἐπεὶ ὅτι γε τοῦτο παράδυσις ἦν κατὰ μικρὸν κ
σμὸς τοῦ ἀνέχεσθαι ἡμᾶς τοὺς τοιούτους εἴσπλο
κεῖθεν δῆλον· τὸ γὰρ τὸν τότε ἐπὶ τῆς νεὼς εἰ
σαντα, ὃν ἔδει εὐθὺς μετὰ τῆς τριήρους ὑφ' ὑμῶ
λωλέναι, αἰτεῖσθαι ναυπηγήσασθαι μικρὰ π
τοῖς ἡμετέροις λιμέσι, πῶς οὐ καταφανὲς ποιεῖ ὅ
τοῦ εἰσπλεῖν τὸ εὐθὺς ἔνδον εἶναι ἐμηχανῶντο
λεπτὰ πλοῖα ὑπομενοῦμεν, ὀλίγον ὕστερον κα
ρεις· καὶ εἰ τὸ πρῶτον ὀλίγας, μικρῷ ὕστερον
28 οὐ γὰρ δὴ ἔστι γε εἰπεῖν ὡς Ἀθήνησι μὲν ἀφθόν
των τῶν ναυπηγησίμων ξύλων, τῶν πόρρωθεν
λις εἰσκομιζομένων, ἐν δὲ τῇ Μακεδονίᾳ ἐπιλ
των, τῇ καὶ τοῖς ἄλλοις τοῖς βουλομένοις εὐτελ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καθισταμένη, ἀλλ' ᾤοντο ἅμα τε ναυπηγήσεσθαι ἐνταῦθα καὶ πληρώσεσθαι ἐν τῷ λιμένι τῷ εἰρημένῳ, ἐν ταῖς κοιναῖς ὁμολογίαις διειρημένου μηδὲν τοιοῦτον εἰσδέχεσθαι, καὶ τοῦτο ἐξέσεσθαι ἐπὶ πλέον ἀεὶ ποι-
29 εῖν· οὕτω πανταχόθεν καταπεφρονηκότως ἐκεῖνοι τῇ πόλει χρῶνται διὰ τοὺς ἐντεῦθεν διδασκάλους τοὺς ὑπαγορεύοντας αὐτοῖς ἃ δεῖ ποιεῖν. οὕτω δὲ κατεγνώκασι μετὰ τούτων ἀδιήγητόν τινα τῆς πόλεως ἔκλυσιν καὶ μαλακίαν, καὶ οὔτε πρόνοιαν περὶ τῶν μελλόντων εἶ- 220
ναι, οὔτε λογισμὸν οὐδένα παραγίγνεσθαι τίνα τρό-
30 πον χρῆται ὁ τύραννος ταῖς κοιναῖς ὁμολογίαις. αἷς ἐγὼ διακελεύομαι, ὦ ἄνδρες Ἀθηναῖοι, πείθεσθαι, καθάπερ ἐδίδαξα, καὶ διαβεβαιωσαίμην ἄν, ὡς τοῦθ' ἡλικίας ἔχων, ἅμα καὶ τῷ δικαίῳ ἡμᾶς ἀνεγκλήτως καὶ τοῖς καιροῖς ἀσφαλέστατα χρήσεσθαι τοῖς ἐπὶ τὸ συμφέρον κατεπείγουσιν. καὶ γὰρ ἔτι προσγέγραπται ταῖς συνθήκαις, ἐὰν βουλώμεθα τῆς κοινῆς εἰρήνης μετέχειν· τὸ δ' "ἐὰν βουλώμεθα" ἐστὶν ἅμα καὶ τοὐναντίον, εἰ ἄρα ποτὲ δεῖ μὴ παύσασθαι αἰσχρῶς ἑτέροις ἀκολουθοῦντας, ἀλλὰ μηδ' ἀναμνησθῆναι μηδεμιᾶς φιλοτιμίας τῶν ἐξ ἀρχαιοτάτου καὶ πλείστων καὶ μάλιστα πάντων ἀνθρώπων ἡμῖν ὑπαρχουσῶν. ἐὰν οὖν κελεύητε, ὦ ἄνδρες Ἀθηναῖοι, γράψω, καθάπερ αἱ συνθῆκαι κελεύουσι, πολεμεῖν τοῖς παραβεβηκόσιν.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΑ